χρώματι] Videtur mihi legendum *σώματι*. Nam primum, *figura* potest *sine colore cogitari* saltem, non item sine *corpore*. Deinde graviter in definiendo peccaret Socr. qui hic: *figuram* esse id quod semper *colorem* sequatur, dicit; ipsum vero colorem paullo post dicit, esse defluxum *figurarum* e corporibus. En *circulum!* At obstare videtur insequens vox *χρόα*. Sed *χρόα* non semper *colorem*, imo sæpius corporis superficiem, ipsumque *corpus* significat. Firmatur mea emendatio, altera, quam Socrates statim affert, figuræ definitione, ubi eam *τοῦ στερεοῦ πέρας* esse dicit. Quid vero *στερεὸν* et *σῶμα* differunt? Ipsum quidem *χρῶμα corpus*, æque ac *χρόα*, significat, licet rarissime. Sed vocem non retinendam censeo, ob amphiboliam, quum paullo post Socr. definiat *χρῶμα*, quatenus *colorem* denotat. Definitiones hæ, figuræ et coloris, non ita junctæ sunt, ut altera ad alteram declarandam opus sit; sed utraque ad regulas definiendi explicandas adhibetur. Sunt ergo *coordinatæ*, ut cum philosophis loquar, non *subordinatæ*. Notiones vero ipsæ, coloris et figuræ, magnopere cohærent, adeo ut alterius definitio alteri etiam quodammodo conveniat. Tales sunt *coloris* definitiones, Pythagorica quidem: *ἐπιφάνεια τοῦ σώματος* (Plutarch. de plac. Phil. l. i. c. 15.) Aristotelis vero (de sensu c. 3.) *τοῦ διαφανοῦς ἐν σώματι ὡρισμένῳ πέρας*. Ged.

Gedikius in voce *χρώματι* offendens, ob circulum maxime, quem Plato admitteret definiendo mox colorem tanquam defluxum figurarum, non animadverterat, ad ludendos tantum sophistas hanc a Socrate hic afferri definitionem, quam missam mox facit aliamque substituit §. 8.

ΣΩ. Εἶεν.

§. 8. ΜΕΝ. Εἰ δὲ δὴ τὴν χρόαν τις μὴ φαίη εἰδέναι, ἀλλ' ὡσαύτως ἀποροῖ[f] ὥς περ περὶ τοῦ σχήματος, τί ἂν οἴει σοι ἀποκεκρίσθαι; II. i. 336.

ΣΩ. Τἀληθῆ ἔγωγε. καὶ εἰ μέν γε τῶν σοφῶν τις εἴη[g] καὶ ἐριστικῶν τε καὶ ἀγωνιστικῶν ὁ ἐρόμενος, εἴποιμ' ἂν αὐτῷ ὅτι Ἐμοὶ μὲν εἴρηται· εἰ δὲ μὴ ὀρθῶς λέγω, σὸν ἔργον λαμβάνειν λόγον καὶ ἐλέγχειν. εἰ δὲ ὥς περ ἐγώ τε καὶ σὺ νυνὶ φίλοι ὄντες βούλοιντο ἀλλήλοις διαλέγεσθαι, δεῖ δὴ πραότερόν πως καὶ διαλεκτικώτερον ἀποκρίνεσθαι.[h] ἔστι

[e] σχήματά 𝔄Δ.—[f] ἀπορεῖ ΞΣΥϒ.—[g] εἴη Cr.—[h] ἀποκρίνεσθαι...διαλεκτικώτερον om

cui apta est illa coloris definitio. Buttm.

εἶεν] Istud εἶεν Socratis personæ convenire non videtur. Eadem autem vox sic sermoni alterius interserta legitur etiam in Cratylo p. 410. C. ibique Heusdius eam confidenter, dubitanter Heindorfius utroque loco, eidem tribuunt qui et præcedentia et subsequentia pronuntiat. Certe Ficinus utrobique eam omisit, quod non videtur facere potuisse, si ut alterius sermonem in suo codice secretam hanc vocem invenisset. Hæsito tamen an Ficino contra tot hodie codices collatos tanta tribuenda sit auctoritas. Atque, ut de Cratyli loco nihil pronuntiem, nostro loco istud εἶεν a Socrate prolatum non inepte dicas respondere illi πού, quo Meno aliquam suam diffidentiam ostendit, an recte verba Socratis intellexerit. Εἶεν autem, hoc est, *esto*, ideo reponit Socrates, ne ut suam revera sententiam illud agnoscere videatur. Buttm. qui sic in Addend. 'Vocem εἶεν proprio sermoni intersertam habemus Alcib. i. 6. ubi vid. not. Quod autem ibi dixi de vocula πού, id recte quidem habet: sed non opus est ut confirmationem aliquam Socratis opperiatur Meno.'

§. 8. ἀποκεκρίσθαι] Perf. sensu passivi (cf. Gramm. §. 100. Obs. 7.) *quid credis a te responsum esse?* Sic Theæt. p. 187. B. καὶ τοῦτό μοι ἀποκεκρίσθω. Vid. Heind. ad Gorg. 19. Buttm.

φίλοι ὄντες] Sc. τινὲς βούλοιντο, jungendum, ut subjecto suo ne careat verbum. Vulgo jungitur ὥσπερ — — ὄντες, quo pacto βουλοίμεθα requireretur pendens a superioribus, in quibus Socrates itidem se colloquentem finxerat. Buttm.

διαλεκτικώτερον] Non est *magis dialectico more*, ut omnes interpretes intellexisse video; sed, quod vel ex præcedenti διαλέγεσθαι patet, *convenientius regulis familiaris consuetudinis et sermonis*, qui non, ut alteruter convincatur, instituitur, sed ut gradatim *interrogando et respondendo* (id enim est διαλεκτικῶς) ad veritatem accedatur. Ita ipse Plato in Cratylo διαλεκτικὸν vocat τὸν ἐρωτᾷν καὶ ἀποκρίνεσθαι ἐπιστάμενον. Ged.

Male Gedikius olim negaverat διαλεκτικώτερον hic esse *magis dialectico more*, statueratque accipiendum de eo quod *convenientius esset regulis familiaris consuetudinis et sermonis*, recte ideo reprehensus a Schleiermachero. Nempe cogitarat Gedikius de sophistarum argutiis falsaque dialectica. Eo nomine nunquam designatur a Platone, cui ars optima est διαλεκτική, ἀπὸ τοῦ διαλέγεσθαι dicta, non verbis circumvenire docens alterum, sed persuadere quod verum est; cujus in doctis de philosophia disputationibus haud diversæ sunt regulæ atque in familiari colloquio. Hinc est quod Plato in Cratylo διαλεκτικὸν vocat τὸν ἐρωτᾷν καὶ ἀποκρίνεσθαι ἐπιστάμενον, et revera lucem nostro loco affert ille Protagoræ p. 336. A. εἰ οὖν ἐπιθυμεῖς ἐμοῦ καὶ Πρωταγόρου ἀκούειν, τούτου δέου, ὥσπερ τοπρῶτόν μοι ἀπεκρίνατο διὰ βραχέων καὶ αὐτὰ τὰ ἐρωτώμενα, οὕτω καὶ νῦν ἀποκρίνεσθαι· εἰ δὲ μή, τίς ὁ τρόπος ἔσται τῶν διαλόγων; χωρὶς γὰρ ἔγωγ' ᾤμην εἶναι τὸ συνεῖναί τε ἀλλήλοις διαλεγομένους, καὶ τὸ δημηγορεῖν. Nam δημήγοροι illi non secus ac sophistæ speciem magis veri quam ipsam veritatem sectabantur. Buttm.

δὲ ἴσως[i] τὸ διαλεκτικώτερον μὴ μόνον τἀληθῆ ἀποκρίνεσθαι, ἀλλὰ καὶ δι' ἐκείνων ὧν ἂν προσομολογῇ εἰδέναι ὁ ἐρωτώμενος. πειράσομαι δὴ καὶ ἐγώ σοι οὕτως εἰπεῖν. λέγε γάρ μοι· τελευτὴν καλεῖς τι; τοιόνδε λέγω[j] οἷον πέρας καὶ ἔσχατον· πάντα ταῦτα ταὐτόν τι λέγω. ἴσως δ' ἂν ἡμῖν Πρόδικος διαφέροιτο. ἀλλὰ σύ γέ που καλεῖς πεπεράνθαι τι καὶ τετελευτηκέναι; τὸ τοιοῦτον βούλομαι λέγειν, οὐδὲν ποικίλον.

ΜΕΝ. Ἀλλὰ καλῶ, καὶ οἶμαι μανθάνειν ὃ[k] λέγεις.

II. 76. ΣΩ. Τί[l] δ'; ἐπίπεδον καλεῖς τι, καὶ ἕτερον αὖ στερεόν, οἷον ταῦτα τὰ ἐν ταῖς[m] γεωμετρίαις;

𝔄Δ.—[i] ἴσως om pr Ξ.—[j] λέγω ΓΔΞΣϒ𝔟𝔯 : λέγων *ς.—[k] ὅτι ΞΥ𝔯.—[l] τί 𝔄ΞΣϒ𝔟𝔯 :

ὁ ἐρωτώμενος] Verissima mihi, ut Schleiermachero, videtur Cornarii emendatio ὁ ἐρόμενος, quo verbo paulo superius eadem persona significatur. Gedikius tamen τὸν ἐρωτώμενον explicabat de eo qui Socratica methodo docetur, quoniam is de eo ipso quod quærat a docente *interrogetur*: eamque sententiam pluribus exornavit Ullrichius. Quibus mihi tamen non persuasit. Nam Socrates suam methodum sic, tanquam omnibus notam et veluti constitutam, verbo obiter tangere potuisse mihi quidem non videtur; multo minus hic ubi diversa colloquii ratio patet; omnium minime autem tam inconcinne Plato hoc verbis expressisset, ut jungeret ἀποκρίνεσθαι δι' ἐκείνων, ὧν ἂν προσομολογῇ εἰδέναι ὁ ἐρωτώμενος. Codices tamen vulgatam tenent: nisi codicis instar nobis est interpretatio Ficini, quæ habet, *qui rogat*. Buttm.

προσομολογῇ] Præstaret legi προομολογῇ, per ea, quæ is qui *interrogatur* i. e. Socratica methodo docetur, scire se *jam antea* fateatur. Ἐρωτώμενος h. l. male ab omnibus interpretibus pro eo, qui *interrogat*, sumi video. Cornarius quid voluerit, quum emendaret ἐρώμενος, nescio. Ged. Vid. c. 12. in fine, ubi Socr. εἰ γὰρ καὶ μέμνησαι, ὅτ' ἐγώ σοι ἄρτι ἀπεκρινάμην περὶ τοῦ σχήματος, ἀπεβάλλομέν που τὴν τοιαύτην ἀπόκρισιν, τὴν διὰ τῶν ἔτι ζητουμένων καὶ μήπω ὡμολογημένων ἐπιχειροῦσαν ἀποκρίνεσθαι. Qui locus firmat emendationem Gedik. Nempe τῷ μήπω ὡμολογημένῳ oppositum est id quod ὁ ἐρωτώμενος προομολογεῖ εἰδέναι. Biest.

προσομολογῇ] E l. c. firmari quidem videtur Gedikii conjectura προομολογῇ. Sed in hac forma necessarium foret præteritum προομολογήσῃ, quo non opus est in forma quoad tempus indefinita προσομολογεῖν. Buttm.

καλεῖς τι] In Ald. καλεῖς τί, ut τί sit interr. et jungatur cum præced. Ibidem interpung. post οἷον. sed τὶ τοιόνδε pro τοιόνδε τὶ (quod magis usitatum est) videtur dictum. Sic autem statim post, καλεῖς τι enclit. For. et λέγων magis conveniret, continuando interrogationem. Steph.

Πρόδικος] Notissima affectata Prodici ars synonyma discriminandi; vid. Charmid. p. 163. D. Protag. p. 337. A. Buttm.

ἀλλὰ σύ γε] 'Sed tu in sermone communi opinor interdum dicis de aliqua re, eam terminari, finiri. Ejusmodi etiam est id de quo nunc locuturus sum.' Οὐδὲν ποικίλον, *nihil varium subdolumque, quod ambagibus deludat et difficilem habeat explicatum.* Ita Heindorfius ad Gorg. 102. Cf. Cratyl. 23. Phileb. 33. in quibus locis eadem vi sermonem hæc formula orditur, qua hic claudit. Buttm.

τὸ τοιοῦτον] Legere malim ταὐτόν τι, sicut paullo ante, ut oppositum sit τῷ ποικίλον. *Omnibus his verbis non diversam, sed unam eandemque notionem exprimere volo.* Consilium Socratis illud est, ut logomachiam vitaturus sciat antea, num in vocibus earumque significatione conveniat sibi cum Menone. Ged.

ΜΕΝ. Ἔγωγε καλῶ.

ΣΩ. Ἤδη τοίνυν ἂν μάθοις[n] μου ἐκ τούτων σχῆμα ὃ II. i. 337.
λέγω. κατὰ γὰρ παντὸς[o] σχήματος τοῦτο λέγω, εἰς ὃ τὸ στερεὸν περαίνει, τοῦτ' εἶναι σχῆμα· ὅ περ ἂν συλλαβὼν εἴποιμι στερεοῦ πέρας σχῆμα εἶναι.

§. 9. ΜΕΝ. Τὸ δὲ χρῶμα τί λέγεις, ὦ Σώκρατες;

ΣΩ. Ὑβριστής γ' εἶ, ὦ Μένων· ἀνδρὶ πρεσβύτῃ πράγματα προστάττεις ἀποκρίνεσθαι, αὐτὸς δὲ οὐκ ἐθέλεις ἀναμνησθεὶς εἰπεῖν ὅ τί ποτε λέγει Γοργίας ἀρετὴν εἶναι.

ΜΕΝ. Ἀλλ' ἐπειδάν μοι σὺ[p] τοῦτ' εἴπῃς, ὦ Σώκρατες, ἐρῶ σοι.

ΣΩ. Κἂν κατακεκαλυμμένος τις γνοίη, ὦ Μένων, διαλεγομένου σου, ὅτι[q] καλὸς εἶ καὶ ἐρασταί σοι ἔτι εἰσίν.

ΜΕΝ. Τί δή;

ΣΩ. Ὅτι οὐδὲν ἀλλ'[r] ἢ ἐπιτάττεις ἐν τοῖς λόγοις· ὅ περ ποιοῦσιν οἱ τρυφῶντες, ἅτε τυραννεύοντες ἕως ἂν ἐν ὥρᾳ ὦσι. καὶ ἅμα ἐμοῦ ἴσως κατέγνωκας,[s] ὅτι εἰμὶ ἥττων τῶν καλῶν. χαριοῦμαι οὖν σοι καὶ[t] ἀποκρινοῦμαι.

ΜΕΝ. Πάνυ[u] μὲν οὖν χάρισαι.

ΣΩ. Βούλει οὖν σοι κατὰ Γοργίαν ἀποκρίνωμαι,[v] ᾗ ἂν σὺ μάλιστα ἀκολουθήσαις;

τὸ *ς.—[m] ταῖς add ΓΔƀ.—[n] μάθοις 𝔄Δ: μανθάνοις *ς.—[o] παντὸς γὰρ ƀ.—[p] σὺ om ΣΥɼ.—[q] ἔτι σοι ΞΣΥɼ.—[r] ἀλλ' ΓΔBCEFrƀ et pr Ξ.—[s] κατέγνωμαι F.—[t] καὶ... σοι om Σ.—[u] πάνυ...χάρισαι om ƀ.—[v] ἀποκρίνομαι ΞΥƀɼ.—[w] λέγεται 𝔄Δ.—[x] τι-

§. 9. πράγματα] Mallem παραύτικα, ut sequenti ἀναμνησθεὶς oppositum esset. A me sene postulas, ut *extemplo* respondeam, quum tu, quæ audita *recordari* tantum debes, nolis dicere. Ipse contextus talem emendationem flagitat. *De ipso enim respondendi officio*, qui quæso queri poterat Socrates, qui tam multa jam responderat; et quo pacto istud senibus, qui loquaciores esse solent, molestius esse possit, quam adolescentibus? Sed *extemplo* ad quævis respondere, id vero seni difficilius est ob memoriam jam vacillantem. GED. Xen. Œc. 17. 11. τοῖς ἀσθενεστέροις πᾶσι μείω προστάττειν πράγματα: qui locus tutatur scripturam loci Platonici, dum ipse inde firmatur male tentatus a Marklando ad Lysiam p. 532. HEIND. Sensus vocis παραυτίκα inest ipsi verbo προστάττειν; et recte de *molestia* queri potest, cui talia injunguntur. Infinitivus autem ἀποκρίνεσθαι explicationem continet vocis πράγματα, quasi per appositionem; fere ut infra §. 13. δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τι πεποιηκέναι, ναρκᾷν. BUTTM.

κατακεκαλυμμένος] Al. κατακεκαλυμμένως. sed alteram illam lect. sequitur Fic. STEPH.

ἐπιτάττεις] Verbum sollemne de iis, quæ τὰ παιδικὰ suis ἐρασταῖς injungunt. Vid. Æschin. in Timarch. ed. Reisk. p. 98. ubi ex eo ipso, quod Timarchus tanta imperia exercuerit, illum παιδικὰ alterius fuisse orator colligit. BIEST.

βούλει κ. τ. λ.] ‘Vin' ut talem tibi proponam coloris definitionem, qualem

ΜΕΝ. Βούλομαι· πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν λέγετε[w] ἀποῤῥοάς τινας[x] τῶν ὄντων κατὰ Ἐμπεδοκλέα;

ΜΕΝ. Σφόδρα γε.

II. i. 338. ΣΩ. Καὶ πόρους, εἰς οὓς καὶ δι' ὧν[y] αἱ ἀποῤῥοαὶ πορεύονται;

ΜΕΝ. Πάνυ γε.

ΣΩ. Καὶ τῶν ἀποῤῥοῶν τὰς μὲν ἁρμόττειν ἐνίοις τῶν πόρων, τὰς[z] δὲ ἐλάττους ἢ μείζους εἶναι;

ΜΕΝ. Ἔστι ταῦτα.

ΣΩ. Οὐκοῦν καὶ ὄψιν καλεῖς τι;

ΜΕΝ. Ἔγωγε.

ΣΩ. Ἐκ τούτων δὴ[a] ξύνες[b] ὅ τοι[c] λέγω, ἔφη Πίνδαρος. ἔστι γὰρ χρόα ἀποῤῥοὴ σχημάτων[d] ὄψει σύμμετρος καὶ αἰσθητός.[e]

ΜΕΝ. Ἄριστά μοι δοκεῖς, ὦ Σώκρατες, ταύτην τὴν ἀπόκρισιν εἰρηκέναι.

νας om r.—[y] *καὶ δι' ὧν* om 𝔯.—[z] *τοὺς* ΣΥ𝔯.—[a] *δὴ* om ΣΥ𝔯.—[b] *ξύνες* Δ et corr 𝔄 : *σύνες* *s.—[c] *ὅ τοι* 𝔄ΓΔΣΥBCr𝔟𝔯 : *ὅ, τι* *s. conf. Bœckh. Pindari fragm. 71.—[d] *χρωμάτων* E, *χρημάτων* γρ B.—[e] *αἰσθήσει* 𝔟.—[f] *εἰπεῖν ὅ ἐστι καὶ* BCr.—[g] *μὴ* om

propositurus esset Gorgias, præceptor tuus? qua quidem ratione optime me intelligas.' At ex Empedoclis disciplina hausta est ea coloris definitio, quam statim profert Socrates. Recte quidem. Empedoclis enim discipulus erat Gorgias, teste Diog. Laert. in Emped. viii. 58. Idem Suidas testatur in *Γοργίας* et in *Ἐμπεδοκλῆς*. Quintil. iii. 1. 'Gorgias Leontinus, Empedoclis, ut traditur, discipulus.' De ipsa autem quam hic profert Socrates, Empedoclis disciplina, videndus in primis Pseudo-Plutarch. de Plac. Philos. iv. 9. *Ἐμπεδοκλῆς παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι (φησὶ), τοῦ οἰκείου τῶν αἰσθητῶν ἑκάστη* (leg. *ἑκάστῳ* sc. *πόρῳ*) *ἁρμόζοντος*. Ged.

ἀκολουθήσαις] *ἀκολουθεῖν* est *intellectu consequi, assequi*. Vid. Theæt. p. 185. D. *Ὑπερεῦ, ὦ Θεαίτητε, ἀκολουθεῖς· καὶ ἔστιν ἃ ἐρωτῶ αὐτὰ ταῦτα.* Plenius *ἀκολουθεῖν τῷ λόγῳ* Phædo. p. 107. B. Buttm.

ξύνες ὅ τοι λέγω] Ita incipiebat carmen deperditum Pindari ex Hyporchematum numero, quod laudes Hieronis, regis Syracusarum, celebrabat. Schol. Pind. ad Pyth. ii. 127. *ἰστέον, ὅτι τὸν ἐπινίκιον ἐπὶ μισθῷ συντάξας ὁ Πίνδαρος, ἐκ περιττοῦ συνέγραψεν αὐτῷ προῖκα ὑπόρχημα, οὗ ἡ ἀρχὴ, Σύνες ὅ,τι λέγω, ζαθέων ἱερῶν ἐπώνυμε.* Add. Schol. ad Nem. vii. 1. et Schol. Aristophan. ad Av. 927. Unde plenius prodit fragmentum ita: *Ξύνες ὅ τοι λέγω, ζαθέων ἱερῶν ἐπώνυμε* (vel *ὁμώνυμε*) *πάτερ, κτίστορ Αἴτνας*. Vid. inter fragm. Pind. a Bœckhio edita num. 71. Buttm.

αἰσθητὸς] Hæc vox non minus quam *σύμμετρος*, referenda ad *ὄψει*. 'Color est figurarum effluxus, visui congruus perque eum sensibilis.' Eandem fere coloris definitionem affert noster in Timæo, ubi esse dicit *φλόγα τῶν σωμάτων ἑκάστων ἀποῤῥέουσαν, ὄψει σύμμετρα μόρια ἔχουσαν πρὸς αἴσθησιν*, cujus definitionis meminit etiam auctor de Placit. Philosoph. i. 15. omittens tamen vocem *ἀποῤῥέουσαν*, et pro *πρὸς αἴσθησιν* scribens *π. τὴν ὄψιν*. Ged.

ΣΩ. Ἴσως γάρ σοι κατὰ συνήθειαν εἴρηται. καὶ ἅμα, οἶμαι, ἐννοεῖς ὅ τι ἔχοις ἂν ἐξ αὐτῆς εἰπεῖν καὶ φωνήν, ὃ ἔστι, καὶ[f] ὀσμὴν καὶ ἄλλα πολλὰ τῶν τοιούτων.

ΜΕΝ. Πάνυ μὲν οὖν.

ΣΩ. Τραγικὴ γάρ ἐστιν, ὦ Μένων, ἡ ἀπόκρισις, ὥστε ἀρέσκει σοι μᾶλλον ἢ ἡ περὶ τοῦ σχήματος.

ΜΕΝ. Ἔμοιγε.

ΣΩ. Ἀλλ' οὐκ ἔστιν, ὦ παῖ Ἀλεξιδήμου, ὡς ἐγὼ ἐμαυτὸν πείθω, ἀλλ' ἐκείνη βελτίων. οἶμαι δὲ οὐδ' ἂν σοὶ
δόξαι, εἰ μή,[g] ὥς περ χθὲς ἔλεγες, ἀναγκαῖόν σοι ἀπιέναι II. i. 339.
πρὸ τῶν μυστηρίων, ἀλλ' εἰ περιμείναις[h] τε καὶ μυηθείης.

ΜΕΝ. Ἀλλὰ περιμένοιμ' ἄν, ὦ Σώκρατες, εἴ μοι II. 77.
πολλὰ τοιαῦτα λέγοις.[i]

Ξ.—[h] εἴπερ μείναις (αι corr) pr Δ.—[i] λέγεις Ε.—[j] προμηθείας pr Υ.—[k] καθόλου Γ:

ἴσως γὰρ κ. τ. λ.] Sensus est: 'Est forsitan hæc definitio talis quales audire consuevisti ex Gorgia, Empedoclis discipulo.' Hanc autem ipsam coloris definitionem Empedocleam esse, patet etiam e libro de Placit. Philos. l. l. ubi legimus secundum Emped. colorem esse τὸ τοῖς πόροις τῆς ὄψεως ἐναρμόττον. (Schleierm. tamen ex nostro potius loco sua de Empedocle hausisse autumat auctorem libri de Pl. Ph.) Sed *effluxus* quoque et notionem et vocem ex Empedoclis disciplina sumptam esse, ex eodem scripto patet iv. 14. ubi philosophus ille dicitur explicasse κατὰ ἀποῤῥοίας etc.—Pergit Socrates: 'et simul intelligis te ad hujus definitionis similitudinem *vocis* quoque et *odoris* definitionem facile formare posse.' Vox enim sit ἀποῤῥοὴ ἀκοῇ σύμμετρος καὶ αἰσθητός. GED.

ὅτι ἔχοις] Al. ὅ,τι. sed ὅτι magis convenire videtur. STEPH.

τραγική] Definitionem illam cur *tragicam* Socrates vocet, nullam aliam equidem rationem video, quam quod idea ista de emanatione figurarum e corporibus *sublimem* quandam et *poeticam* imaginem animo offert. Simul tamen respicere mihi videtur ad tragœdias Empedoclis, quarum haud exiguum numerum adolescens scripsit, affirmante Neanthe apud Diog. Laert. viii. 58. licet jam olim essent, qui ad alium Empedoclem, hujus nostri nepotem, tragœdias eas referrent, teste eodem Diog. l. l. Apud eundem, viii. 70. Diodorus Ephesius tribuit ei τραγικὸν τύφον, quod ad nostrum hunc locum explicandum mirifice valet. GED. Immo enuntiationis forma potius respicitur, et orationis color. BUTTM.

μᾶλλον ἢ ἡ] Alteram illam dicit, quam secundo loco proposuerat (8. extr.) Hanc enim, quæ [olim] hodieque mathematicis usitata est, silentio transiit Meno. SCHLEIERM.

ἀλλ' οὐκ ἔστιν] Non habet hoc ἔστιν quo referatur in præcedentibus. Quare jungendum putaram olim sequenti βελτίων. Sed hoc per syntaxin non recte procedit. Nam scriptum oportebat, Ἀλλ' οὐχ αὕτη. Præstat igitur per anacoluthiam referre ad superius ἀρέσκει σοι μᾶλλον, quod idem est ac si dixisset δοκεῖ σοι βελτίων. BUTTM.

μυηθείης] Ludit Socrates in comparatione cum mysteriis. Ita in Sympos. p. 209. E. ταῦτα μὲν οὖν τὰ ἐρωτικὰ ἴσως κἂν σὺ μυηθείης. Jam cum Meno Thessalus dixisset pridie Socrati, abeundum sibi esse ex Attica ante mysteriorum celebrationem; Socrates hæc ejus verba ad alterum illum sensum facete transfert. Sensus igitur est: *Credo me tibi persuasurum, meam figuræ definitionem meliorem esse* hac coloris definitione; *nisi abeundum tibi est forte, priusquam te hoc edocere queam teque hac veritate quasi initiare; quod fiet, si adhuc morari volueris.* GED.

ΣΩ. Ἀλλὰ μὴν προθυμίας[j] γε οὐδὲν ἀπολείψω, καὶ σοῦ ἕνεκα καὶ ἐμαυτοῦ, λέγων τοιαῦτα· ἀλλ' ὅπως μὴ οὐχ οἷός τ' ἔσομαι πολλὰ τοιαῦτα λέγειν. [§. 10.] Ἀλλ' ἴθι δὴ πειρῶ καὶ σὺ ἐμοὶ τὴν ὑπόσχεσιν ἀποδοῦναι, καθ' ὅλου[k] εἰπὼν ἀρετῆς πέρι, ὅ τι ἔστι, καὶ παῦσαι πολλὰ ποιῶν ἐκ τοῦ ἑνός, ὅ πέρ φασι τοὺς συντρίβοντάς τι ἑκάστοτε οἱ σκώπτοντες, ἀλλὰ[l] ἐάσας ὅλην καὶ ὑγιῆ εἰπὲ τί ἐστιν ἀρετή. τὰ δέ γε παραδείγματα παρ' ἐμοῦ εἴληφας.

ΜΕΝ. Δοκεῖ τοίνυν μοι, ὦ Σώκρατες, ἀρετὴ εἶναι, καθά περ ὁ ποιητὴς λέγει, χαίρειν τε καλοῖσι[m] καὶ δύνασθαι. καὶ ἐγὼ τοῦτο λέγω[n] ἀρετήν, ἐπιθυμοῦντα τῶν καλῶν δυνατὸν εἶναι πορίζεσθαι.

ΣΩ. Ἆρα λέγεις τὸν τῶν καλῶν ἐπιθυμοῦντα ἀγαθῶν ἐπιθυμητὴν εἶναι;

ΜΕΝ. Μάλιστά γε.

ΣΩ. Ἆρα ὡς ὄντων τινῶν οἳ τῶν κακῶν ἐπιθυμοῦσιν, ἑτέρων δὲ οἳ τῶν ἀγαθῶν; οὐ πάντες, ὥριστε,[o] δοκοῦσί σοι τῶν ἀγαθῶν ἐπιθυμεῖν;

II. i. 340. ΜΕΝ. Οὐκ ἔμοιγε.

ΣΩ. Ἀλλά τινες τῶν κακῶν;

ΜΕΝ. Ναί.

ΣΩ. Οἰόμενοι τὰ κακὰ ἀγαθὰ εἶναι, λέγεις, ἢ καὶ γιγνώσκοντες ὅτι κακά ἐστιν, ὅμως ἐπιθυμοῦσιν αὐτῶν;

ΜΕΝ. Ἀμφότερα[p] ἔμοιγε[q] δοκεῖ.

ΣΩ. Ἦ γὰρ δοκεῖ τίς σοι, ὦ Μένων, γιγνώσκων τὰ κακὰ ὅτι κακά ἐστιν, ὅμως ἐπιθυμεῖν αὐτῶν;

κατὰ ὅλου *ς.—[l] ἀλλ' 𝔯.—[m] καλοῖσι Σ𝔜𝔯.—[n] εἶναι λέγω Σ𝔜𝔯, λέγω εἶναι 𝔟.—[o] ὥριστε 𝔄Δ𝔟, ὦ ἄριστοι pr Γ: ὦ ἄριστε *ς.—[p] ἀμφότερα...αὐτῶν om 𝔟.—[q] ἐμοὶ

§. 10. *οἱ σκώπτοντες*] Nimirum jocosa est *εὐφημία* in consolationem quasi ejus qui aliquid comminuit, multiplicasse eum quod unum antea fuerit. BUTTM.

δύνασθαι] Nisi cum *δύνασθαι* subaudiatur præcedens verbum *χαίρειν* (ut intelligatur *δύνασθαι χαίρειν καλοῖσι* is cui ea suppetunt) videri poterit esse pro eo quod dicetur statim *δυνατὸν εἶναι πορίζεσθαι*. Sed et sequendo priorem illam subauditionem, dici fortasse possit *δύνασθαι χαίρειν* esse, *τὸ δύνασθαι πορίζεσθαι οἷς χαίρει*. Duriuscule tamen dictum hoc fuerit. STEPH.

δύνασθαι] In his Lyrici alicujus, ut videtur, verbis haud dubie valebat *potentem esse*, qua significatione potestas *τοῦ πορίζεσθαι* comprehenditur. Cf. §. 11. init. BUTTM.

οὐ πάντες] Menonis responsio affirmativa interjicitur inter *ἀγαθῶν* et *οὐ πάντες* apud Ficinum. STEPH.

ΜΕΝ. Μάλιστα.[r]

ΣΩ. Τί ἐπιθυμεῖν λέγεις; ἦ γενέσθαι αὐτῷ;[s]

ΜΕΝ. Γενέσθαι· τί γὰρ ἄλλο;

ΣΩ. Πότερον ἡγούμενος τὰ κακὰ ὠφελεῖν ἐκεῖνον ᾧ ἂν γένηται, ἢ γιγνώσκων τὰ κακὰ ὅτι βλάπτει[t] ᾧ ἂν παρῇ;

ΜΕΝ. Εἰσὶ μὲν οἳ[u] ἡγούμενοι τὰ κακὰ ὠφελεῖν, εἰσὶ δὲ καὶ οἳ[u] γιγνώσκοντες ὅτι βλάπτει.

ΣΩ. Ἦ καὶ δοκοῦσί σοι γιγνώσκειν τὰ κακὰ ὅτι κακά ἐστιν, οἱ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν;

ΜΕΝ. Οὐ πάνυ μοι δοκεῖ τοῦτό γε.

ΣΩ. Οὐκοῦν δῆλον ὅτι οὗτοι μὲν οὐ τῶν κακῶν ἐπιθυμοῦσιν, οἱ ἀγνοοῦντες αὐτά, ἀλλὰ ἐκείνων ἃ ᾤοντο ἀγαθὰ εἶναι, ἔστι δὲ ταῦτά γε κακά· ὥστε οἱ ἀγνοοῦντες αὐτὰ II. i. 341.
καὶ οἰόμενοι ἀγαθὰ εἶναι δῆλον ὅτι τῶν ἀγαθῶν ἐπιθυμοῦσιν. ἢ οὔ;

ΜΕΝ. Κινδυνεύουσιν οὗτοί γε.

ΣΩ. Τί δαί;[v] οἱ τῶν κακῶν μὲν ἐπιθυμοῦντες,[w] ὥς φῂς σύ, ἡγούμενοι δὲ τὰ κακὰ βλάπτειν ἐκεῖνον ᾧ ἂν γίγνηται, γιγνώσκουσι δή που ὅτι βλαβήσονται[x] ὑπ' αὐτῶν;

ΜΕΝ. Ἀνάγκη.

ΣΩ. Ἀλλὰ τοὺς βλαπτομένους οὗτοι οὐκ οἴονται ἀθ- II. 78.
λίους εἶναι[y] καθ' ὅσον βλάπτονται;

ΜΕΝ. Καὶ[z] τοῦτο ἀνάγκη.

ΣΩ. Τοὺς δὲ ἀθλίους οὐ κακοδαίμονας;

ΜΕΝ. Οἶμαι ἔγωγε.[a]

ΣΩ. Ἔστιν οὖν ὅς τις βούλεται ἄθλιος καὶ κακοδαίμων εἶναι;

F.—[r] μάλιστα...αὐτῷ om F, qui in mg : δοκεῖ : τί οὖν φῂς ἐπιθυμεῖν αὐτῷ γενέσθαι —[s] καὶ τοῦτο ἀνάγκη om Ƅ.—[t] βλάπτῃ Ξ.—[u] οἱ EFƄr.—[v] δαὶ ꝒΔ.—[w] ἐπιθυμοῦντες μὲν r.—[x] βλαβήσεται Γ.—[y] εἶναι ἀθλίους Γ.—[z] καὶ...κακοδαίμονας om F.—

τί ἐπιθυμεῖν, λέγεις] Male olim junxeram, τί λέγεις, ἐπιθυμεῖν; ut, quod sequitur, definitio esset τοῦ ἐπιθυμεῖν: quæ tamen justa non foret. Et sic plane interceptum esset verbum ἡγούμενος ab illo δοκεῖ τις ἐπιθυμεῖν. Nunc, sicut ceteri, jungo τί ἐπιθυμεῖν, ut ad istud τί statim referatur infinitivus γενέσθαι. Symp. p. 204. E. ὁ ἐρῶν τῶν ἀγαθῶν τί ἐρᾷ; Γενέσθαι αὐτῷ. Sic autem levis hic admissa est anacoluthia. Nam insertum illud λέγεις non facile expleas nisi accusativum subjecti addendo ad infinitivum ἐπιθυμεῖν: neque minus tamen in proximis sermo continuatur per nominativum ἡγούμενος, qui se applicat superioribus δοκεῖ τίς σοι γιγνώσκων—ἐπιθυμεῖν; Buttm.

ΜΕΝ. Οὔ μοι δοκεῖ, ὦ Σώκρατες.

ΣΩ. Οὐκ ἄρα βούλεται, ὦ Μένων, τὰ κακὰ οὐδείς, εἴ περ μὴ βούλεται[b] τοιοῦτος εἶναι. τί γὰρ ἄλλο ἐστὶν ἄθλιον[c] εἶναι ἢ ἐπιθυμεῖν τε[d] τῶν κακῶν καὶ κτᾶσθαι;[e]

ΜΕΝ. Κινδυνεύεις ἀληθῆ λέγειν, ὦ Σώκρατες· καὶ οὐδεὶς βούλεσθαι[f] τὰ κακά.

§. 11. ΣΩ. Οὐκοῦν νῦν δὴ ἔλεγες ὅτι ἔστιν ἡ[g] ἀρετὴ βούλεσθαί τε τἀγαθὰ καὶ δύνασθαι;[h]

ΜΕΝ. Εἶπον γάρ.

II. i. 342. ΣΩ. Οὐκοῦν τούτου λεχθέντος τὸ μὲν βούλεσθαι πᾶσιν ὑπάρχει, καὶ ταύτῃ γε οὐδὲν ὁ ἕτερος τοῦ ἑτέρου βελτίων;

ΜΕΝ. Φαίνεται.

ΣΩ. Ἀλλὰ δῆλον ὅτι εἴ πέρ ἐστι βελτίων ἄλλος ἄλλου, κατὰ τὸ δύνασθαι ἂν εἴη ἀμείνων.

ΜΕΝ. Πάνυ γε.

ΣΩ. Τοῦτ' ἔστιν ἄρα, ὡς ἔοικε, κατὰ τὸν σὸν λόγον ἀρετή, δύναμις τοῦ πορίζεσθαι τἀγαθά.

ΜΕΝ. Παντάπασί μοι δοκεῖ, ὦ Σώκρατες, οὕτως ἔχειν ὡς σὺ νῦν ὑπολαμβάνεις.

ΣΩ. Ἴδωμεν δὴ καὶ τοῦτο εἰ ἀληθὲς[i] λέγεις. ἴσως γὰρ ἂν εὖ λέγοις. τἀγαθὰ[j] φῂς οἷόν τ' εἶναι πορίζεσθαι ἀρετὴν εἶναι;[k]

[a] οἶμαι ἔγωγε om 𝔟.—[b] βούληται Υ.—[c] ἄθλιος Υ.—[d] τε om ς.—[e] ἡττᾶσθαι E.—[f] βούλεσθαι 𝔄Δ : βούλεται *ς.—[g] ἡ om pr Σ.—[h] βούλεσθαί τε τὰ κακὰ βούλεσθαί τε τἀγαθὰ Γ.—[i] ἀληθῶς 𝔟𝔯.—[j] ante τἀγαθὰ omisi τὸ cum ΓΔBCEF𝔯𝔟𝔯 et pr 𝔄.—

βούλεται—τὰ κακὰ] Optima hæc et verissima disputatio: *neminem cupere, ac ne posse quidem cupere, malum quatenus malum sit*, sæpius occurrit apud Nostrum. Locum exscribam Protagoræ: *Εἰ ἄρα τὸ ἡδὺ ἀγαθόν ἐστιν, οὐδεὶς οὔτε εἰδὼς, οὔτε οἰόμενος ἄλλα βελτίω εἶναι, ἢ ἃ ἐποίει καὶ δύναται, ἔπειτα ποίει ταῦτα, ἐξὸν τὰ βελτίω.—Ἄλλοτι οὖν ἐπίγε τὰ κακὰ οὐδεὶς ἑκὼν ἔρχεται; οὐδὲ ἐπὶ ἃ οἴεται κακὰ εἶναι; οὐδ' ἔστι τοῦτο, ὡς ἔοικεν, ἐν ἀνθρώπου φύσει, ἐπὶ ἃ οἴεται κακὰ εἶναι, ἐθέλειν ἰέναι, ἀντὶ τῶν ἀγαθῶν. ὅταν δὲ ἀναγκάσθῃ δυοῖν κακοῖν τὸ ἕτερον αἱρεῖσθαι, οὐδεὶς τὸ μεῖζον αἱρήσεται, ἐξὸν τὸ ἔλαττον.—δέος καὶ φόβον προσδοκίαν τινα λέγω κακοῦ—ἆρα τις ἀνθρώπων ἐθελήσει ἐπὶ ταῦτα ἰέναι ἃ δέδοικεν, ἐξὸν ἐπὶ ἃ μή; ἃ γὰρ δέδοικεν, ὡμολόγηται ἡγεῖσθαι κακὰ εἶναι· ἃ δὲ ἡγεῖται κακὰ, οὐδένα οὔτε ἴεναι ἐπὶ ταῦτα, οὔτε λαμβάνειν ἑκόντα.* Inde præclare elicitur, a voluptate (h. e. quod falso bonum putatur) vinci, esse inscitiam; voluptatem vincere, sapientiam. Biest.

§. 11. *τούτου*] Schleiermacher inserendum olim censuerat *τοῦ* post *τούτου*, ut ab hoc genitivo penderet partitio *τὸ μὲν κ. τ. ε.* Nunc vero in vulgata, qui est genitivus consequentiæ, acquiescendum putavit. Ego priorem rationem etiamnum præfero. Buttm.

ΜΕΝ. Ἔγωγε.

ΣΩ. Ἀγαθὰ δὲ καλεῖς οὐχὶ οἷον ὑγίειάν τε καὶ πλοῦτον; καὶ χρυσίον λέγω[l] καὶ ἀργύριον κτᾶσθαι καὶ τιμὰς ἐν πόλει καὶ ἀρχάς; μὴ ἄλλ᾽ ἄττα λέγεις τἀγαθὰ ἢ τὰ τοιαῦτα;

ΜΕΝ. Οὔκ, ἀλλὰ πάντα λέγω τὰ τοιαῦτα.

ΣΩ. Εἶεν. χρυσίον δὲ δὴ καὶ ἀργύριον πορίζεσθαι ἀρετή ἐστιν, ὥς φησι Μένων ὁ τοῦ μεγάλου βασιλέως πατρικὸς ξένος. πότερον προστίθης[m] τι τούτῳ[n] τῷ πόρῳ, ὦ Μένων, τὸ δικαίως καὶ ὁσίως;[o] ἢ οὐδέν σοι διαφέρει, ἀλλὰ κἂν ἀδίκως τις αὐτὰ πορίζηται, ὁμοίως σὺ αὐτὰ ἀρετὴν καλεῖς; p. i. 343.

[k] εἶναι om Υ.—[l] λέγω om Υ.—[m] προστιθεῖς corr Δ, προστιθεὶς Γ.—[n] τοῦτο EF.—

μεγάλ. βασιλ.] Regem Persarum *κατ᾽ ἐξοχὴν* dici *μέγαν βασιλέα*, notum est; quare admodum facete Plato de Leg. l. iii. post Cyrum in Persia nullum fuisse dicit regem magnum, nisi solo nomine. Sed Menoni Thessalo unde hospitium cum rege Persarum? Strabo l. xi. p. 531. tradit Medos et Thessalos consanguineos esse ob utriusque nationis ex Medea et Jasone originem. Verum hoc nimis remotum est ab hoc loco. Puto equidem, regem Persarum, de quo hic sermo est, Cyrum illum minorem esse, in cujus exercitu militavit postea Meno. Hujus hospes fuit amicus Menonis, in initio dialogi commemoratus, Aristippus Larissæus, id quod disertis verbis testatur Xenophon in initio Ἀνάβ. Nam Aristippum illum, quem Xenophon Thessalum vocat, haud diversum esse ab eo, quem Larissæum nominat Plato, satis superque demonstravi §. 1. Hic Aristippus igitur hospes Cyri quum esset; quidni et Meno, amicus et commilito? Id quidem eo verisimilius est, quum Xenophon in Ἀνάβ. in init. l. ii. testetur, fuisse Menonem hospitem Ariæi, qui summo in exercitu Cyri imperio fungebatur. Nec huic interpretationi repugnat, quod Cyrus non re vera fuit rex, sed tantummodo regnum affectavit, quod ipsum eo tempore, quo fere dialogus hic habitus fingitur, nondum factum esse potuit. Solebant enim Græci filios etiam ac fratres regum reges vocare. Quare idem Cyrus ab eodem Xenophonte in Œcon. c. 4. vocatur *εὐδοκιμώτατος βασιλεύς*. Quare et Cicero de Senect. c. 17. 'regem Persarum' eum nominat. Quum vero Meno *πατρικὸς ξένος* regis Persarum vocetur, necesse est, ut jam ante Cyrum illum minorem, licet ad hunc proxime respexerit Socrates, Menonis generi cum regio Persarum genere hospitium factum sit. Factum id esse potuit, quo tempore Xerxes bellum Græciæ inferret. In hoc enim bello adjutum eum esse a Thessalis notum est, immo teste Pausania l. vii. t. x. p. 215. ed. Xyl. ipsi Aleuadæ, de quibus supra dixi, et ad quos non ipse quidem Meno, sed amicus tamen illius Aristippus pertinebat, prodiderant Xerxi Thessaliam. Cæterum hujus hospitii mentione Socrates irridere videtur Menonem, quasi ea, quam proposuerit, virtutis definitio talis sit, qualis a Persici regis auro ac divitiis abundantis hospite exspectari potuerit. GED.

τὶ τούτῳ] Si vocula *τὶ* non vacat, ut certe durus videtur hic fore illius pleonasmus, sensus erit: Utrum addis aliquid huic comparandi rationi? videlicet, juste etc. Perperam autem in præcedentibus editt. *τοῦτο* pro *τούτῳ*, sicut et Ficinus legit, post *τὶ* scriptum est. Sic et paulo post legitur *τούτῳ τῷ πόρῳ*. Alioqui suspicarer, scripsisse Platonem *τὶ τοιοῦτο*. STEPH. At vel sic dura foret omissio vocis *οἷον*. Quare acquiescendum in vulgata, in qua hæc *τὸ δικ. κ. ο.* adjecta sunt ad explicationem voculæ *τί*. Cf. infra §. 13. *καὶ σὺ δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τί πεποιηκέναι, ναρκᾷν*. BUTTM.

αὐτὰ] An *αὐτό*? SCHNEIDER.

ΜΕΝ. Οὐ δή που, ὦ Σώκρατες, ἀλλὰ[p] κακίαν.

ΣΩ. Πάντως δή που δεῖ[q] ἄρα, ὡς ἔοικε, τούτῳ τῷ πόρῳ δικαιοσύνην ἢ σωφροσύνην[r] ἢ ὁσιότητα προσεῖναι, ἢ ἄλλο τι μόριον ἀρετῆς· εἰ δὲ μή, οὐκ ἔσται[s] ἀρετή, καίπερ ἐκπορίζουσα τἀγαθά.

ΜΕΝ. Πῶς γὰρ ἄνευ τούτων ἀρετὴ γένοιτ' ἄν;

ΣΩ. Τὸ δὲ[t] μὴ ἐκπορίζειν χρυσίον καὶ ἀργύριον, ὅταν μὴ δίκαιον ᾖ, μήτε αὑτῷ μήτε ἄλλῳ, οὐκ ἀρετὴ καὶ αὕτη ἐστὶν ἡ ἀπορία;[u]

ΜΕΝ. Φαίνεται.

ΣΩ. Οὐδὲν ἄρα μᾶλλον ὁ πόρος τῶν τοιούτων ἀγαθῶν ἢ ἡ ἀπορία ἀρετὴ ἂν εἴη, ἀλλ' ὡς ἔοικεν, ὃ μὲν ἂν[v] μετὰ δικαιοσύνης γίγνηται, ἀρετὴ ἔσται, ὃ δ' ἂν ἄνευ πάντων
II. 79. τῶν τοιούτων, κακία.

ΜΕΝ. Δοκεῖ μοι ἀναγκαῖον εἶναι ὡς λέγεις.

§. 12. ΣΩ. Οὐκοῦν τούτων ἕκαστον ὀλίγον πρότερον μόριον ἀρετῆς ἔφαμεν εἶναι, τὴν δικαιοσύνην καὶ σωφροσύνην[w] καὶ πάντα τὰ τοιαῦτα;

ΜΕΝ. Ναί.

ΣΩ. Εἶτα, ὦ Μένων, παίζεις πρός με.

II. i. 344. ΜΕΝ. Τί δή, ὦ Σώκρατες;

ΣΩ. Ὅτι ἄρτι ἐμοῦ[x] δεηθέντος σου[y] μὴ καταγνύναι μηδὲ κερματίζειν[z] τὴν ἀρετήν, καὶ δόντος παραδείγματα καθ' ἃ[a] δέοι ἀποκρίνεσθαι, τούτου μὲν ἠμέλησας, λέγεις δέ μοι ὅτι ἀρετή ἐστιν οἷόν τ' εἶναι τἀγαθὰ[b] πορίζεσθαι μετὰ δικαιοσύνης, τοῦτο δὲ φῂς μόριον ἀρετῆς εἶναι.[c]

ΜΕΝ. Ἔγωγε.

[o] καὶ ὁσίως in mg Δ.—[p] : ἀλλὰ Ξ.—[q] : δεῖ ΞΥ.—[r] δικαιοσύνηι σωφροσύνην 𝔄Δ.—[s] ἔστ' 𝔡.—[t] δὲ om Σ.—[u] εὐπορία Ε.—[v] ἂν post δικαιοσύνης ponit Γ.—[w] σωφροσύ-
τὸν
νην καὶ δικαιοσύνην ΞΣ.—[x] ἄρτι ἐμοῦ 𝔄ΓΔBCEr𝔡𝔯 : ἐμοῦ ἄρτι *ς.—[y] σου ο 𝔄,
τ
σου υ Δ (τὸν et τ rc).—[z] κατακερματίζειν ΓCr.—[a] ἅπερ Γ.—[b] ἀγαθὰ CEFr.—

§. 12. πράττῃ] Sic omnes fere codd., aliquot eorum πράττοι. Vulgata πράττῃς erat ex male sedula correctione. Quippe Græci post infinitivum pendentem a persona indefinita, tertiam personam ponunt ubi Latini fere secundam. In pleniori sermone ad πράττῃ subjectum poneretur sive τὶς sive participium ejusdem verbi, hic ὁ πράττων. Buttm.

ΣΩ. Οὐκοῦν συμβαίνει ἐξ ὧν σὺ ὁμολογεῖς, τὸ[d] μετὰ μορίου ἀρετῆς πράττειν[e] ὅ τι ἂν πράττῃ, τοῦτο ἀρετὴν εἶναι· τὴν γὰρ δικαιοσύνην μόριον φῂς ἀρετῆς εἶναι, καὶ ἕκαστα τούτων.

MEN. Τί οὖν δὴ τοῦτο λέγω;

ΣΩ. Ὅτι ἐμοῦ δεηθέντος ὅλην[f] εἰπεῖν τὴν ἀρετήν, αὐτὴν μὲν πολλοῦ δεῖ σ'[g] εἰπεῖν ὅ τι ἔστι, πᾶσαν δὲ φῂς πρᾶξιν[h] ἀρετὴν εἶναι, ἐάν περ μετὰ μορίου ἀρετῆς πράττηται, ὥς περ εἰρηκὼς ὅ τι ἀρετή ἐστι τὸ ὅλον καὶ ἤδη γνωσομένου ἐμοῦ, καὶ ἐὰν σὺ κατακερματίζῃς αὐτὴν κατὰ μόρια. δεῖ[i] οὖν σοι πάλιν ἐξ ἀρχῆς, ὡς ἐμοὶ δοκεῖ, τῆς αὐτῆς II. i. 345.
ἐρωτήσεως, ὦ φίλε Μένων, τί ἐστιν ἀρετή, εἰ[j] μετὰ μορίου ἀρετῆς πᾶσα πρᾶξις[k] ἀρετὴ ἂν εἴη; τοῦτο γάρ ἐστι λέγειν, ὅταν λέγῃ[l] τις ὅτι πᾶσα ἡ μετὰ δικαιοσύνης πρᾶξις ἀρετή ἐστιν. ἢ οὐ δοκεῖ σοι πάλιν δεῖσθαι τῆς αὐτῆς ἐρωτήσεως, ἀλλ' οἴει τινὰ εἰδέναι μόριον ἀρετῆς ὅ τι ἔστιν, αὐτὴν μὴ εἰδότα;

MEN. Οὐκ ἔμοιγε δοκεῖ.

[c] εἶναι...ἀρετῆς om Σ.—[d] τὰ pr 𝔄.—[e] πράττοι E𝔯 : πράττοις ς.—[f] ὅλον 𝔄ΓΔBCEF 𝔯𝔟, ὅλην (ον) Ξ.—[g] pro δεῖ σ' scribe δεῖς cum Ξ𝔯, qui in mg ἀντὶ τοῦ λείπῃ καὶ ἐνδεὴς εἶ (εἰ) εἰπεῖν, οἷον πολλοῦ δέει.—[h] πρᾶξιν φῂς ΞΣΥ.—[i] δεῖται 𝔄Δ𝔟.—[j] ἢ F, ἡ 𝔄ΔΣΥ𝔟 : ἢ *ς.—[k] πρᾶξις πᾶσα Γ.—[l] ὅτε λέγει pr Ξ.—[m] ἄρτι om 𝔄Δ.—[n] ἀπεβάλλου μέν EF,

Τί—λέγω ;] Heusdius Socrati sibi ipsi statim respondenti tribuit, talibus exemplis nixus qualia sunt Protag. p. 343. D. Τοῦ δὴ ἕνεκα ταῦτα λέγω; ὅτι οὗτος ὁ τρόπος ἦν τῶν παλαιῶν τῆς φιλοσοφίας· et ex hoc ipso dialogo §. 39. πρὸς τί οὖν δὴ λέγω ταῦτα; πρὸς τὰς δόξας τὰς ἀληθεῖς. Contra quem Schleiermacher observat, hoc non fieri nisi ubi applicatio facienda sit propositionis alicujus, quæ primo aspectu nihil ad rem facere videatur. Hoc autem hujus loci non esse. Ipse igitur legendum olim proponebat: Τί οὖν δή, εἰ τοῦτο λέγω; Nunc vulgatam ita explicandam censet: τί οὖν δὴ ὂν τοῦτο λέγω; Mihi nunc persuasum est ita distinguendum esse. MEN. Τί οὖν δή; ΣΩ. Τοῦτο λέγω, ὅτι ἐμοῦ δεηθέντος κ. τ. λ. Cratyl. p. 398. A. EPM. Τί οὖν δή; ΣΩ. Ὅτι οἶμαι ἐγὼ λέγειν αὐτὸν κ. τ. ε. ubi ante ὅτι mente supplendum est τοῦτο λέγω. Gorg. p. 497. D. —νῦν δὲ οὐχ ὁμολογεῖς; ΚΑΛ. Ἔγωγε. τί οὖν δή; ΣΩ. Ὅτι οὐ ταὐτὰ γίγνεται κ. τ. ε. unde apparet, nostro loco Ἔγωγε sive qualemcunque affirmandi formulam ante τί οὖν δή; mente supplendam esse. Conf. Gorg. 151. E. Buttm.

ἢ μέτα] Pro ἢ Fic. etiam legit εἰ absque interrogatione. Steph.

εἰ μετὰ] Ita nunc Bekker pro vulgato ἢ μετὰ μ. e Ficino (*siquidem—sit*) et e cod. Par. F in quo εἰ suprascriptum. Pars codicum ἡ: unde feceris εἰ ἡ μετὰ μ. α. πᾶσα πρᾶξις, quod ad linguæ rationem necessarium videbatur Struvio, mihi cum isto πᾶσα non item. Cave autem optativum cum ἂν pendere putes ab illo εἰ. Nam etiam absolute hic dici poterat, πᾶσα πρᾶξις μετὰ μ. α. ἀρετὴ ἂν εἴη. Buttm.

ΣΩ. Εἰ γὰρ καὶ μέμνησαι, ὅτ᾽ ἐγώ σοι ἄρτι[m] ἀπεκρινάμην περὶ τοῦ σχήματος, ἀπεβάλλομέν[n] που τὴν τοιαύτην ἀπόκρισιν τὴν διὰ τῶν ἔτι ζητουμένων καὶ μήπω ὡμολογημένων[o] ἐπιχειροῦσαν ἀποκρίνεσθαι.

MEN. Καὶ ὀρθῶς γε ἀπεβάλλομεν,[p] ὦ Σώκρατες.

ΣΩ. Μὴ τοίνυν, ὦ ἄριστε, μηδὲ σὺ ἔτι ζητουμένης ἀρετῆς ὅλης ὅ τι ἐστιν, οἴου[q] διὰ τῶν ταύτης μορίων ἀποκρινόμενος δηλώσειν[r] αὐτὴν ὁτῳοῦν,[s] ἢ ἄλλο ὁτιοῦν τούτῳ τῷ αὐτῷ τρόπῳ λέγων, ἀλλὰ πάλιν τῆς αὐτῆς δεήσεσθαι ἐρωτήσεως, τίνος ὄντος ἀρετῆς λέγεις ἃ λέγεις; ἢ[t] οὐδέν σοι δοκῶ λέγειν;

MEN. Ἔμοιγε δοκεῖς ὀρθῶς λέγειν.

§. 13. ΣΩ. Ἀπόκριναι τοίνυν πάλιν ἐξ ἀρχῆς·[u] τί φὴς ἀρετὴν εἶναι καὶ σὺ καὶ ὁ ἑταῖρός σου;

MEN. Ὦ Σώκρατες, ἤκουον μὲν ἔγωγε πρὶν καὶ συγ-
II. 80. γενέσθαι σοι, ὅτι σὺ οὐδὲν ἄλλο ἢ αὐτός τε ἀπορεῖς καὶ τοὺς ἄλλους ποιεῖς ἀπορεῖν· καὶ νῦν, ὥς γ᾽ ἐμοὶ[v] δοκεῖς,[w] γοητεύεις με καὶ φαρμάττεις καὶ ἀτεχνῶς κατεπᾴδεις,

ην
ἀπεβάλομεν ϒ.—[o] ὡμολογημένην E.—[p] ἀπεβάλλόμεν E.—[q] οὐ 𝔄, σὺ BCEFrbϒ et
οἷου
pr Γ, ἐστὶ corr 𝔄.—[r] δηλώσεις mg F.—[s] ὀτωοῦν αὐτην Ξ, αὐτὴν ὀτωοῦν E.—[t] ἦ ΔΞΣΥC.—[u] ἐξ ἀρχῆς πάλιν ΞΥ.—[v] γέ μοι 𝔄ΔΞΣΥϒ.—[w] δοκεῖ corr Σ.—[x] σοι E.—

δεήσεσθαι] Verbum δεῖσθαι vera sua significatione, quæ est *opus habere*, aliter hic stare nequit nisi subaudiendo ἐκεῖνον ad illud ὁτῳοῦν relatum; quod tamen magnopere displicet, cum nil appareat quod ad inconcinnam istam structuram compulerit scriptorem. Jam cum memorabilia verborum δεῖν et δεῖσθαι a librariis confusorum exempla prostent apud Schæfer. ad Dionys. de Constr. 56. et Sturzium [Lexic. Xenoph.] in v. Δεῖσθαι, inque his aliquot, quæ admodum suspensum te habeant, ipsine potius scriptori hanc significationum permutationem, in aliis verbis satis obviam, in hoc quoque tribuas: de eo quidem exploratum mihi nunc est, sensum ejus quod est *opus esse* hic dedisse scriptorem: sed utrum δεήσεσθαι ita intelligendum, an δεήσειν corrigendum sit, dubitari potest. Quanquam ego in posteriorem inclino rationem, videns supra in ipsa primaria verbi forma, δεῖ οὖν σοι πάλιν—ἐρωτήσεως Clark. et Vat. dare δεῖται οὖν. Buttm.

τίνος ὄντος ἀρετῆς] Egregia Græci sermonis brevitas. *Quid eam virtutem esse dicis, cui ea quæ dicis, conveniant.* Ged. Signum tamen interrogationis non ponendum post λέγεις; obliqua enim est interrogatio pendens ab illo δεήσεσθαι. Ex eo autem, quod supra habes, ἐκεῖνο ὃ τυγχάνει οὖσα ἀρετή, cave in nostrum quoque locum pro ὄντος intrudas οὔσης. Nam ita infra quoque §. 23. ubi post illa εἰ ἔστιν ἐπιστήμη ἀρετή infertur mox: Ὅτι τοιοῦδε μὲν ὄντος (sc. αὐτοῦ) διδακτόν. Alc. i. 24. D. Πῶς οὖν λέγεις περὶ ἀνδρίας; ἐπὶ πόσῳ ἂν αὐτοῦ δέξαιο στέρεσθαι. Adde quæ aptiora etiam affert Heindorfius ad Hipp. Maj. §. 43. imprimis illud e libro i. de Rep. p. 336. A. ἐπειδὴ δὲ οὐδὲ τοῦτο ἐφάνη ἡ δικαιοσύνη ὂν —. Nec minus huc facit illud, quod male tentabat Stephanus, infra §. 28. οὔτοι φανερά ἐστι λώβη. Buttm.

ὥστε μεστὸν ἀπορίας γεγονέναι. καὶ δοκεῖς μοι παντελῶς, II. i. 346.
εἰ δεῖ τι καὶ σκῶψαι, ὁμοιότατος εἶναι τό τε εἶδος καὶ τἆλλα ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ. καὶ γὰρ αὕτη τὸν ἀεὶ πλησιάζοντα καὶ ἁπτόμενον ναρκᾶν ποιεῖ· καὶ σὺ[x] δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν[y] τι πεποιηκέναι, ναρκᾶν. ἀληθῶς γὰρ ἔγωγε καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα[z] ναρκῶ, καὶ οὐκ ἔχω ὅ τι[a] ἀποκρίνωμαί[b] σοι. καί τοι μυριάκις γε[c] περὶ ἀρετῆς παμπόλλους λόγους εἴρηκα καὶ πρὸς πολλούς, καὶ πάνυ εὖ, ὥς γε[d] ἐμαυτῷ ἐδόκουν· νῦν δὲ οὐδ' ὅ τι ἔστι τὸ παράπαν ἔχω εἰπεῖν. καί μοι δοκεῖς εὖ βουλεύεσθαι οὐκ ἐκπλέων ἐνθένδε οὐδ' ἀποδημῶν· εἰ γὰρ ξένος ἐν ἄλλῃ πόλει τοιαῦτα ποιοῖς,[e] τάχ' ἂν ὡς γόης ἀπαχθείης.

ΣΩ. Πανοῦργος εἶ, ὦ Μένων, καὶ ὀλίγου[f] ἐξηπάτησάς με.

ΜΕΝ. Τί μάλιστα, ὦ Σώκρατες;

ΣΩ. Γιγνώσκω οὗ ἕνεκά με εἴκασας.

ΜΕΝ. Τίνος δὴ[g] οἴει;

στό
[y] τοιοῦτό ΞΣΥ.—[z] repone στόμα cum 𝔄ΓΣΥBCr : σῶμα Ξ.—[a] τί Γ.—[b] ἀποκρίνομαι ΞΣΥFδr.—[c] γε om Γ.—[d] γε ὡς Γ, ὥσγ' r.—[e] ποιοῖς 𝔄ΔΞΣΥBFδ : ποιεῖς *s.—

§. 13. *νάρκῃ*] Hujus piscis vim, qua torporem attingenti injicit, eleganter describit Oppianus Ἁλιευτ. ii. 56—85. et iii. 149. seqq. et Claudianus Epigr. 3. Vid. et Aristot. Hist. Animal. ix. 37. Ælianus de N. A. i. 36. ix. 14. Antigonus Caryst. 43. Plutarch. de Sollert. Anim.—Plinius H. N. xxxii. 1. 'torpedo etiamsi procul et e longinquo, vel si hasta virgave attingatur, quamvis prævalidi lacerti torpescunt,' et ix. 42. 'novit torpedo vim suam ipsa non torpescens.' Ged. Physicis notissimus piscis, nunc dictus *Raja torpedo*, præcipue invenitur in Mari Mediterraneo. Vis ejus electrica et torpedinem efficit, et subitaneum gravem impulsum. Cujus virtutis plus etiam inest alii pisci, qui dicitur *Gymnotus electricus*, et provenit Surinama. Biest.

στόμα] Hanc pro vulgato *σῶμα* varietatem cum Ficino præbent codd. opt. et plurimi, quam Ullrichio quoque probatam fidenter nunc repono. Nam vulgarissima illa animi et corporis distinctio in magna vocabulorum illorum similitudine non potuit non intrare invito scriptore textum: contra *στόμα* pro *σῶμα*, si hoc primitus scriptum fuisset nemo certe librarius intulisset. Optime autem eam hic corporis partem nominat Plato in quam solam animi ille torpor, quem significat Meno, transire debuit. Qui si de toto hoc corpore prædicaret ridicule nimius videretur. Buttm.

ἀπαχθείης] *ἀπάγειν* simpliciter dictum sæpissime significat ad judicium vel in custodiam rapere. Demosth. p. 431. 7. *ἐπειδὰν δὲ ὁμολογοῦσιν, ἀπάγειν δήπου προσῆκεν.* Lysias contr. Agorat. *λωποδύτην ἀπήγαγε.* Pollux viii. ix. 102. *περὶ τῶν ἕνδεκα,—ἐπεμελοῦντο τῶν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἀπήγαγον κλέπτας.* Ged. Schol. ad h. l. *ὡς κακοῦργος παραδοθείης εἰς τὸ δεσμωτήριον.* Plenas formulas habes in Gorg. p. 486. A. *εἰς τὸ δεσμωτήριον ἀπάγοι*: ubi vid. Heind. Æschin. c. Timarch. p. 159. *τὸν ξένον πρὸς τὸν ἄρχοντα ἀπήγαγεν.* Buttm.

ΣΩ. Ἵνα[h] σε ἀντεικάσω. ἐγὼ δὲ τοῦτο[i] οἶδα περὶ πάντων τῶν καλῶν, ὅτι[j] χαίρουσιν εἰκαζόμενοι. λυσιτελεῖ γὰρ αὐτοῖς· καλαὶ γάρ, οἶμαι, τῶν καλῶν καὶ αἱ εἰκόνες. ἀλλ᾽
II. i. 347. οὐκ ἀντεικάσομαί[k] σε. ἐγὼ δέ, εἰ μὲν ἡ νάρκη αὐτὴ ναρκῶσα οὕτω καὶ τοὺς ἄλλους ποιεῖ ναρκᾶν, ἔοικα αὐτῇ· εἰ δὲ μή, οὔ. οὐ γὰρ εὐπορῶν αὐτὸς τοὺς ἄλλους ποιῶ ἀπορεῖν, ἀλλὰ[l] παντὸς μᾶλλον αὐτὸς ἀπορῶν οὕτω καὶ τοὺς ἄλλους ποιῶ ἀπορεῖν. καὶ νῦν περὶ ἀρετῆς, ὃ ἔστιν, ἐγὼ μὲν οὐκ οἶδα, σὺ μέντοι ἴσως πρότερον μὲν ᾔδησθα[m] πρὶν ἐμοῦ[n] ἅψασθαι, νῦν μέντοι ὅμοιος εἶ[o] οὐκ εἰδότι. ὅμως δὲ ἐθέλω[p] μετὰ σοῦ σκέψασθαι καὶ συζητῆσαι ὅ τί ποτε ἔστιν.

§. 14. MEN. Καὶ τίνα τρόπον ζητήσεις, ὦ Σώκρατες, τοῦτο, ὃ[q] μὴ οἶσθα τὸ παράπαν ὅ τι ἔστι; ποῖον[r] γὰρ ὧν οὐκ οἶσθα προθέμενος ζητήσεις; ἢ εἰ καὶ ὅτι μάλιστα ἐντύχοις αὐτῷ, πῶς εἴσει[s] ὅτι τοῦτό ἐστιν ὃ σὺ οὐκ ᾔδησθα;[t]

ΣΩ. Μανθάνω οἷον βούλει λέγειν, ὦ Μένων. ὁρᾷς τοῦτον ὡς ἐριστικὸν λόγον κατάγεις; ὡς οὐκ ἄρα ἔστι ζητεῖν

[f] ὀλίγον F.—[g] δὲ 𝔄Δ𝔟𝔯.—[h] ἢ ἵνα Γ.—[i] τοῦτο 𝔄ΓΔBCEFr𝔟𝔯 : τόδε *ς.—[j] ὅτι om 𝔯.—[k] ἀντεικάσωμαι F.—[l] ἀλλὰ...ἀπορεῖν om BC𝔯.—[m] ᾔδησθα 𝔄Δ : ᾔδεισθα *ς. id ante πρότερον ponit r.—[n] ἐμοῦ...σου om Σ.—[o] ἦ Ξ.—[p] δὲ οὐ θέλω Δ.—[q] ὃν r.—[r] ὁποῖον Γ.—[s] εἴσει 𝔄Δ.—[t] libri ᾔδεισθα.—[u] γε om Γ.—[v] οὐ F.—[w] τε om 𝔯.—

καλαὶ — εἰκόνες] Videtur Meno et pulcher fuisse, et amatores plures habuisse; vid. supra §. 9. Cum autem de pulchritudine formæ hic loquatur Socrates, ipseque Meno supra dixerit: *τό τε εἶδος καὶ τἆλλα*, videtur Meno in comparatione Socratis cum torpedine additoque epitheto *τῇ πλατείᾳ*, respexisse simul ad formam capitis Socratis, quod ipsi erat grandius longiusque, et Silenum referebat, ut apud veteres legitur, et ipse sæpius jocatus est. Quippe Meno toties refutatus, iram simul cum dolore concepit, neque abstinet a dicteriis. Quod tamen mirum quam æque fert Socrates, hilarique ac jucunda respondet ironia. BIEST.

ἀπορεῖν] Ut *ἀπορεῖν* de hæsitante ac dubitante dicitur, ita *εὐπορεῖν* de eo, qui certam alicujus rei scientiam habet. Qua ratione sæpius has voces inter se opponit Plato. In Phædone p. 84. C. *εἰ ἀπορεῖτον, μηδὲν ἀποκνήσητε καὶ ἐμὲ ξυμπαραλαβεῖν, εἴ τι μᾶλλον οἴεσθε μετ᾽ ἐμοῦ εὐπορήσειν.* Ita et adjectivo *εὔπορος* utitur ibid. p. 86. D. *εἰ οὖν τις ὑμῶν εὐπορώτερος ἐμοῦ, τί οὐκ ἀπεκρίνατο;* GED.

ὅ,τι ποτ᾽ ἐστι] Quod Socrates hic promittit, non præstat impeditus postea ab ipso Menone, quærente semel et iterum de alia re, postremo fastidiente hanc disquisitionem de eo, quid sit virtus, et properante ad priorem illam, num possit addisci. BIEST.

§. 14. *κατάγεις*] Verbi *κατάγειν* nullam quæ quidem aliquando satisfacere possit rationem hic reddere possum. Nam comparatio cum filo quod nendo *deducitur*, de tam brevi sermone, locum non habet. Quare vide an Plato scripserit *παράγεις*. Ficin. *in medium adduxisti.* Demosth. c. Androt. p. 594. 13. *πλάττων καὶ παράγων πρὸς ἕκαστα τούτων κακούργους λόγους.* Infra Alcib. ii. 17. *παράγων τὸ κακῶς, utens verbo κακῶς.* BUTTM.

ἀνθρώπῳ οὔτε ὃ οἶδεν οὔτε ὃ μὴ οἶδεν. οὔτε γὰρ ἄν γε[w] ὃ οἶδε ζητοῖ· οἶδε γάρ, καὶ οὐδὲν δεῖ τῷ γε τοιούτῳ ζητήσεως· οὔτε[v] ὃ μὴ οἶδεν· οὐδὲ γὰρ οἶδεν ὅ τι ζητήσει.

ΜΕΝ. Οὐκοῦν καλῶς σοι δοκεῖ λέγεσθαι ὁ λόγος οὗ- II. 81.
τος, ὦ Σώκρατες;

ΣΩ. Οὐκ ἔμοιγε.

ΜΕΝ. Ἔχεις λέγειν ὅπῃ;

ΣΩ. Ἔγωγε· ἀκήκοα γὰρ ἀνδρῶν τε καὶ γυναικῶν σο- II. i. 348.
φῶν περὶ τὰ θεῖα πράγματα.

ΜΕΝ. Τίνα λόγον λεγόντων;

ΣΩ. Ἀληθῆ, ἔμοιγε δοκεῖν, καὶ καλόν.

ΜΕΝ. Τίνα τοῦτον; καὶ τίνες οἱ λέγοντες;

ΣΩ. Οἱ μὲν λέγοντές εἰσι τῶν ἱερέων τε[w] καὶ τῶν[x] ἱερειῶν ὅσοις μεμέληκε περὶ ὧν μεταχειρίζονται λόγον οἵοις[y] τ' εἶναι διδόναι· λέγει δὲ καὶ Πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν, ὅσοι θεῖοί εἰσιν. ἃ δὲ λέγουσι, ταυτί ἐστιν. ἀλλὰ σκόπει, εἴ σοι δοκοῦσιν ἀληθῆ λέγειν. φασὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον, καὶ τοτὲ μὲν τελευτᾶν, ὃ δὴ ἀποθνήσκειν καλοῦσι, τοτὲ δὲ[z] πάλιν γίγνεσθαι, ἀπόλλυσθαι δ' οὐδέποτε. δεῖν δὴ[a] διὰ ταῦτα ὡς[b] ὁσιώτατα διαβιῶναι τὸν βίον· οἷσι γὰρ ἂν Φερσεφόνα[c] ποινὰν παλαιοῦ πένθεος δέξηται,[d] εἰς τὸν[e] ὕπερθεν ἅλιον[f] κείνων[g] ἐνάτῳ ἔτει[h] ἀνδιδοῖ[i] ψυχὰν[j] πάλιν, ἐκ τᾶν[k] βασιλῆες ἀγαυοὶ

[x] τῶν om BF.—[y] οἶός[ν] Fb, οἶός BCr, οἷοί r.—[z] δὲ om pr E.—[a] δὲ E.—[b] καὶ F.—[c] φερσεφόνη r.—[d] δέξηται ΞΣ: δέξεται *ς.—[e] τὸ F.—[f] ἁλίου F.—[g] ἐκείνων Γ, κεῖνον r.—[h] ἔτι 𝔄Υ.—[i] ἂν διδοῖ r.—[j] ψυχὰς Bœckh. Pindari fragm. 98.—[k] ἐκ τῶν

ζητοῖ] Stobæus, qui hæc et sequentia exscripsit, Serm. 41. legit: οὔτε γὰρ ἄν, ὅγε οἶδε, ζητεῖ. Melius omnino ὅγε, sed deterius ζητεῖ. Ged.

μεμέληκε] Stob. vitiose citat μεμελέτηκε, et ante ὁσιώτατα omissum ibi ὡς. Ged.

οἷσι γὰρ κ. τ. λ.] Fragmentum hoc ad Pindari Threnos refert Schneider in Carm. Pindaricor. Fragment. p. 24. p. 37. Idem in *Versuch über Pindars Leben und Schriften*, p. 53. fusius de hoc loco disputat, et alios consimiles ejusdem poëtæ locos de immortalitate excutit, ac simul ostendit, unde Pindarus Pythagorica ista dogmata haurire potuerit. (Adde Bœckh. in Fragm. Pind. 98. p. 623.) De hac ipsa vero purgationis et migrationis animorum doctrina disserit Heynius ad Virgil. Æn. vi. 735.—Pro novem annis, quos Pindarus hic constituit, Platonem ipsum in Phædr. p. 249. B. mille annos constituere, notum est. Ged.

οἷς ἂν δέξεται] Antiquior sermo pro παρ' ὧν ἂν δέξηται. Vid. Il. B. 186. Δέξατό οἱ σκῆπτρον πατρώϊον: O. 88. Θέμιστι δὲ δέκτο δέπας. Buttm.

ἐκ τᾶν] In superior. edit. leg. ἐκτᾶν conjuncte, adnexum præcedentibus. Fic.

καὶ σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι ἄνδρες αὔξονται· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ[l] πρὸς ἀνθρώπων καλεῦνται. [§. 15.] Ἅτε οὖν ἡ ψυχὴ ἀθάνατός τε οὖσα καὶ πολλάκις γεγονυῖα, καὶ ἑωρακυῖα καὶ τὰ ἐνθάδε[m] καὶ τὰ[n] ἐν Ἅιδου καὶ πάντα χρήματα, οὐκ ἔστιν ὅ τι οὐ[o] μεμάθη-
π. i. 349. κεν, ὥστε οὐδὲν θαυμαστὸν καὶ περὶ ἀρετῆς καὶ περὶ ἄλλων οἷόν τε εἶναι αὐτὴν ἀναμνησθῆναι ἅ γε καὶ πρότερον ἠπίστατο. ἅτε γὰρ τῆς φύσεως ἁπάσης συγγενοῦς οὔσης, καὶ μεμαθηκυίας τῆς ψυχῆς ἅπαντα, οὐδὲν κωλύει ἓν μόνον ἀναμνησθέντα, ὃ δὴ μάθησιν καλοῦσιν ἄνθρωποι, τἆλλα πάντα αὐτὸν ἀνευρεῖν, ἐάν τις ἀνδρεῖος ᾖ καὶ μὴ ἀποκάμνῃ[p] ζητῶν· τὸ γὰρ ζητεῖν ἄρα καὶ τὸ μανθάνειν ἀνάμνησις ὅλον[q] ἐστίν. οὔκουν δεῖ πείθεσθαι[r] τούτῳ τῷ ἐριστικῷ λόγῳ· οὗτος μὲν γὰρ ἂν ἡμᾶς ἀργοὺς ποιήσειε καὶ ἔστι[s] τοῖς μαλακοῖς τῶν ἀνθρώπων ἡδὺς ἀκοῦσαι, ὅδε δὲ ἐργατικούς[t] τε καὶ ζητητικοὺς ποιεῖ. ᾧ[u] ἐγὼ πιστεύων ἀληθεῖ[v] εἶναι ἐθέλω[w] μετὰ σοῦ ζητεῖν ἀρετὴ ὅ τι ἔστιν.

ΣΥΥ, ἐκ τὰν Ƕ, ἔκταν CF, ἐς τὰν mg F.—[l] ἀγανοὶ ΞΣΥ.—[m] καὶ τὰ ἐνθάδε om pr Ξ.
ν
—[n] τὰ om pr Ξ.—[o] μὴ Υ.—[p] ἀποκάμνῃ ǶΓΔΞΣΥCr, ἀποκαμη B: ἀποκάμῃ *ς.—[q] ὅλον om Δ.—[r] πέσθαι C, ἔπεσθαι EFr.—[s] ἔτι CrΥ.—[t] ἐργατικούς ΓΔΞBCEFb: ἐργαστικούς *ς.—[u] ὃ mg F.—[v] ἀληθεῖ ǶΓΔBCrbΥ: ἀληθῆ *ς.—[w] θέλω ΣΥ.—[x] ὦ

autem ita vertit quasi legerit, ἔστ' ἂν, et αὔξωνται. Est autem ἀνδιδοῖ pro ἀναδιδοῖ. Steph.

ἐκ τᾶν] Ficinus legisse videtur ἔστ' ἂν—αὔξωνται, habet enim *quousque in reges—evadant.*—Bœckhius nihil magnopere mutat nisi quod pro ψυχὰν rescripsit ψυχάς. Quod nisi a viro lyrici sermonis peritissimo factum esset; paulo confidentius pronuntiarem, singulare ψυχὰν respiciens illud κείνων, et femininum plurale τᾶν relatum ad ψυχὰν, Pindarum me judice non dedecere. Plenus sermo: κείνων ἐνάτῳ ἀεὶ ἔτει ψυχὰν ἑκάστου ἀνδιδοῖ. Buttm.

αὔξονται] αὔξεσθαι, *augeri, crescere:* Pindaro *fieri*, crescendo scilicet, ut arbor e semine. Sic idem Ol. vii. 114. ubi Sol ait, se videre in mari αὐξομέναν πεδόθεν πολύβοσκον γαῖαν· ea erat Rhodus insula, quam e fundo maris emersisse tradebant. Buttm.

§. 15. καὶ πάν. χρ.] Accedo Struvio ultimum καὶ damnanti. Buttm.

οἷόντε ε. α. ἀναμ.] *Fieri posse, ut illa reminiscatur.* Poterat scribere οἷηντε, sed tum non posuisset, puto, αὐτήν. Buttm.

ἀναμνησθῆναι] Sæpius hanc opinionem Socrati tribuit Plato, ut in Phædone p. 72. E. ubi Cebes, ὦ Σώκρατες, ait, εἴωθας θαμὰ λέγειν, ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις τυγχάνει οὖσα, καὶ κατὰ τοῦτο ἀνάγκη που ἡμᾶς ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθηκέναι, ἃ νῦν ἀναμιμνησκόμεθα. κ. τ. λ. et in Phædr. p. 249. C. τοῦτο δέ ἐστιν ἀνάμνησις ἐκείνων, ἅ ποτ' εἶδεν ἡμῶν ἡ ψυχὴ συμπορευθεῖσα θεῷ.—ἀναμιμνήσκεσθαι δ' ἐκ τῶνδε ἐκεῖνα, οὐ ῥᾴδιον ἁπάσῃ etc. Conferendus autem ad dogma hoc de reminiscentia Cicero Tusc. i. 24. Boëthius in Consol. 'Quod si Platonis Musa personat verum, Quod quisque discit, immemor recordatur.' Ged.

ΜΕΝ. Ναί, ὦ[x] Σώκρατες· ἀλλ' ἁπλῶς[y] λέγεις τοῦτο, ὅτι οὐ[z] μανθάνομεν, ἀλλὰ ἣν καλοῦμεν μάθησιν, ἀνάμνησίς ἐστιν; ἔχεις με[a] τοῦτο διδάξαι ὡς οὕτως ἔχει;

ΣΩ. Καὶ ἄρτι εἶπον, ὦ Μένων, ὅτι πανοῦργος εἶ, καὶ νῦν ἐρωτᾷς εἰ ἔχω σε διδάξαι, ὃς οὔ φημι διδαχὴν εἶναι II. 82.
ἀλλ' ἀνάμνησιν, ἵνα δὴ εὐθὺς[b] φαίνωμαι αὐτὸς ἐμαυτῷ τἀναντία λέγων.

ΜΕΝ. Οὐ μὰ τὸν Δί', ὦ Σώκρατες, οὐ πρὸς τοῦτο II. i. 350.
βλέψας εἶπον, ἀλλ' ὑπὸ τοῦ ἔθους. ἀλλ' εἴ πώς μοι ἔχεις ἐνδείξασθαι ὅτι ἔχει ὥς περ λέγεις, ἔνδειξαι.

ΣΩ. Ἀλλ' ἔστι μὲν οὐ ῥᾴδιον, ὅμως δὲ ἐθέλω προθυμηθῆναι σοῦ ἕνεκεν.[c] ἀλλά μοι προσκάλεσον[d] τῶν πολλῶν ἀκολούθων τουτωνὶ τῶν σαυτοῦ ἕνα, ὅν τινα βούλει, ἵνα ἐν τούτῳ[e] σοι ἐπιδείξωμαι.

ΜΕΝ. Πάνυ γε. Δεῦρο πρόσελθε.

ΣΩ. Ἕλλην μέν ἐστι καὶ ἑλληνίζει;

ΜΕΝ. Πάνυ γε σφόδρα, οἰκογενής.[f]

ΣΩ. Πρόσεχε δὴ τὸν νοῦν, ὁπότερ' ἄν σοι φαίνηται,[g] ἢ ἀναμιμνησκόμενος ἢ μανθάνων παρ' ἐμοῦ.

ΜΕΝ. Ἀλλὰ προσέξω.

§. 16. ΣΩ. Εἰπὲ δή μοι, ὦ παῖ, γιγνώσκεις τετράγωνον χωρίον ὅτι τοιοῦτόν ἐστιν;

om ɤ.—[y] ἀλλὰ πῶς ɤ.—[z] οὐ om ΣΥ.—[a] μετὰ ՋΔ.—[b] εὐθὺς om ɤ.—[c] ἕνεκεν ՋΓΔ ΞΣΥBCF, bɤ : ἕνεκα *s.—[d] προσκάλεσαι bɤ.—[e] τούτῳ ΔΞΣΥ : τουτῳt *s.—[f] οἰκο-

ἀλλ' ἁπλῶς λ.] Stob. pro ἀλλ' ἁπλ. λ. habet ἀλλὰ πῶς λέγεις. Non prorsus incommode. Codicum scripturæ sensus est: Num id ita dicis, ut nulli exceptioni locus sit? Hanc enim vox ἁπλῶς vim sæpius apud Nostrum habet, e. g. in Phæd. p. 103. C. συνωμολογήκαμεν ἁπλῶς τοῦτο. Ged. Vid. Heind. ad Phædr. §. 47. Gorg. §. 53. Buttm.

προσκάλεσον] Cod. Vind. προσκάλεσαι, quod quin præferam obstat non μοὶ hic additum (usitatior enim est forma hujus verbi media in omni et structura et sensu) sed auctoritas codicum. Buttm.

Ἑλ. μέν ἐ.] μὲν in interrogatione sic usurpatum affirmationem alterius exspectat; *opinor, haud dubie*. Vid. Charmid. §. 2. Eurip. Med. 674. Monuit hoc, sua ad Charmidæ locum retractans, Heindorfius. Differt autem hæc interrogandi forma ab illa per ποὺ eo quod ποὺ in re aliunde satis certa alterius assensum exspectat, istud μὲν autem aliquid ut consentaneum et necessarium poscit. Buttm.

οἰκογενὴς] Ante οἰκογενὴς videtur Fic. legisse aut legendam censuisse particulam καί. Steph.

§. 16. εἰπὲ κ. τ. λ.] Incipit elegans episodium, quod exemplar præbet μαιευτικῆς τέχνης Socratis. Maxima illius fuit sollertia atque ars in eo, ut notiones obscuras, quæ in hominibus quasi dormiunt, excitaret, clarioresque efficeret. Ipse dixit *artem obstetriciam*, ludens simul in arte, qua victum quæsiverat mater. Sæpius hoc occurrit apud Platonem, clarissime in Theæteto p. 148. E. 150. B. [Schleiermacheri de hoc episo-

ΠΑΙ. Ἔγωγε.

ΣΩ. Ἔστιν οὖν τετράγωνον χωρίον ἴσας ἔχον τὰς γραμμὰς ταύτας πάσας, τέτταρας οὔσας;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Οὐ καὶ ταυτασὶ τὰς διὰ μέσου ἐστὶν[h] ἴσας ἔχον;

ΠΑΙ. Ναί.

ΣΩ. Οὐκοῦν εἴη[i] ἂν τοιοῦτον χωρίον καὶ μεῖζον καὶ ἔλαττον;

ΠΑΙ. Πάνυ γε.

II. i. 351. ΣΩ. Εἰ οὖν εἴη αὕτη ἡ πλευρὰ δυοῖν ποδοῖν καὶ αὕτη δυοῖν, πόσων ἂν εἴη ποδῶν τὸ ὅλον; Ὧδε δὲ σκόπει. εἰ ἦν[j] ταύτῃ δυοῖν ποδοῖν, ταύτῃ δὲ ἑνὸς ποδὸς μόνον, ἄλλο τι[k] ἅπαξ ἂν[l] ἦν δυοῖν ποδοῖν τὸ χωρίον;

ΠΑΙ. Ναί.

ΣΩ. Ἐπειδὴ δὲ δυοῖν ποδοῖν καὶ ταύτῃ, ἄλλο τι δὶς[m] δυοῖν γίγνεται;

ΠΑΙ. Γίγνεται.

ΣΩ. Δυοῖν ἄρα δὶς γίγνεται ποδῶν;

γεννής F.—[g] φαίνεται ΞΥ.—[h] ἐστιν om Σ et pr Ξ.—[i] οἴει EF.—[j] ἦν Wolfius: libri ἐν.—[k] τι ἢ ΣΥ et rc Γ.—[l] ἂν om Γ, ante ἦν ponunt 𝔄ΔΞΣΥBCrƀr, post ἦν *s.

dio sententia paulo diversa cognosci potest e nota ejus, quam damus ad §. 17. extr.] Putandus autem Socrates ambulans figuras, de quibus loquebatur cum puero Menonis, in arena, uti mos erat veterum, delineasse. Biest.

διὰ μέσου] Non de linea, quam *diagonalem* dicunt, sermo est; sed de alia quæ ex altero latere ad oppositum alterum per medium quadratum ducitur. Delineatur enim quadratum majus, divisum in quattuor minora, ut videre est in figura appicta §. 17. loquitur autem nunc quidem Socr. de majori illo quadrato. Biest.

εἰ ἦν ταύτῃ] Vulgatam εἰ ἐν ταύτῃ sensu destitutam omnes tamen codices servant. Ficinus veram scripturam in codice invenerit, an sicut F. A. Wolfius conjectura assecutus sit, non dicam. Vertit certe: *Si latus hoc duorum esset pedum—*. Emendationem certissimam diutius a textu arcere nefas esset. Buttm.

ἄν τιν'] Codd. omnes præter Ven. Ξ ἄν τι αὐτὸ ὑποπτ. ε. Neque reddidit Ficinus pronomen τινά. Buttm.

§. 24. ὅταν τί βλάπτει] In præced. edit. βλάπτῃ: et ὅτάν τι utrobique enclit. sed scrib. est βλάπτει, ut ὠφελεῖ, et τί interrog. Perinde est enim ac si ita loqueretur, τί ἐστιν ὅπερ ὅταν ἑκάστου τούτων ἡγῆται, ταῦτα ὠφελεῖ ἡμᾶς· καὶ τί ἐστιν ὅπερ ὅτ. ἑ. τ. ἡγ. ταῦτα βλάπτει. Sic autem et alibi vocula τί utitur. Sic et Fic. vertit, *Aliquid vocas?* legens τὶ, non τί, ut in præc. edit. Steph.

εὐμαθίαν[b] καὶ μνήμην καὶ μεγαλοπρέπειαν καὶ πάντα τὰ τοιαῦτα;

ΜΕΝ. Ἔγωγε.

ΣΩ. Σκόπει δὴ τούτων ἅττα σοι δοκεῖ μὴ ἐπιστήμη εἶναι ἀλλ᾽ ἄλλο ἐπιστήμης, ἢ οὐχὶ[c] ποτὲ μὲν βλάπτει, ποτὲ[d] δὲ ὠφελεῖ; οἷον ἀνδρία,[e] εἰ μὴ ἔστι φρόνησις ἡ ἀνδρία ἀλλ᾽ οἷον θάῤῥος τι· οὐχὶ[f] ὅταν μὲν ἄνευ νοῦ θαῤῥῇ II. i. 365. ἄνθρωπος, βλάπτεται, ὅταν δὲ σὺν νῷ, ὠφελεῖται;

ΜΕΝ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ σωφροσύνη ὡσαύτως καὶ εὐμαθία[g] μετὰ μὲν νοῦ καὶ μανθανόμενα καὶ καταρτυόμενα[h] ὠφέλιμα, ἄνευ δὲ νοῦ[i] βλαβερά;

ΜΕΝ. Πάνυ σφόδρα.

ΣΩ. Οὐκοῦν συλλήβδην πάντα τὰ τῆς ψυχῆς ἐπιχειρήματα καὶ καρτερήματα ἡγουμένης[j] μὲν φρονήσεως εἰς εὐδαιμονίαν τελευτᾷ, ἀφροσύνης δ᾽ εἰς τοὐναντίον;

ΜΕΝ. Ἔοικεν.

ΣΩ. Εἰ ἄρα ἀρετὴ τῶν ἐν τῇ ψυχῇ τί ἐστι καὶ ἀναγκαῖον αὐτῷ[k] ὠφελίμῳ εἶναι, φρόνησιν αὐτὸ[l] δεῖ εἶναι, ἐπειδή περ πάντα τὰ κατὰ τὴν ψυχὴν αὐτὰ μὲν καθ᾽ αὑτὰ οὔτε ὠφέλιμα οὔτε[m] βλαβερά ἐστι, προσγενομένης δὲ φρονήσεως ἢ ἀφροσύνης βλαβερά τε καὶ ὠφέλιμα γίγνεται.[n] κατὰ δὴ τοῦτον τὸν λόγον ὠφέλιμόν γε[o] οὖσαν τὴν ἀρετὴν φρόνησιν δεῖ[p] τιν᾽ εἶναι.

ΜΕΝ. Ἔμοιγε δοκεῖ.

§. 25. ΣΩ. Καὶ μὲν[q] δὴ καὶ τἆλλα[r] ἃ νῦν δὴ ἐλέγο-

[d] τότε 𝔄ΓΔΥΒCE, τοτὲ r𝔡.—[e] ἀνδρεία ΓΔΞΣΥ.—[f] οὐχὶ Δ: οὐχ *s.—[g] εὐμάθεια r𝔛.—[h] μανθανόμεναι καὶ καταρτυόμεναι 𝔡.—[i] νοῦ om pr Γ.—[j] ἡγούμενος Σ.—[k] αὐτῷ καὶ ἀναγκαῖον pr Γ.—[l] αὐτῷ 𝔛.—[m] οὔτ᾽ 𝔛.—[n] γίγνονται F.—[o] τε 𝔛.—[p] δή 𝔡𝔛.

ἄλλο ἐπιστήμης] Cic. ad Famil. xi. 2. 'Nec quicquam aliud libertate communi quæsisse.' Horat. i. Ep. 16. 20. 'Neve putes alium sapiente bonoque beatum.' ἄλλοι ἢ τῶν εἰδότων Alcib. ii. §. 22. BUTTM.

ἢ οὐχὶ] Scribendum εἰ οὐχὶ—ὠφελεῖ sine interrogationis nota. Nusquam enim in interrogatione ante οὐκ invenias ἤ. HEIND. E Cod. Ambr. enotatum est ἤ. Mihi videtur optime omitti. BUTTM.

οἷον θάῤῥος τι] Ficinus, qui habet: *veluti fortitudo remota prudentia? num fortitudo aliud est, quam audacia quædam?* legisse videtur: οἷον ἀνδρία εἰ μὴ ἔστι φρόνησις. Ἡ ἀνδρία ἀλλοῖον ἢ θάῤῥος τι; Sic tamen nexus prorsus laceratur. Posses conjicere: ἀλλ᾽ οἷον θάῤῥος τι, si fortitudo non est prudentia, sed *tantummodo* audacia quædam. Sed neque id opus. Potest enim οἷον hic, ut antea, explicari *exempli gratia*. GED.

§. 25. καὶ μὲν δὴ καὶ τἆλλα] Basis structuræ hæc est: Καὶ μὲν δὴ καὶ τἆλ-

μεν,[s] πλοῦτόν τε καὶ τὰ τοιαῦτα, τοτὲ μὲν ἀγαθὰ τοτὲ δὲ βλαβερὰ εἶναι, ἆρ' οὐχ ὥσπερ τῇ ἄλλῃ ψυχῇ ἡ φρόνη-
II. i. 366. σις ἡγουμένη ὠφέλιμα τὰ τῆς ψυχῆς ἐποίει, ἡ δὲ ἀφροσύνη βλαβερά, οὕτως αὖ[t] καὶ τούτοις ἡ ψυχὴ ὀρθῶς μὲν χρωμένη καὶ ἡγουμένη ὠφέλιμα αὐτὰ ποιεῖ, μὴ ὀρθῶς δὲ βλαβερά;

ΜΕΝ. Πάνυ γε.

ΣΩ. Ὀρθῶς δέ γε[u] ἡ[v] ἔμφρων ἡγεῖται, ἡμαρτημένως δ' ἡ ἄφρων;

ΜΕΝ. Ἔστι ταῦτα.

ΣΩ. Οὐκοῦν οὕτω δὴ[w] κατὰ πάντων εἰπεῖν[x] ἔστι τῷ ἀνθρώπῳ τὰ μὲν ἄλλα πάντα εἰς τὴν ψυχὴν ἀνηρτῆσθαι,
II. 89. τὰ δὲ τῆς ψυχῆς αὐτῆς εἰς φρόνησιν, εἰ μέλλει ἀγαθὰ εἶναι· καὶ τούτῳ τῷ λόγῳ φρόνησις ἂν εἴη τὸ ὠφέλιμον. φαμὲν δὲ τὴν ἀρετὴν ὠφέλιμον εἶναι;

ΜΕΝ. Πάνυ γε.

ΣΩ. Φρόνησιν[y] ἄρα φαμὲν ἀρετὴν εἶναι,[z] ἤτοι[a] ξύμπασαν ἢ μέρος τι;

ΜΕΝ. Δοκεῖ μοι καλῶς λέγεσθαι, ὦ Σώκρατες, τὰ λεγόμενα.

ΣΩ. Οὐκοῦν εἰ ταῦτα οὕτως ἔχει, οὐκ ἂν εἶεν φύσει οἱ ἀγαθοί;

ΜΕΝ. Οὔ μοι δοκεῖ.

ΣΩ. Καὶ γὰρ ἄν που καὶ τόδ' ἦν. εἰ φύσει οἱ ἀγαθοὶ ἐγίγνοντο, ἦσάν που ἂν ἡμῖν οἱ ἐγίγνωσκον τῶν νέων τοὺς

—[q] μὴν ꝺ.—[r] τἆλλα ΔΞΣΥFꝺꝛ: τὰ ἄλλα *ς.—[s] διελέγομεν F.—[t] ἂν ΣΥ.—[u] γε om Σ.—[v] λέγε εἰ ꝘΔ.—[w] δεῖ ꝺ.—[x] εἰπεῖν om ꝛ.—[y] καὶ φρόνησιν ΣΥ.—[z] εἶναι

λα—ἆρ' οὐχ ἡ ψυχὴ, ὀρθῶς μὲν χρωμένη αὐτοῖς, ὠφέλιμα ποιεῖ. Sed ob inserta hæc, ὥσπερ τῇ ἄλλῃ ψυχῇ ἡ φρόνησις ἡγουμένη—ἐποίει, pro αὐτοῖς necessarium factum erat καὶ τούτοις: quare mox inseritur αὐτά. Illud etiam observa, verba hæc πλοῦτόν τε καὶ τὰ τοιαῦτα, quæ inserta sunt ad explicanda pronomina τἆλλα ἃ—, paulo negligentius collocata esse inter ἐλέγομεν et verba inde pendentia. Denique monendi sunt tirones, pro præsenti ποιεῖ usurpatum esse impf. ἐποίει, quo respicitur expositio modo facta de φρονήσει; plenius: ποιεῖ, ὡς ἐλέγομεν. Buttm.

τῇ ἄλλῃ ψυχῇ] Non est *alia* anima: hoc enim foret ἄλλη ψυχή: sed *reliqua*, et opponitur parti animæ, τῇ φρονήσει. Buttm.

οἱ ἀγαθοὶ] Struvius collatis locis, mox §. 26. et Protag. §. 49. recte, opinor, post ἀγαθοὶ iterum inseri jubet ἀγαθοί. Buttm.

εἰ φύσει οἱ ἀγαθοὶ ἐγίγνοντο] Ita Æschines Socratic. p. 379. A. §. 8. Τί οὖν; οἴει ἄν, εἴπερ ἦσαν φύσεις ἀγαθαὶ

ἀγαθοὺς τὰς φύσεις,[b] οὓς ἡμεῖς ἂν[c] παραλαβόντες ἐκείνων ἀποφηνάντων ἐφυλάττομεν ἐν[d] ἀκροπόλει, κατασημηνάμενοι II. i. 367. πολὺ μᾶλλον ἢ τὸ χρυσίον, ἵνα μηδεὶς αὐτοὺς διέφθειρεν, ἀλλ' ἐπειδὴ ἀφίκοιντο[e] εἰς τὴν ἡλικίαν, χρήσιμοι γίγνοιντο[f] ταῖς πόλεσιν.

ΜΕΝ. Εἰκός γέ τοι, ὦ Σώκρατες.

§. 26. ΣΩ. Ἆρ' οὖν ἐπειδὴ οὐ φύσει οἱ ἀγαθοὶ ἀγαθοὶ γίγνονται, ἆρα μαθήσει;

ΜΕΝ. Δοκεῖ μοι ἤδη ἀναγκαῖον εἶναι. καὶ δῆλον, ὦ Σώκρατες, κατὰ τὴν ὑπόθεσιν, εἴ περ ἐπιστήμη ἐστὶν ἀρετή, ὅτι διδακτόν ἐστιν.

ΣΩ. Ἴσως νὴ Δία· ἀλλὰ μὴ τοῦτο οὐ καλῶς ὡμολογήσαμεν;

ΜΕΝ. Καὶ μὴν[g] ἐδόκει μὲν ἄρτι καλῶς λέγεσθαι.

ΣΩ. Ἀλλὰ μὴ οὐκ ἐν τῷ ἄρτι μόνον δέῃ αὐτὸ[h] δοκεῖν[i]

ἀρετὴν 𝔟𝔯.—[a] εἴτε 𝔟.—[b] τῇ φύσει Γ.—[c] ἂν ἡμεῖς Γ.—[d] ἂν ἐν ΞΣΥ.—[e] ἀφίκοντο Ε.—[f] γίγνοντο pr Ξ.—[g] μοι corr Γ.—[h] αὐτὸν ΣΥ.—[i] δοκεῖ Υ.—[j] δή om 𝔯.—[k] ἡ

πρὸς ἀρετὴν ἀνθρώπων, οὐκ ἂν πάντα μεμηχανῆσθαι τοὺς ἀνθρώπους, ὥστε διαγινώσκειν αὐτάς; Εἰκός γε. Ἔχεις οὖν τινα εἰπεῖν τέχνην, ἥτις ἐστὶν ἐπὶ ταῖς φύσεσι ταῖς τῶν ἀνδρῶν τῶν ἀγαθῶν ἀποδεδειγμένη, ὥστε δύνασθαι αὐτὰς κρίνειν; Οὐκ ἔχω. Καὶ μὲν δὴ πλείστου ἂν ἦν ἀξία, καὶ οἱ ἔχοντες αὐτήν. οὗτοι γὰρ ἂν ἡμῖν ἀπέφαινον τῶν νεῶν τοὺς μέλλοντας ἀγαθοὺς ἔσεσθαι ἔτι παῖδας ὄντας. οὓς ἂν ἡμεῖς παραλαβόντες ἐφυλάττομεν ἐν ἀκροπόλει δημοσίᾳ, ὥσπερ τὸ ἀργύριον, καὶ μᾶλλον τι, ἵνα μή τι φλαῦρον ἡμῖν πάθοιεν, μήτε ἐν μάχῃ, μήτε ἐν ἄλλῳ τινὶ κινδύνῳ· ἀλλ' ἀπέκειντο τῇ πόλει σωτῆρές τε καὶ εὐεργέται, ἐπειδή γε εἰς τὴν ἡλικίαν ἀφίκοιντο. Biest.

ἐφυλάττομεν] Faceta allusio ad morem qui erat, ut alibi, ita etiam Athenis, pecunias publicas et pretiosa quæque in thesauris templorum, quæ in acropoli essent, clausis et obsignatis portis asservandi. Vid. Bœckh. *Staatshaus. d. Athen.* ii. p. 203. Buttm.

διέφθειρεν] Lege διαφθείροι. Sequitur enim γίγνοιντο. Ged.

διέφθειρεν] A conjunctione ἵνα pendet hic imperfectum διέφθειρεν ob præcedens hypotheticum, de eo quod non est, imperfectum ἐφυλάττομεν. Vid. Crit. §. 3. ἵνα οἴοιτ' ἦσαν. Hoogev. (Schütz.) p. 357. 8. Lys. de Eratosth. nece p. 43. (Reisk.) ut ibi Taylor. Cf. eundem usum in aoristo indicativo apud Heind. ad Theæt. §. 48. Mutatur autem hic quidem modus mox, poniturque γίγνοιντο ob intercedens ἀφίκοιντο. Buttm.

§. 26. μὴ οὐκ] Exempla particulæ μή, sensu cavendi vel timendi cum indicativo, e prosariis certe scriptoribus, nonnisi de perfecto afferuntur ab Hoogeveno, Matthiæ in gramm. §. 520. Obs. v. aliis. Quare hic etiam fortasse aliquis reponendum illud tempus putet, maxime cum sæpius occurrat in hac sententia ὡμολογήκαμεν (vid. infr. 38. 40. etc.) Aptior tamen hic videtur aoristum in re præterita quidem, sed quæ non firma maneat. Indicativus autem in tali loquendi forma, contra naturam constructionis per μή velut invita irrepit grammatica, quia certum est loquenti, ita esse, et hic quidem, *male se statuisse*. Conf. eundem usum in præsenti quoque notatum ad Alcib. ii. 3. ubi diserte etiam additum verbum ὅρα. Buttm.

μὴ οὐκ] De hoc loco et particula οὐ verba ἀπιστεῖν abundanter addito vid. Heind. ad Gorg. §. 99. et conf. μή in indice. Μή et, quod fortius negat, μὴ οὐ

καλῶς λέγεσθαι, ἀλλὰ καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ ἔπειτα, εἰ μέλλει τι αὐτοῦ ὑγιὲς εἶναι.

ΜΕΝ. Τί οὖν δή;[j] πρὸς τί βλέπων δυσχεραίνεις αὐτὸ καὶ ἀπιστεῖς μὴ οὐκ ἐπιστήμη ᾖ ἡ[k] ἀρετή;

ΣΩ. Ἐγώ σοι ἐρῶ, ὦ Μένων. τὸ μὲν γὰρ διδακτὸν αὐτὸ εἶναι, εἴ περ ἐπιστήμη ἐστίν, οὐκ ἀνατίθεμαι μὴ οὐ καλῶς λέγεσθαι· ὅτι δ' οὐκ ἔστιν ἐπιστήμη, σκέψαι ἐάν σοι δοκῶ εἰκότως ἀπιστεῖν. τόδε γάρ μοι εἰπέ. εἰ ἔστι διδακτὸν ὁτιοῦν πρᾶγμα,[l] μὴ μόνον ἀρετή, οὐκ ἀναγκαῖον αὐτοῦ καὶ διδασκάλους καὶ μαθητὰς εἶναι;

II. i. 368. ΜΕΝ. Ἔμοιγε[m] δοκεῖ.

ΣΩ. Οὐκοῦν τοὐναντίον αὖ,[n] οὗ μήτε διδάσκαλοι μήτε μαθηταὶ εἶεν, καλῶς ἂν αὐτὸ εἰκάζοντες εἰκάζοιμεν μὴ διδακτὸν εἶναι;

ΜΕΝ. Ἔστι ταῦτα. ἀλλ' ἀρετῆς διδάσκαλοι οὐ δοκοῦσί σοι εἶναι;

ΣΩ. Πολλάκις[o] γοῦν ζητῶν εἴ τινες εἶεν αὐτῆς[p] διδάσκαλοι, πάντα ποιῶν οὐ δύναμαι εὑρεῖν. καί τοι μετὰ πολλῶν γε ζητῶ, καὶ τούτων[q] μάλιστα οὓς[r] ἂν οἴωμαι ἐμπειροτάτους εἶναι τοῦ πράγματος. καὶ δὴ καὶ νῦν, ὦ Μένων, εἰς καλὸν ἡμῖν αὐτὸς[s] ὅδε[t] παρεκαθέζετο, ᾧ μεταδῶμεν τῆς

om F.—[l] τι Γ.—[m] εἴ σοι γε F.—[n] αὖ om 𝔡.—[o] οὐ πολλάκις 𝔵.—[p] αὐτῆς εἶεν Eς.—[q] τῶν 𝔵.—[r] οὓς 𝔄ΓΔBCEFr𝔡𝔵 : οἵους *ς.—[s] Ἄνυτος Struvius.—[t] ὧδε Ξ𝔜𝔡.—

redundat post verba negationem continentia: ἀνατίθεμαι (*retracto*) μὴ οὐ καλῶς λέγεσθαι, quasi dicas *retracto, ita ut nunc statuam non bene dici*; neque minus tamen eodem sensu etiam sine negatione Xen. Mem. i. 1. 44. ἀνατίθεμαι, ὅσα τύραννος μὴ πείσας γράφει, νόμον εἶναι. Buttm.

εἶεν] Optativus, ut observant Heindorfius et Struvius, persæpe relativis sic jungitur, quando hæc sunt eo sensu quo εἰ cum opt. ut hic pro εἴ τινος μὴ—εἶεν. Cf. Lys. p. 214. D. ὃ δέ γε αὐτὸ αὑτῷ ἀνόμοιον εἴη—σχολῇ γέ τῳ ἄλλῳ ὅμοιον γένοιτο. Charm. p. 171. extr. καὶ ἄλλο πᾶν οὗ σωφροσύνη ἄρχοι. Hipp. Maj. p. 284. A. καὶ ἄλλοθι ὅπου τοῦτο σπουδάζοιτο. Phædr. p. 276. B. ὧν σπερμάτων κήδοιτο: item hic infr. §. 30. Buttm.

μὴ δ.] Scripsisse Platonem μηδὲ διδακτὸν probabile fiet ex illis quæ ascribam iisdem fere verbis repetitis infra 37. Buttm.

εἰς καλὸν] *Opportune*: vid. Wolf. ad Symp. ii. 9. Buttm.

αὐτὸς ὅδε] αὐτὸς ὅδε et mox αὐτὸς γὰρ ὅδε. Bis pro voce αὐτὸς Struvius reponendum censet Ἄνυτος. Quod priori loco admittere non possum. Nam παρεκαθέζετο Ἄνυτος, ᾧ μεταδῶμεν valeret *assedit Anytus ut participem eum faciamus*, quod hujus loci non est. Sed in locutione Attica αὐτὸς ᾧ μεταδῶμεν vis τελικὴ conjunctivi derivatur ex parte ab illo αὐτὸς, ut sit ac si scriptum esset 'assedit homo ad hos sermones aptissimus et velut ob id ipsum ut participem eum faciamus.' Pronomen ὅδε autem hic est pro adverbio, *hic propter nos*: vid. ad §. 19. Sed posteriori loco persuasissimum mihi

ζητήσεως. εἰκότως δ' αὖ[u] μεταδοῖμεν ἄν. αὐτὸς[s] γὰρ[v]
ὅδε πρῶτον μέν ἐστι πατρὸς πλουσίου τε καὶ σοφοῦ Ἀνθε- II. 90.
μίωνος, ὃς ἐγένετο πλούσιος οὐκ ἀπὸ τοῦ αὐτομάτου οὐδὲ
δόντος τινός, ὥς περ ὁ νῦν νεωστὶ εἰληφὼς τὰ Πολυκράτους
χρήματα Ἰσμηνίας ὁ Θηβαῖος, ἀλλὰ τῇ αὑτοῦ σοφίᾳ κτη-

[u] ἂν ℨΔ.—[v] μὲν γὰρ ϒ.—[w] ἔθρεψεν ὁ πατὴρ δηλαδὴ καὶ ΣΥ.—[x] γὰρ Δ.—[y] σαυτῷ

est verum vidisse Struvium, scripsisseque Platonem, Ἄνυτος γὰρ ὅδε. Nam præterquam quod non apparet cur tamdiu nomen hominis taceat Socrates, pronomen αὐτὸς nullam hic vim exercet; quam sic tantum haberet, si esset αὐτὸς γὰρ ὅδε σοφός ἐστι, καὶ πατρὸς ἐχρήσατο σοφοῦ Ἀνθεμίωνος: nunc patris mentio statim in eo comprehenditur quod primo loco de ipso refertur. Ut non verear istud αὐτὸς γὰρ prorsus ἄλογον dicere. Conf. de confusione nominum αὐτὸς et Ἄνυτος Boissonad. ad Marin. p. 88. et Schæfer ibid. in indice. Jam Anytum esse ipsum illum Socratis postea accusatorem, de eo nunquam opinor dubitatum est. Nam Diogenes Laert. ii. 63. tanquam certum hoc ponit, et Plutarchus in Amatorio 17. 18. p. (762. C. D.) post narratiunculam quandam de Anyto, quem diserte Anthemionis filium nominat, et Alcibiade, inimicitias illius cum Socrate tangit. Accedit nunc scholium ad Euthyphronem, quod e cod. Clarkiano edidit Gaisfordus in Lectionib. Platon. p. 169. cujusque initium est hoc: Οὗτος δ' Ἄνυτος Ἀνθεμίωνος ἦν υἱὸς Ἀθηναῖος γένος, Ἀλκιβιάδου ἐραστὴς πλούσιος ἐκ βυρσοδεψικῆς. ὅθεν καὶ σκωπτόμενος ὑπὸ Σωκράτους διὰ τοῦτο ἔπεισε Μέλητον, ἀσεβείας γραφὴν δοῦναι κατὰ Σωκράτους. Qua occasione discant studiosi, ex optimis diversorum librorum codd. Mss. hodie constare, falsam esse scripturam pervulgatam, cujus quantitatem mirabamur omnes, nominis Μέλιτος. Verum de Anyto, ut recte Schleiermacher, testimoniorum nihil opus est, cum ita hic eam producat Plato, ut tantum non ipse, illum se in animo habere eloquatur. Quo illud etiam spectat quod iis quæ de Anyto accusatore leguntur in Apologia Socratis Xenophontea 29. τῶν μεγίστων ὑπὸ τῆς πόλεως ἀξιούμενον, simillima sunt hæc in nostro loco, αἱροῦνται γοῦν αὐτὸν ἐπὶ τὰς μεγίστας ἀρχάς. Legatur integer Apologiæ locus cum nota Schneideri. Adde de Pylo ab eo prodita judiciique corruptione Diod. xiii. 64. Plut. Coriol. 14. (p. 220.) Buttm.

εἰκότως δ' ἂν] Vulgo εἰκότως δ' αὖ, plane otiosa particula αὖ. Nam si dicas simplici *posse*, quod est in μεταδῶμεν, opponi nunc hoc, *recte posse*, id solo δὲ alias rectius indicatur. Quod autem censebat Ullrichius, respici superius illud cum servulo colloquium, hoc post tam longum intervallum hæc sola particula efficere non potest. Itaque non dubitavi adoptare, quod optimi codices præbent, duplex ἄν. Cf. Alcib. ii. 8. κἂν εὔξαιντο ἄν: Demosth. Mid. §. 36. οὔτ' ἂν ὑμεῖς ὑπομείναιτ' ἄν: et lege Hermanni notata ad Vig. num. 283. Buttm.

Ἰσμηνίας] Duo sunt Ismeniæ, de quibus cogitare hic aliquis possit, probe tamen distinguendi. Alterum Plutarchus missum esse refert Ol. 103. 2. ad regem Persarum una cum Pelopida, cujus amicus teste Diodoro ille erat. Verum consideranti, qua ratione Pelopidas tum in gratiam regis venerat, apparet Ismeniam nonnisi partes secundas egisse, neque credendum est tam magnificis eum donis tunc cumulatum esse. Alius fuit Ismenias qui, jam Ol. 99. 3. Lacedæmoniis Cadmeam tenentibus, tanquam dux partium oppositarum morte multatus est, ut refert Xenoph. Hell. v. 2. 25. Jam eundem idem narrat scriptor ib. iii. 5. 1. ex numero eorum Thebarum, Corinthi et Argorum principum fuisse, inter quos eo tempore, quo rem in Asia prospere gereret Agesilaus, ut bellum Spartanis commoverent, L talenta argenti distribuerit Tithraustes, Tissaphernis successor. Quod factum esse oportet Ol. 96. 1. vel 2. eoque referenda censeo verba Platonis. Polycratis autem, Samiorum tyranni, divitiæ, nisi, quod magnopere mihi quidem videtur, per proverbium forte hic nominantur, in Asiam potissimum minorem, unde pecuniam illam in Græciam misit Tithraustes, translata olim fuisse credibile est reputanti finem tyranni, Samique fata ulteriora. Schleierm. Quamvis

σάμενος καὶ ἐπιμελείᾳ, ἔπειτα καὶ τὰ ἄλλα οὐχ ὑπερή-
φανος δοκῶν εἶναι πολίτης οὐδὲ ὀγκώδης τε καὶ ἐπαχθής,
ἀλλὰ κόσμιος καὶ εὐσταλὴς ἀνήρ· ἔπειτα τοῦτον εὖ ἔθρε-
ψε καὶ ἐπαίδευσεν,[w] ὡς δοκεῖ Ἀθηναίων τῷ πλήθει· αἱ-
ροῦνται γοῦν[x] αὐτὸν ἐπὶ τὰς μεγίστας ἀρχάς. δίκαιον δὴ
II. i. 369. μετὰ τοιούτων ζητεῖν ἀρετῆς πέρι διδασκάλους, εἴτ' εἰσὶν
εἴτε μή, καὶ οἵ τινες. [§. 27.] Σὺ οὖν ἡμῖν, ὦ Ἄνυτε,
συζήτησον, ἐμοί τε καὶ τῷ σαυτοῦ[y] ξένῳ Μένωνι τῷδε, περὶ
τούτου τοῦ πράγματος, τίνες[z] ἂν εἶεν διδάσκαλοι. ὧδε δὲ
σκέψαι. εἰ βουλοίμεθα Μένωνα τόνδε ἀγαθὸν ἰατρὸν γε-
νέσθαι, παρὰ τίνας ἂν[a] αὐτὸν πέμποιμεν διδασκάλους; ἆρ'
οὐ παρὰ τοὺς ἰατρούς;

ΑΝ. Πάνυ γε.[b]

F.—[z] εἴ τινες r.—[a] ἂν om b.—[b] πάνυ γε om b.—[c] τῶν om r.—[d] πρὸς r.—[e] ἐκ-

magnum argenti pondus L talenta tum temporis in Græcia fuisse videantur; tamen cum inter sex homines (tot enim recenset Xenophon præter socios unius eorum—*καὶ τοῖς μετ' αὐτοῦ*—) pecunia ea distributa sit, Ismeniæ portio tanta profecto non fuit, ut comparationi huic inserviret, et *τὰ Πολυκράτους χρήματα*, utrovis sensu accipiamus, vocaretur: præsertim cum in Rep. i. p. 336. A. inter potentes divitesque homines cum Periandro, Perdicca et ipso Xerxe Ismenias ille Thebanus recenseatur. Ignoramus igitur ad quod potissimum factum Plato hic respiciat. Ceterum Bœckhius (in Plat. Minoem p. 46.) cum Schleiermachero facit conferrique præterea jubet Plut. Artax. p. 1021. D. Lysandr. p. 448. E. Pausan. iii. 9. unde nihil tamen prodit, quod probabiliorem eam sententiam reddat; immo crescere numerum eorum videas qui pecuniæ illius participes fuerint. BUTTM.

ὑπερήφανος] H. v. arrogantem cum *insolentia* significat, *ὀγκώδης* arrogantem cum *fastu* et superbia: arrogantia autem facit *ἐπαχθῆ*, *molestum*: cf. Demosth. Mid. 56. *κινδυνεύει τὸ λίαν εὐτυχεῖν ἐνίοτε ἐπαχθεῖς ποιεῖν*, et post pauca, *πῶς οὐχ οὗτος ἐπαχθής ἐστιν ἤδη καὶ μείζων ἢ καθ' ὅσον ἡμῶν ἑκάστῳ συμφέρει*; Tali *ἐπαχθεῖ* oppositus est *εὐσταλὴς* *commodus*, qui simul est *κόσμιος* *modestus* et eo opponitur arroganti. BUTTM.

ζητεῖν] Ita recte editur, non *ζητεῖν*—*περὶ διδασκάλους*, qua ratione genitivus non accusativus ad *περὶ* requireretur. Veram rationem monstrat quod sequitur, *συζήτησον περὶ τ. τ. πράγματος τίνες ἂν εἶεν διδ.* Quod autem h. l. habemus, *διδάσκαλοι ἀρετῆς πέρι*, dictum ut *αἰτίαν τινὸς πέρι* et sim. de quibus v. Heind. ad Theæt. §. 83. Phædo. §. 102. Herod. v. 49. *ἐς τὰ μέγιστα ἀρετῆς πέρι ἀνήκετε.* Et sic supra §. 3. legendum esse ostendimus, *ἐρομένου μελίττης πέρι οὐσίαν, ὅ,τι ποτ' ἐστίν.* In ceteris autem notus Græcismus, *ζητεῖν διδασκάλους, εἰ εἰσίν*: *ἐρέσθαι οὐσίαν, ὅ,τι ποτ' ἐστίν*: et cf. infr. 30. *τούτους ἐζητοῦμεν, τίνες εἰσίν.* BUTTM.

§. 27. *ἀγαθὸν ἰατρὸν γενέσθαι*] Æschines Socrat. p. 376. B. §. 1. hanc inductionem s. analogiam ita expressit: *φέρε, εἴ τις βούλοιτο ταύτην τὴν ἀρετὴν γενέσθαι ἀγαθὸς, ᾗ ἀγαθοί εἰσιν οἱ σοφοὶ μάγειροι, πόθεν ἂν γένοιτο; Δηλονότι εἰ παρὰ τῶν ἀγαθῶν μαγείρων μάθοι. Τί δέ; εἰ βούλοιτο ἀγαθὸς γίγνεσθαι ἰατρός, παρὰ τίνα ἂν ἐλθὼν γένοιτο ἀγαθὸς ἰατρός; Δῆλον δὴ ὅτι παρὰ τῶν ἀγαθῶν τινα ἰατρῶν. Εἰ δὲ ταύτην τὴν ἀρετὴν ἀγαθὸς βούλοιτο γενέσθαι, ἥνπερ οἱ σοφοὶ τέκτονες; Παρὰ τῶν τεκτόνων. Εἰ δὲ ταύτην τὴν ἀρετὴν βουληθείη ἀγαθὸς γενέσθαι, ἥνπερ οἱ ἄνδρες οἱ ἀγαθοί τε καὶ σοφοί, ποῖ χρὴ ἐλθόντα μαθεῖν; Οἶμαι μὲν καὶ ταύτην, εἴπερ μαθητός ἐστι, παρὰ τῶν ἀνδρῶν τῶν ἀγαθῶν. πόθεν γὰρ ἄλλοθεν;* BIEST.

ΣΩ. Τί δ' εἰ σκυτοτόμον ἀγαθὸν βουλοίμεθα γενέσθαι, ἆρ' οὐ παρὰ τοὺς σκυτοτόμους;

ΑΝ. Ναί.

ΣΩ. Καὶ τἆλλα οὕτως;

ΑΝ. Πάνυ γε.

ΣΩ. Ὧδε δή μοι πάλιν περὶ τῶν[c] αὐτῶν εἰπέ. παρὰ[d] τοὺς ἰατρούς, φαμέν, πέμποντες τόνδε καλῶς ἂν ἐπέμπομεν,[e] βουλόμενοι ἰατρὸν γενέσθαι; ἆρ' ὅταν τοῦτο λέγωμεν, τόδε λέγομεν, ὅτι παρὰ τούτους πέμποντες αὐτὸν σωφρονοῖμεν ἂν τοὺς ἀντιποιουμένους τε[f] τῆς τέχνης μᾶλλον ἢ τοὺς μή, καὶ τοὺς μισθὸν[g] πραττομένους ἐπ' αὐτῷ τούτῳ, ἀποφήναντας αὑτοὺς διδασκάλους τοῦ βουλομένου ἰέναι τε καὶ μανθάνειν; ἆρ' οὐ πρὸς ταῦτα βλέψαντες καλῶς ἂν πέμποιμεν;

ΑΝ. Ναί.[h]

ΣΩ. Οὐκοῦν καὶ περὶ αὐλήσεως καὶ τῶν ἄλλων τὰ αὐτὰ II. i. 370.
ταῦτα;[i] πολλὴ ἄνοιά ἐστι βουλομένους αὐλητήν τινα ποιῆσαι παρὰ μὲν τοὺς ὑπισχνουμένους διδάξειν τὴν τέχνην καὶ μισθὸν πραττομένους μὴ ἐθέλειν[j] πέμπειν, ἄλλοις[k] δέ τισι πράγματα παρέχειν, ζητοῦντα μανθάνειν παρὰ τούτων οἳ μήτε προσποιοῦνται διδάσκαλοι εἶναι, μήτ' ἔστιν αὐτῶν μαθητὴς[l] μηδεὶς τούτου[m] τοῦ[n] μαθήματος, ὃ ἡμεῖς ἀξιοῦμεν μανθάνειν παρ' αὐτῶν ὃν ἂν πέμπωμεν. οὐ πολλή σοι δοκεῖ ἀλογία εἶναι;

ΑΝ. Ναὶ μὰ Δί'[o] ἔμοιγε, καὶ ἀμαθία γε πρός.

πέμπωμεν Υ.—[f] τε om Γ.—[g] μισθοὺς 𝔡.—[h] ναὶ om ΣΥ.—[i] τὰ αὐτὰ Γ, τὰ τοιαῦτα ΞΣΥ.—[j] ἐθέλῃ F.—[k] ἄλλα F.—[l] μαθητὴς αὐτῶν Γ.—[m] τούτου post μαθήματος

ζητοῦντα] Anacoluthiæ speciem habet hoc *ζητοῦντα*, quam ita expediendam censet Ullrichius, ut statim post illud *μὴ ἐθέλειν πέμπειν*, quod pendet a *βουλομένους*, mutatum sit subjectum, ipseque discipulus nunc sit subjectum horum *πράγματα παρέχειν*. Nos in nostra persistimus opinione, quam probabiliorem fortasse nunc exposuerimus dicentes, ad hæc *πράγματα παρέχειν* mente statim repeti *πέμποντας αὐτόν*. Itaque vera non est hic anacoluthia: pendet enim revera accusativus *ζητοῦντα* a superioribus *τινὰ* et *πέμπειν*. Buttm.

ἀλογία] Ejus tantum est *ἀλογία*, qui rationem nunc non adhibet, quod bonis etiam accidere potest; *ἀμαθία* contra, apud Atticos præsertim, ejus qui omnis non modo disciplinæ sed liberalioris eruditionis expers est, rustici, immo barbari ac stupidi. Aristoph. Nub. 492. *Ἄνθρωπος ἀμαθὴς οὑτοσὶ καὶ βάρβαρος.* Xen. Mem. iv. 5. 11. *τί γὰρ διαφέρει ἄνθρωπος ἀκρατὴς θηρίου ἀμαθεστάτου;* Cf. ib. i. 2. 50. Aristoph. Eq. 193. Schol. ad Nub. 136. Hemst. ad Aristoph. Plut. p. 382. F. A. Wolf. ad Demosth. Lept. 99. Buttm.

ἀμαθία] Quam majorem vim habeat

II. 91. §. 28. ΣΩ. Καλῶς λέγεις. νῦν τοίνυν ἔξεστί[p] σοι[q] μετ' ἐμοῦ κοινῇ βουλεύεσθαι περὶ τοῦ ξένου τουτουὶ[r] Μένωνος. οὗτος γάρ, ὦ Ἄνυτε, πάλαι λέγει πρός με ὅτι ἐπιθυμεῖ ταύτης τῆς σοφίας καὶ ἀρετῆς, ᾗ οἱ ἄνθρωποι τάς τε οἰκίας καὶ τὰς πόλεις καλῶς διοικοῦσι, καὶ τοὺς γονέας τοὺς αὑτῶν θεραπεύουσι, καὶ πολίτας καὶ ξένους ὑποδέξασθαί τε καὶ ἀποπέμψαι ἐπίστανται ἀξίως ἀνδρὸς ἀγαθοῦ. ταύτην οὖν τὴν ἀρετὴν σκόπει παρὰ τίνας ἂν πέμποντες αὐτὸν ὀρθῶς πέμποιμεν. ἢ δῆλον δὴ κατὰ[s] τὸν ἄρτι λόγον, ὅτι παρὰ τούτους τοὺς ὑπισχνουμένους ἀρετῆς διδασκάλους εἶναι καὶ ἀποφήναντας αὑτοὺς κοινοὺς[t] τῶν Ἑλλήνων τῷ βουλομένῳ μανθάνειν, μισθὸν[u] τούτου ταξαμένους τε καὶ πραττομένους;

II. i. 371. ΑΝ. Καὶ τίνας λέγεις τούτους,[v] ὦ Σώκρατες;

ΣΩ. Οἶσθα δήπου καὶ σὺ ὅτι οὗτοί εἰσιν οἵους[w] οἱ ἄνθρωποι καλοῦσι σοφιστάς.

ΑΝ. Ἡράκλεις, εὐφήμει, ὦ Σώκρατες. μηδένα τῶν συγγενῶν, μήτε οἰκείων[x] μήτε φίλων,[y] μήτε ἀστῶν[z] μήτε ξένων,[a] τοιαύτη μανία λάβοι, ὥστε παρὰ τούτους ἐλθόντα λωβηθῆναι, ἐπεὶ οὗτοί[b] γε φανερά ἐστι λώβη τε[c] καὶ διαφθορὰ τῶν συγγιγνομένων.

ΣΩ. Πῶς λέγεις, ὦ Ἄνυτε; οὗτοι ἄρα μόνοι τῶν ἀν-

οι

ponit Γ.—[n] τοῦ om ς.—[o] δί' 𝔡.—[p] ἔξεστι...ξένου om Γ.—[q] σε Δ, σε 𝔄BCEFr𝔡.—[r] τουτωνὶ Σ.—[s] καὶ F.—[t] κοινωνοῦς 𝔡.—[u] μισθὸν om pr Δ.—[v] τούτους om 𝔯.—[w] οὓς 𝔯.—[x] μήτε οἰκείων om Cr.—[y] φίλον 𝔄.—[z] ἀστὸν 𝔄Δ.—[a] ξένον 𝔄Δ.—[b] οὔ

ἀμαθία, quam ἀλογία, equidem non video. Quare cum Cornario lego *μανία.* GED.

§. 28. *ἔξεστί σοι*] Codd. optimi et plurimi miro consensu *σέ.* Quod an tam certe vitiosum sit, ubi *ἔξεστι* non illud significat quod *liceat Anyto*, sed quod nil impediat quin *ab illo fiat*, alii definiant. Cf. Jacobs. ad Achill. Tat. p. 165. 6. BUTTM.

ταύτην ο. τ. ἀρετὴν] Accusativus non pendet a verbo, sed est absolutus, *quod ad hanc virtutem attinet.* Male Stephanus conjiciebat *διὰ τ. ο. τ. ἀρετήν.* BIEST.

κοινοὺς] *κοινὸς qui sui copiam facit.* Xenoph. Ven. xiii. 9. *οἱ δὲ φιλόσοφοι πᾶσι κοινοὶ καὶ φίλοι.* Sic igitur *ἀποφαίνειν αὑτὸν κοινὸν τῷ βουλομένῳ μανθάνειν.* BUTTM.

οὗτοι—οἵους] H. e. *οἱ τοιοῦτοι, οἵους.* BUTTM.

ἀστὸν—ξένον] Sic dedi ex optimis Mss. pro vulgato *ἀστῶν, ξένων.* Accusativus respicit solum *φίλων*: quod longe præstat. BUTTM.

οὗτοί γε] Vel *οὗτοι λώβη ἐστὶ*, pro *οὗτοι εἰσὶ λώβη*: vel hoc ipsum *εἰσὶ* reponendum est. STEPH.

οὗτοι λώβη ἐστὶ] Dictum pro, *οὗτοί εἰσι λώβη.* Vid. §. 12. Quare male Stephan. *εἰσὶ* reponendum censebat. BUTTM.

τιποιουμένων[d] τι ἐπίστασθαι εὐεργετεῖν τοσοῦτον τῶν ἄλλων διαφέρουσιν, ὅσον οὐ μόνον οὐκ ὠφελοῦσιν, ὥς περ οἱ ἄλλοι, ὅ τι ἄν τις αὐτοῖς παραδῷ, ἀλλὰ καὶ τὸ ἐναντίον διαφθείρουσι;[e] καὶ τούτων φανερῶς χρήματα ἀξιοῦσι πράττεσθαι; [§. 29.] Ἐγὼ μὲν οὖν οὐκ ἔχω ὅπως σοι πιστεύσω· οἶδα γὰρ ἄνδρα ἕνα Πρωταγόραν πλείω χρήματα κτησάμενον ἀπὸ ταύτης τῆς[f] σοφίας ἢ Φειδίαν γε, ὃς οὕτω περιφανῶς καλὰ ἔργα[g] εἰργάζετο, καὶ ἄλλους δέκα τῶν ἀνδριαντοποιῶν. καί τοι τέρας λέγεις, εἰ οἱ μὲν τὰ ὑποδήματα ἐργαζόμενοι τὰ παλαιὰ καὶ τὰ ἱμάτια ἐξακούμενοι[h] οὐκ ἂν δύναιντο λαθεῖν τριάκονθ' ἡμέρας μοχθηρότερα ἀποδιδόντες ἢ παρέλαβον[i] τὰ ἱμάτιά[j] τε καὶ ὑποδήματα,[k] ἀλλ' εἰ τοιαῦτα ποιοῖεν, ταχὺ ἂν τῷ λιμῷ ἀποθάνοιεν, Πρωταγόρας II. i. 372.
δὲ ἄρα ὅλην τὴν Ἑλλάδα ἐλάνθανε διαφθείρων τοὺς συγγιγνομένους καὶ μοχθηροτέρους ἀποπέμπων ἢ παρελάμβανε πλέον ἢ τετταράκοντα[l] ἔτη. οἶμαι γὰρ αὐτὸν ἀποθανεῖν ἐγγὺς καὶ[m] ἑβδομήκοντα ἔτη γεγονότα, τετταράκοντα δὲ ἐν τῇ τέχνῃ ὄντα· καὶ ἐν ἅπαντι τῷ χρόνῳ τούτῳ ἔτι εἰς τὴν ἡμέραν ταυτηνὶ[n] εὐδοκιμῶν οὐδὲν πέπαυται. καὶ οὐ μόνον Πρωταγόρας, ἀλλὰ καὶ ἄλλοι πάμπολλοι, οἱ μὲν II. 92.
πρότεροι[o] γεγονότες ἐκείνου, οἱ δὲ καὶ νῦν ἔτι ὄντες. πότερον δὴ οὖν[p] φῶμεν κατὰ τὸν σὸν λόγον, εἰδότας αὐτοὺς ἐξαπατᾶν καὶ λωβᾶσθαι τοὺς νέους, ἢ λεληθέναι καὶ ἑαυτούς; καὶ οὕτω[q] μαίνεσθαι ἀξιώσομεν[r] τούτους, οὕς ἔνιοί φασι σοφωτάτους ἀνθρώπων[s] εἶναι;

ΑΝ. Πολλοῦ γε δέουσι μαίνεσθαι, ὦ Σώκρατες, ἀλλὰ

ου
τοι 𝔄.—[c] τε om ΣΥ et pr Ξ.—[d] ἀντιποιημένων F.—[e] διαφέρουσι 𝔵.—[f] τῆς om pr Ξ.—[g] ἔργα om ΣΥ.—[h] ἐξασκούμενοι ΥCr𝔡𝔵.—[i] παρέλαβόν τε τὰ BCEr.—[j] τε ἱμάτια Γ.—[k] καὶ τὰ ὑποδήματα Γr𝔵.—[l] τεσσαράκοντα Δ.—[m] καὶ add 𝔄ΔΣΥBCEFr𝔡𝔵 et fortasse pr Γ.—[n] ταύτην Ξ𝔵.—[o] πρότερον 𝔄ΔBCEFr𝔡.—[p] οὖν δὴ 𝔡.—[q] οὐ τῶι 𝔄.—[r] ἀξιώσωμεν 𝔄ΓΣΥBCFr.—[s] ἀνθρώπων om Δ.—[t] τοιοῦτό ΞΣΥ.—[u] δί? 𝔡r.—

τούτων] Sollemnis est genitivus (*τούτων*) respondens genitivo pretii, in omni re quæ instar *mercis* est. Vid. L. Bos Ellips. p. 394. unde hoc e Diod. Sic. v. 29. sumptum exemplum transscribo: *τῆσδε τῆς κεφαλῆς πολλὰ χρήματα διδόμενα οὐκ ἔλαβεν.* Addo Dem. Mid. p. 529. *χρήματα δ' οὐ προσήκειν τῶν τοιούτων ἐφ' ἑαυτῷ λαμβάνειν.* Buttm.

§. 29. *Φειδίαν γε*] Heindorfio assentior corrigenti *τε*, quam particulam ante illud *καὶ ἄλλους* abesse posse non credo. Buttm.

πολὺ μᾶλλον οἱ τούτοις διδόντες ἀργύριον τῶν νέων· τούτων δ' ἔτι μᾶλλον οἱ τούτοις ἐπιτρέποντες, οἱ προσήκοντες· πολὺ δὲ μάλιστα πάντων αἱ πόλεις, ἐῶσαι αὐτοὺς εἰσαφικνεῖσθαι καὶ οὐκ ἐξελαύνουσαι, εἴ τέ τις ξένος ἐπιχειρεῖ τοιοῦτόν[t] τι ποιεῖν εἴτε ἀστός.

§. 30. ΣΩ. Πότερον δέ, ὦ Ἄνυτε, ἠδίκηκέ τίς σε τῶν σοφιστῶν, ἢ τί οὕτως αὐτοῖς χαλεπὸς εἶ;

II. i. 373. ΑΝ. Οὐδὲ μὰ Δί'[u] ἔγωγε συγγέγονα πώποτε αὐτῶν οὐδενί,[v] οὐδ' ἂν ἄλλον ἐάσαιμι τῶν ἐμῶν οὐδένα.

ΣΩ. Ἄπειρος ἄρ' εἶ παντάπασι τῶν ἀνδρῶν;

ΑΝ. Καὶ εἴην[w] γε.

ΣΩ. Πῶς οὖν ἄν, ὦ δαιμόνιε, εἰδείης περὶ τούτου τοῦ πράγματος, εἴ τέ τι ἀγαθὸν ἔχει ἐν[x] ἑαυτῷ εἴτε φλαῦρον,[y] οὗ παντάπασιν ἄπειρος εἴης;[z]

ΑΝ. Ῥᾳδίως.[a] τούτους γοῦν[b] οἶδα οἷοί[c] εἰσιν, εἴτ' οὖν ἄπειρος αὐτῶν εἰμὶ εἴτε μή.

[v] αὐτῶν οὐδενὶ πώποτε 𝔵.—[w] πάνυ 𝔵.—[x] ἐν om ΔΣΥBCFr𝔡 et pr ΓΕ.—[y] τι φλαῦρον 𝔵, φαῦλον Ξ, λαῦρον F.—[z] εἶ corr Γ.—[a] ῥαδίους Ξ.—[b] γοῦν τούτους 𝔵.—[c] οἷοί Γ:

ἐπιτρέπ. οἱ προσήκ.] Olim volui *ἐπιτρέποντες τοὺς προσήκοντας, qui committunt iis necessarios suos.* Sed jam video, non opus esse emendatione. Est enim *οἱ προσήκοντες* appositio ad *οἱ τούτοις ἐπιτρέποντες* (*τοὺς νέους*); ut sensus sit: *multo magis parentes atque necessarii, qui illis tradunt adolescentulos.* GED.

καὶ εἴην γε] Ficinus vertit: *Utinam vero ne experiar!* Eodem modo cæteri Interpp. omnes. Sed sermonis Platonici consuetudo et ipse sententiarum nexus docent, concessive potius quam optative voculam *εἴην* h. l. esse explicandam. *Esto. Non expertus sum mores Sophistarum. Quid tum?* GED.

καὶ εἴην γε] Ficinus: *Neque sim* (*expertus*): *quid tum?* Quem sensum a Gedikio quoque agnitum, ipsa orationis series adoptare suadet. Socratis enim quæ sequitur responsio aliquam certe hic Anyti affirmationem, *ἄπειρον* se esse sophistarum, requirit: quam, si *καὶ εἴην γε* mera sit optandi formula, nemo inde elicere possit. Quodsi de alio loquens Anytus dixisset *καὶ ἔστω γε*, nemo, opinor, in his verbis hæreret. Quod autem in tertia persona *ἔστω*, illud in prima est *εἴην*. Neque otiosæ sunt particulæ *καὶ* et *γὲ*, quas hac circumlocutione exprimas: *Nihil saltem a me impedimenti est, quo minus hoc quoque credas.* Contra Heindorfii correctio, Καὶ *ἀεὶ εἴην γε*, nunc non amplius mihi probatur. Nam ut de verborum ordine taceam, qui videtur esse debere, Καὶ *ἀεί γ' εἴην*, plenam hæc responsio contineret affirmationem, cui Socrates non reponeret Πῶς *οὖν ἂν εἰδείης*; sed Πῶς *οὖν οἶσθα.* Atque hoc quidem obstat etiam lectioni, quæ in uno est codice, Καὶ *πάνυ γε.* BUTTM.

οὗ—εἴης] H. e. *εἰ αὐτοῦ—εἴης.* Vid. ad §. 26. BUTTM.

οἱ εἰσιν] Non exspectatur h. l. *qui* sint, sed *quales* sint. Id autem discrimen Græcus sermo diligentius servat quam Latinus. Ideo scribendum est, *οἷοί εἰσιν.* WOLF. Valde olim se mihi probaverat hæc lectio; quam nunc, ubi in bono codice Coisl. reperta est, merito recepisse Bekkerum dixeris. Tamen diversa nunc sentire me facit locus Rep. viii. p. 559. A. Προελώμεθα *δή τι παράδειγμα ἑκατέρων, αἵ εἰσιν, ἵνα τύπῳ λάβωμεν αὐτάς.* Forma loquendi itaque fuit, ut videtur, *οἶδα ὅς ἐστι*, pro *οἷός ἐστι*: quam in nostro loco ex eadem, qua

ΣΩ. Μάντις[d] εἶ ἴσως, ὦ Ἄνυτε, ἐπεὶ ὅπως γε ἄλλως[e] οἶσθα τούτων πέρι, ἐξ ὧν αὐτὸς λέγεις θαυμάζοιμ' ἄν. ἀλλὰ γὰρ οὐ τούτους ἐζητοῦμεν τίνες εἰσί, παρ' οὓς ἂν Μένων ἀφικόμενος[f] μοχθηρὸς γένοιτο· οὗτοι μὲν γάρ, εἰ σὺ βούλει, ἔστωσαν οἱ σοφισταί· ἀλλὰ δὴ ἐκείνους[g] εἰπὲ ἡμῖν, καὶ τὸν πατρικὸν τόνδε ἑταῖρον εὐεργέτησον φράσας αὐτῷ παρὰ τίνας ἀφικόμενος ἐν τοσαύτῃ πόλει τὴν ἀρετὴν ἣν νῦν δὴ[h] ἐγὼ διῆλθον γένοιτ' ἂν ἄξιος λόγου.

ΑΝ. Τί δὲ[i] αὐτῷ οὐ σὺ ἔφρασας;

ΣΩ. Ἀλλ' οὓς μὲν ἐγὼ ᾤμην διδασκάλους τούτων εἶναι εἶπον, ἀλλὰ τυγχάνω οὐδὲν λέγων, ὡς σὺ φῄς. καὶ ἴσως τι λέγεις.[j] ἀλλὰ σὺ δὴ[k] ἐν τῷ μέρει αὐτῷ εἰπὲ παρὰ τίνας[l] ἔλθῃ Ἀθηναίων. εἰπὲ ὄνομα ὅτου βούλει.

§. 31. ΑΝ. Τί δὲ ἑνὸς ἀνθρώπου ὄνομα δεῖ[m] ἀκοῦσαι; II. i. 374.
ὅτῳ γὰρ ἂν[n] ἐντύχῃ Ἀθηναίων τῶν καλῶν κἀγαθῶν, οὐδεὶς ἔστιν ὃς οὐ βελτίω[o] αὐτὸν ποιήσει ἢ οἱ σοφισταί, ἐάν περ ἐθέλῃ πείθεσθαι.

ΣΩ. Πότερον δὲ οὗτοι οἱ καλοὶ κἀγαθοὶ ἀπὸ τοῦ αὐτομάτου ἐγένοντο τοιοῦτοι, παρ' οὐδενὸς μαθόντες, ὅμως μέντοι ἄλλους διδάσκειν οἷοί τε ὄντες ταῦτα ἃ αὐτοὶ οὐκ II. 93.
ἔμαθον;[p]

οἱ *ς.—[d] μάντης 𝔄.—[e] γε ἄλλως γε Σ.—[f] ἂν post ἀφικόμενος ponit r.—[g] ἐκείνου, in mg ἐκεῖνο, F.—[h] δὴ om r, ante νῦν ponit Γ.—[i] δαὶ 𝔄Δ. αὐτοῦ 𝔯.—[j] καὶ ἴσως τι λέγεις] hæc vulgo Anyto tribuuntur.—[k] δὲ 𝔄ΓΔΣΥBCEFr𝔡𝔯.—[l] τίνα ΞΣΥ.—[m] δαὶ 𝔄Δ.—[n] ἂν om Σ.—[o] βελτίω οὐκ Γ.—[p] ἐξέμαθον Σ, οὐκ ἐξέμαθον Υ𝔡𝔯.—[q] περὶ Γ.

Wolfius, ratione, jam olim aliquis sollicitavit. Nam permulta in Coisl. esse e correctione, conferenti patebit. Buttm.

ἐξ] *Secundum.* Cf. §. 30. *ἐξ ὧν αὐτὸς λέγεις θαυμάζοιμ' ἂν, ὅπως —.* Alcib. i. §. 48. *ὡς ἐκ τοῦ σοῦ λόγου.* Buttm.

ἐκείνους] Cod. Par. F mendose habet *ἐκείνου*, in marg. autem *ἐκεῖνο*, quod profectum videtur a correctore. Etenim *οὗτοι*, quod præcedit, tantum non necessarium facit *ἐκείνους*: cui succedere debebat *παρ' οὕστινας*: sed mox ob inserta hæc, *καὶ—εὐεργέτησον*, de novo subjicitur, *φράσας α. παρὰ τίνας.* Observetur autem participium aoristi, pro eo quod ad sententiam aptius esset, *φράζων.* Sed illud admissum ob verbum ejusdem temporis unde pendet; cujus structuræ exempla vide apud Heind. ad Phædo. §. 10. Buttm.

τί—οὐ] Formulam hanc, *τί οὐ* cum aoristo, esse instar imperativi animosioris, discas e Schneidero ad Xen. Mem. iii. 11. 15. Heind. ad Gorg. §. 126. Vid. Alcib. i. §. 22. Buttm.

καὶ ἴσως τι λέγεις] Sic optime Bekker. e Ficino. Vulgo Anyto tribuuntur ista *Καὶ—λέγεις.* Buttm.

αὐτῷ] Fuit qui legendum pronuntiaret *αὐτός*: sine causa. Nam idem sensus est in his *ἐν τῷ μέρει*: contra dativo *αὐτῷ* ægre careamus, ante illud *ἔλθῃ* nomine suo destitutum. Buttm.

ἔλθῃ] Conj. etiam in obliqua interrogatione recte ponitur. Vid. Matth. Gr. §. 515. 2. ibique exemplum e Thuc. vi. 25. Buttm.

ΑΝ. Καὶ τούτους ἔγωγε ἀξιῶ παρὰ[q] τῶν προτέρων μαθεῖν, ὄντων καλῶν κἀγαθῶν. ἢ οὐ δοκοῦσί σοι πολλοὶ καὶ ἀγαθοὶ γεγονέναι ἐν τῇδε τῇ πόλει ἄνδρες;

ΣΩ. Ἔμοιγε, ὦ Ἄνυτε, καὶ εἶναι δοκοῦσιν ἐνθάδε[r] ἀγαθοὶ τὰ πολιτικά, καὶ γεγονέναι ἔτι οὐχ ἧττον ἢ εἶναι. ἀλλὰ μῶν καὶ διδάσκαλοι ἀγαθοὶ γεγόνασι τῆς αὑτῶν ἀρετῆς; τοῦτο γάρ ἐστι περὶ οὗ ὁ λόγος ἡμῖν τυγχάνει ὤν, οὐκ εἰ[s] εἰσὶν ἀγαθοὶ[t] ἢ μὴ ἄνδρες ἐνθάδε, οὐδ' εἰ γεγόνασιν ἐν τῷ πρόσθεν, ἀλλ' εἰ διδακτόν ἐστιν ἀρετὴ πάλαι[u] σκοποῦμεν. τοῦτο[v] δὲ σκοποῦντες τόδε σκοποῦμεν, ἆρα οἱ[w] ἀγαθοὶ ἄνδρες καὶ τῶν νῦν καὶ τῶν πρότερον[x] ταύτην[y] τὴν ἀρετήν, ἣν αὐτοὶ ἀγαθοὶ ἦσαν, ἠπίσταντο καὶ ἄλλῳ[z] παραδοῦναι, ἢ οὐ παραδοτὸν τοῦτο ἀνθρώπῳ[a] οὐδὲ παραληπτὸν ἄλλῳ παρ' ἄλλου; τοῦτ' ἔστιν ὃ πάλαι ζητοῦμεν[b] ἐγώ τε
II. i. 375. καὶ Μένων. [§. 32.] Ὧδε οὖν σκόπει ἐκ τοῦ σαυτοῦ λόγου. Θεμιστοκλέα οὐκ ἀγαθὸν ἂν φαίης[c] ἄνδρα γεγονέναι;

ΑΝ. Ἔγωγε, πάντων γε[d] μάλιστα.[e]

ΣΩ. Οὐκοῦν καὶ διδάσκαλον ἀγαθόν, εἴπερ τις ἄλλος τῆς αὑτοῦ ἀρετῆς διδάσκαλος ἦν, κἀκεῖνον[f] εἶναι;

—[r] ἐνθάδε om 𝔛.—[s] εἰ om pr Δ.—[t] εἰσὶν οἱ ἀγαθοὶ 𝔛.—[u] πάλαι om BCEFr.—[v] τοῦτο...σκοποῦμεν om 𝔛.—[w] εἰ ἄρα 𝔛.—[x] προτέρων 𝔄ΓΔΞΣΥ𝔟r.—[y] μόνην 𝔛.—[z] ἄλλοις Γ.—[a] ἀνθρώπῳ...ἔστιν om Γ.—[b] ἐζητοῦμεν 𝔛.—[c] φαίης ἂν ΣΥ.—[d] γε om

§. 31. *τῶν προτέρων*] Legendum censeo *τῶν πρότερον*, neque tamen absolute hoc accipiendum ut paucis post versibus *τῶν πρότερον*, sed jungendum *παρὰ τῶν πρότερον ὄντων κ. κ.* Vulgata hoc dicit, *a prioribus, qui boni et ipsi fuerunt*; quasi superiores omnes boni fuerint: sensus poscit *ab iis qui olim boni viri fuerunt*. Quam proclivis autem lapsus ab *οἱ πρότερον, τῶν πρότερον* in *οἱ πρότεροι, τῶν προτέρων* vidimus §. 29. ubi *πρότερον* restituimus ex iisdem codd. qui paucis abhinc versibus (31. c.) pro vulgato et probo *τῶν πρότερον* ipsi dant *τῶν προτέρων*. Certe ad unam quater normam scribendum est (§. 29. 31. bis 33.): præstare autem ubique *οἱ πρότερον* mihi quidem exploratum est. Buttm.

πολλοὶ] Excidisse *καλοί τε* Cornarius putabat, immemor usus Græcorum vocem *πολλοὶ* aliis adjectivis fere semper ita jungentium ut vocula *καὶ* intercedat. Alcib. i. 56. *πολλοὶ γὰρ ἤδη κἀγαθοὶ αὐτὸ πεπόνθασιν Ἀθηναίων.* Sufficiebat autem h. l. repetitio vocis *ἀγαθοί*. Buttm.

καὶ γεγόν. ἔτι—εἶναι] Istud *ἔτι* plane alieno loco insedit. Legendum: *οὐχ ἧττον ἢ ἔτι εἶναι*. Ged. Non accedo. *Ἔτι* valet *insuper*, *præterea*: contra *ἔτι εἶναι* valeret *reliquos, superstites esse*. Buttm.

§. 32. *Θεμιστοκλέα—διδάσκαλον*] Æschines Socrat. p. 376. C. §. 1. *Θουκυδίδης καὶ Θεμιστοκλῆς καὶ Ἀριστείδης καὶ Περικλῆς. Τούτων οὖν ἑκάστου ἔχομεν διδάσκαλον εἰπεῖν; Οὐκ ἔχομεν. οὐ γὰρ λέγεται. Τί δέ; μαθητὴν, ἢ τῶν ξένων τινὰ ἢ τῶν πολίτων, ἢ ἄλλον, ἐλεύθερον ἢ δοῦλον, ὅστις αἰτίαν ἔχει διὰ τῶν τούτων ὁμιλίαν σοφός τε καὶ ἀγαθὸς γεγονέναι; Οὐδὲ τοῦτο λέγεται.*—Iisdem fere argumentis exemplisque idem hoc adstruit Socrates in Protagora §. 28. *ἐπεὶ Περικλῆς ὁ τουτωνὶ τῶν νεανίσκων πατὴρ, τούτους, ἃ μὲν διδασκάλων εἴχετο, κα-*

ΑΝ. Οἶμαι ἔγωγε, εἴ περ ἐβούλετό γε.

ΣΩ. Ἀλλ' οἴει, οὐκ ἂν ἐβουλήθη ἄλλους τέ τινας καλοὺς κἀγαθοὺς γενέσθαι, μάλιστα δέ που[g] τὸν υἱὸν τὸν αὑτοῦ; ἢ οἴει αὐτὸν φθονεῖν αὐτῷ[h] καὶ ἐξεπίτηδες οὐ παραδιδόναι τὴν ἀρετήν, ἣν αὐτὸς ἀγαθὸς ἦν; ἢ οὐκ ἀκήκοας ὅτι Θεμιστοκλῆς Κλεόφαντον τὸν υἱὸν ἱππέα μὲν ἐδιδάξατο ἀγαθόν; ἐπέμενε[i] γοῦν ἐπὶ τῶν ἵππων ὀρθὸς[k] ἑστηκώς, καὶ ἠκόντιζεν ἀπὸ τῶν ἵππων ὀρθός, καὶ ἄλλα πολλὰ καὶ θαυμαστὰ εἰργάζετο, ἃ ἐκεῖνος αὐτὸν ἐπαιδεύσατο, καὶ ἐποίησε σοφὸν ὅσα διδασκάλων ἀγαθῶν εἴχετο. ἢ[l] ταῦτα οὐκ ἀκήκοας τῶν πρεσβυτέρων;

ΑΝ. Ἀκήκοα.

ɤ.—[e] μᾶλλον Γ.—[f] κακείνου F.—[g] που om ɤ.—[h] αὐτῷ φθονεῖν αὐτὸν Γ.—[i] ἐπέμονε (o supra) s.—[k] ὀρθῶς F.—[l] ἢ ΔΣΥCFrδɤ : ἦ s.—[m] δαὶ 𝔄Δ : δὲ *s.—[n] θεόφαντος r.—

λῶς καὶ εὖ ἐπαίδευεν, ἃ δὲ αὐτὸς σοφός ἐστιν, οὔτε αὐτὸς παιδεύει, οὔτε τῳ ἄλλῳ παραδίδωσιν· ἀλλ' αὐτοὶ περιϊόντες νέμονται ὥσπερ ἄφετοι, ἐάν που αὐτόματοι περιτύχωσι τῇ ἀρετῇ.—καὶ ἄλλους σοι παμπόλλους ἔχω λέγειν, οἳ αὐτοὶ ἀγαθοὶ ὄντες, οὐδένα πώποτε βελτίω ἐποίησαν, οὔτε τῶν οἰκείων, οὔτε τῶν ἀλλοτρίων, ἐγὼ οὖν εἰς ταῦτα ἀποβλέπων, οὐχ ἡγοῦμαι διδακτὸν εἶναι τὴν ἀρετήν. Biest.

οἴει] Sermoni recto interpositum cum admiratione interrogat. Vid. Heind. ad Theæt. §. 12. Buttm.

ἄλλους τε—μάλιστα δὲ] Sermonem incipit scriptor ut dicturus *ἄλλους τε—καὶ τὸν υἱόν*: sed pro isto *καὶ* deinceps ponit fortius *μάλιστα δέ*. Simile est illud quod ad Cratyl. §. 50. (ubi negligentius δὲ illatum post τὲ) ascripsit Heindorfius e Legg. 10. init. *ἐκ γὰρ δὴ τοῦ τοιούτου πάντα ἠρτημένα τά τε εἰρημένα κακὰ γέγονε—, μέγιστα δὲ δὴ τῶν λοιπῶν αἱ κ. τ. ε.* Buttm.

ἀκούεις] Vulgo *ἀκήκοας*. Sed Georg. Lecapenus in Grammatica, cujus Excerpta dedit Matthæi in Lect. Mosq. p. 60. ex h. l. rectius laudat *ἀκούεις*. Schneid. Alia hujus moris Atticorum, præsens *ἀκούεις* adhibentium ubi communis ratio præteritum requirit, dedit Heindorfius ad geminum plane hunc Gorgiæ locum (§. 126.) Τί δέ; *Θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα, καὶ Κίμωνα—, οὐ καὶ σὺ ἀκήκοας;* Unde apparet utramque rationem Atticis familiarem fuisse. Sed cum incredibile sit, serioris ævi Græcum exquisitiorem formulam memoriæ lapsu posuisse, vulgatum *ἀκήκοας* hic certe pro interpretamento habendum est. Buttm.

ἐπέμονε] Repone *ἐπέμενε*, ut sequitur præt. imperf. *ἠκόντιζεν*, item *εἰργάζετο*. Steph.

ἐπέμονε] Legendum *ἐπέμενε*, ut legitur in Bas. 2. Vid. Fischer. ad Æschin. Dial. i. §. 32. p. 61. Ged.

ἐπέμενε κ. τ. λ.] Hæc et quæ sequuntur, iisdem fere verbis exscripsit auctor Dialogi de Virt. usque ad finem §. 32. cum memorabili hac varietate *ἐπέβαινε γοῦν ἐπὶ τὸν ἵππον* (Bœckh. e Cod. Aug. *τῶν ἵππων*), et levioribus aliis ut *θαυμάσια* pro *θαυμαστὰ*, *ἐπαιδεύσατο* pro *ἐδίδαξε*, etc. Meminit nostri loci Plutarchus quoque in Themistocl. c. ult. Buttm.

εἴχετο] *ἔχεσθαί τινος spectare ad—, esse alicujus.* Vid. Hemst. ad Aristoph. Plut. p. 472. cf. mox *ὅσα τέχνης ἔχεται quæ sunt artis.* Alcib. i. §. 34. *ὅσα μαθήσεως ἔχεται, quæ ad disciplinam spectant, addisci possunt.* Hic vero et 33. *ὅσα διδασκάλων εἴχετο*, vertendum, *quæcunque magistrorum erant.* Cf. Protag. p. 324. D. *οἱ ἄνδρες οἱ ἀγαθοὶ τὰ μὲν ἄλλα τοὺς αὑτῶν υἱεῖς διδάσκουσιν ἃ διδασκάλων ἔχεται—, ἣν δὲ αὐτοὶ ἀρετὴν*

ΣΩ. Οὐκ ἂν ἄρα τήν γε φύσιν τοῦ υἱέος αὐτοῦ ᾐτιάσατ' ἄν τις εἶναι κακήν.

ΑΝ. Ἴσως οὐκ ἄν.

ΣΩ. Τί δαί[m] τόδε; ὡς Κλεόφαντος[n] ὁ Θεμιστοκλέους[o] ἀνὴρ ἀγαθὸς καὶ σοφὸς ἐγένετο ἅ περ ὁ πατὴρ αὐτοῦ, ἤδη του[p] ἀκήκοας ἢ νεωτέρου ἢ πρεσβυτέρου;

II. i. 376. ΑΝ. Οὐ δῆτα.

ΣΩ. Ἆρ' οὖν ταῦτα μὲν οἰόμεθα βούλεσθαι αὐτὸν τὸν αὑτοῦ υἱὸν παιδεῦσαι, ἣν δὲ αὐτὸς σοφίαν ἦν σοφός, οὐδὲν τῶν γειτόνων βελτίω ποιῆσαι, εἴ περ ἦν γε διδακτὸν ἡ ἀρετή;

ΑΝ. Ἴσως μὰ Δί' οὔ.

§. 33. ΣΩ. Οὗτος μὲν δή σοι τοιοῦτος διδάσκαλος ἀρετῆς, ὃν καὶ σὺ ὁμολογεῖς ἐν[q] τοῖς ἄριστον[r] τῶν προτέρων[s]
II. 94. εἶναι· ἄλλον δὲ δὴ σκεψώμεθα,[t] Ἀριστείδην τὸν Λυσιμάχου. ἢ τοῦτον οὐχ ὁμολογεῖς ἀγαθὸν[u] γεγονέναι;

ΑΝ. Ἔγωγε, πάντως δή που.

ΣΩ. Οὐκοῦν καὶ οὗτος τὸν υἱὸν τὸν αὑτοῦ[v] Λυσίμαχον,[w] ὅσα μὲν διδασκάλων εἴχετο, κάλλιστα Ἀθηναίων ἐπαίδευσεν, ἄνδρα δὲ βελτίω δοκεῖ[x] σοι ὁτουοῦν[y] πεποιηκέναι; τούτῳ γάρ που[z] καὶ συγγέγονας[a] καὶ ὁρᾷς οἷός ἐστιν.

[o] ὁ τοῦ θεμιστοκλέους 𝔯.—[p] τοῦτο 𝔟.—[q] ἐν...ὁμολογεῖς om ΣΥ.—[r] ἄριστον 𝔄Δ: ἀρίστοις *ς.—[s] πρότερον Ξ et corr B.—[t] σκεψόμεθα 𝔟.—[u] ἀγαθὸν εἶναί τε καὶ γεγονέναι Γ.—[v] τὸν αὐτοῦ υἱὸν ΞΣΥ, τὸν υἱὸν αὐτοῦ τὸν 𝔟.—[w] τὸν λυσίμαχον 𝔯.—[x] δοκεῖς 𝔄.—[y] ὁτωοῦν BCEFr.—[z] που om Υ.—[a] καὶ συγγέγονας ΓΔΞ𝔯, καὶ σὺ γέ-

ἀγαθοὶ οὐδενὸς βελτίους ποιοῦσιν. ubi Heind. ita explicat *quæ a magistris pendent*. Oppositum autem hoc iis quæ Themistocles ipse docere poterat filium, nec tamen docuit. Buttm.

ἴσως οὐκ ἂν] ἴσως Attica urbanitate etiam in re certa usurpari, docent loci et auctores quos laudavi ad Soph. Philoct. 180. Atque sic utique mox accipiendum Ἴσως μὰ Δί' οὔ: nec non supr. 26. Ἴσως νὴ Δία, quod non, ut male olim censebam, ad id solum spectat διδακτὸν εἶναι ἀρετὴν, sed ad totum illud, εἴπερ ἐπιστήμη κ. τ. ε. quod verissimum esse ipse Socr. dicit. Buttm.

§. 33. ἐν τοῖς ἄριστον] Vulgo ἐν τοῖς ἀρίστοις. Atticam formulam ex optimis Codd. restituit Bekker. Vid. de ea Hemst. ad Lucian. Somn. 2. Wolf. ad Reiz. de Acc. Incl. p. 21. Buttm.

Λυσίμαχον] Lysimachus hic, et Melesias, Thucydidis filius, cujus statim mentio fit, in Lachete Platonis loquentes inducuntur, ubi ipsi pudorem suum declarant, quod tanto deteriores et ignobiliores patribus sint. Ged. Omnino plurium Græcorum heroum filii noxæ fuerunt: ut Phocus Phocionis, Ctesippus Chabriæ. Plutarch. in Phoc. p. 744. 750. Biest.

καὶ συγγέγονας] Vulgo καὶ σὺ συγγέγ. Bekker. bonos codd. sequens pronomen omisit: cui lectioni ii quoque codd. astipulantur, qui habent καὶ σὺ γέγονας. Quodsi dicere voluisset Socrates, quod volunt qui vulgatæ patrocinantur, αὐτὸς

Εἰ δὲ βούλει, Περικλέα, οὕτω μεγαλοπρεπῶς σοφὸν ἄνδρα, οἶσθ' ὅτι δύο υἱεῖς ἔθρεψε, Πάραλον καὶ Ξάνθιππον;

ΑΝ. Ἔγωγε.

ΣΩ. Τούτους μέντοι, ὡς οἶσθα καὶ σύ, ἱππέας μὲν ἐδίδαξεν οὐδενὸς χείρους Ἀθηναίων,[b] καὶ μουσικὴν καὶ ἀγωνίαν καὶ τἆλλα ἐπαίδευσεν, ὅσα τέχνης ἔχεται, οὐδενὸς II. i. 377. χείρους· ἀγαθοὺς δὲ ἄρα ἄνδρας[c] οὐκ[d] ἐβούλετο ποιῆσαι; δοκῶ μέν, ἐβούλετο, ἀλλὰ μὴ οὐκ ᾖ διδακτόν. Ἵνα δὲ μὴ ὀλίγους[e] οἴῃ[f] καὶ τοὺς φαυλοτάτους Ἀθηναίων ἀδυνάτους[g] γεγονέναι τοῦτο τὸ πρᾶγμα, ἐνθυμήθητι ὅτι Θουκυδίδης

γονας ΣΥ: καὶ σὺ συγγέγονας *s.—[b] ἀθηναίων οὐδενὸς Γ.—[c] ἄρα ἄνδρας 𝔄ΓΔΞΣΥ BCbr: ἄνδρας ἆρα *s.—[d] οὐκ om r.—[e] ὀλίγον F, ὁ λόγος Γ.—[f] εἴη F.—[g] δυνα-

dixisset non σύ. Sed longe melius συγγέγονας opponitur superiori ἀκήκοας. Buttm.

τοὺς φαυλοτάτους—Θουκυδίδης] Thucydides hic, quem adjungit Pericli, non confundendus est cum historico celeberrimo. Is, de quo hic sermo est, Periclis in republica adversarius erat; et, sicut hic plebis studiosus erat (ἀντὶ τῶν πλουσίων καὶ ὀλίγων τὰ τῶν πολλῶν καὶ πενήτων ἑλόμενος, ut ait Plutarch. in Pericl.) ita Thucydidem optimates ducem habebant, donec Periclis arte in exilium abire coactus est. De duabus his illius temporis factionibus legendus omnino Plutarchus in Pericle t. i. p. 155. seqq. ed. Franc. Transit autem Plato a Pericle ad hunc Thucydidem ita: ἵνα μὴ ὀλίγους οἴῃ καὶ τοὺς φαυλοτάτους ἀδυνάτους γεγονέναι τοῦτο τὸ πρᾶγμα. Quid vero? Pericles, nobilissimo genere ortus, quo jure inter τοὺς φαυλοτάτους referri potest? Vitium sane mihi latere videtur in φαυλοτάτους; et credo equidem, φιλοδήμους pro eo legendum esse. Invenio enim apud Plutarchum l. c. p. 158. duas illas factiones ipsis etiam hominibus distingui solitas esse, ita ut optimatium factio, cui præesset Thucydides, ὀλίγοι, altera Periclem sequens δῆμος vocaretur. Hinc totum locum ita corrigo: ἵνα δὲ μὴ τοὺς μὴ ὀλίγους οἴῃ καὶ τοὺς φιλοδήμους etc. Jam omnia optime ita cohærent. Periclis, plebis dux, non potuit bonos reddere filios suos. Forsan id ex eo factum esse credis, quod destitutus esset amicitia τῶν καλῶν κ' ἀγαθῶν (hac ipsa enim voce, qua Plato hic utitur ad viros virtutis amantes designandos, etiam Plutarchus utitur l. c. ad optimates significandos). Sed ne existimes, solos populares eosque, qui non cum optimatibus juncti essent (τοὺς μὴ ὀλίγους), quorum scilicet amicitia ad filiorum mores fingendos aliquid valere potuisset, hoc assequi non potuisse: ipsius Thucydidis, optimatium ducis, exemplum tibi opponam. Ipsa vocula αὖ Thucydidis nomini adjecta ostendit, Platonem hunc Thucydidem Pericli non solum adjungere, sed etiam opponere quodammodo voluisse. At φαυλότατος, quemcunque huic voci sensum tribuas, neuter eorum erat. Ged.

Verba ὀλίγους καὶ τοὺς φαυλοτάτους paulo inferius resumuntur et explicantur his, ἀλλὰ γὰρ ἴσως ὁ Θ. φαῦλος ἦν καὶ οὐκ ἦσαν αὐτῷ πλεῖστοι φίλοι κ. τ. ε. Hoc itaque dicit, Thucydidem imprimis documento esse, non valere illud de hominibus infimæ sortis neque de paucis admodum, cum homo tam potens ac generosus ipse in amicis, quos per Græciam habuerit omnium plurimos, neminem tamen illi negotio idoneum invenerit. Non immerito tamen hærent viri docti in eo quod verba illa ἵνα δὲ μὴ—φαυλοτάτους statim subjiciuntur mentioni virorum ornatissimorum et proxime quidem Periclis, quasi hic aliquo modo dici potuerit φαῦλος h. e. ut vidimus, neque generosus neque potens. Neque ego aliter rem expedire possum, nisi ut negligentius neque ullo ad superiora exempla respectu, sed velut extrinsecus hunc transitum fecerit scriptor ad Thucydidem, quem ut hominem divitem et optimatium præsulem, aliquo modo tanquam cumulum ceteris videtur potuisse adji-

αὖ δύο υἱεῖς ἔθρεψε, Μελησίαν καὶ Στέφανον, καὶ τούτους ἐπαίδευσε τά τε ἄλλα εὖ καὶ ἐπάλαισαν κάλλιστα Ἀθηναίων. τὸν μὲν γὰρ Ξανθίᾳ ἔδωκε, τὸν δὲ Εὐδώρῳ.[h] οὗτοι δέ που ἐδόκουν τῶν τότε κάλλιστα παλαίειν. ἢ[i] οὐ μέμνησαι;

ΑΝ. Ἔγωγε, ἀκοῇ.

§. 34. ΣΩ. Οὐκοῦν δῆλον ὅτι οὗτος οὐκ ἄν ποτε, οὗ μὲν ἔδει δαπανώμενον διδάσκειν, ταῦτα μὲν ἐδίδαξε τοὺς παῖδας τοὺς αὑτοῦ, οὗ δὲ οὐδὲν ἔδει ἀναλώσαντα ἀγαθοὺς ἄνδρας ποιῆσαι, ταῦτα δὲ οὐκ ἐδίδαξεν, εἰ διδακτὸν ἦν. ἀλλὰ γὰρ ἴσως[j] ὁ Θουκυδίδης φαῦλος ἦν, καὶ οὐκ ἦσαν αὐτῷ πλεῖστοι φίλοι[k] Ἀθηναίων καὶ τῶν συμμάχων. καὶ οἰκίας μεγάλης ἦν καὶ ἐδύνατο μέγα ἐν τῇ πόλει καὶ ἐν τοῖς ἄλλοις Ἕλλησιν, ὥστε εἴ περ ἦν τοῦτο διδακτόν, ἐξευρεῖν ἂν ὅς τις ἔμελλεν αὐτοῦ τοὺς υἱεῖς ἀγαθοὺς ποιήσειν, ἢ τῶν ἐπιχωρίων τις ἢ τῶν ξένων, εἰ αὐτὸς[l] μὴ ἐσχόλαζε διὰ τὴν
II. i. 378. τῆς πόλεως ἐπιμέλειαν. ἀλλὰ γάρ, ὦ ἑταῖρε[m] Ἄνυτε, μὴ οὐκ ᾖ διδακτὸν ἀρετή.

ΑΝ. Ὦ Σώκρατες, ῥᾳδίως μοι δοκεῖς κακῶς λέγειν ἀνθρώπους. ἐγὼ μὲν οὖν ἄν σοι συμβουλεύσαιμι,[n] εἰ ἐθέλεις[o]

τοὺς ΓBCFr et pr E.—[h] εὐδώρῳ 𝔄ΔΣΥ, θεοδώρω 𝔵: εὐοδώρῳ *s.—[i] εὖ F.—[j] ἴσως om 𝔵.—[k] φίλοι om 𝔄Δ.—[l] αὖ 𝔵.—[m] ἑταῖρε om 𝔵.—[n] βουλεύσαιμι 𝔵.—[o] θέλεις Δ.

cere. Quæ ratio an aliquantum forte adjuvari possit, si pro μὴ legatur μηδαμῆ, dubitanter admodum propono. Buttm.

§. 34. οὗ μὲν—οὗ δὲ] Ullrichius vocem οὗ, in his οὗ μὲν—οὗ δὲ—ita tuetur ut sit genitivus mercis (vid. supra §. 28.) Sed nullum adhuc exemplum inveni constructionis δαπανᾷν τινος, cum plena sint omnia illius δαπανᾷν εἴς τι. Quare nunc etiam unice faveo Fischeri rationi ad Dial. de Virt. 6. ubi hæc omnia totidem verbis leguntur, loco autem istius οὗ bis prostat οἷ, eandem formam nostro quoque loco reddi jubentis. Cf. supra ad 18. Eleganter enim adverbium οἷ positum pro εἰς ἃ s. εἴς ὅ; plane ut ὅθεν ζῶ dicitur pro ἀφ' ὧν ζῶ.—Neque minus Gedikio astipulor pro ταῦτα δὲ ex eodem dialogo rescribere suadenti τοῦτο δὲ, tum ob proxime succedens διδακτὸν, tum ob sensum, cum ceteris artibus omnibus studium virtutis commodius opponatur ita ταῦτα μὲν—τοῦτο δὲ—. Nam quæ ad tuendam in hoc quoque vulgatam dixit Ullrichius, valent ea quidem ad explicanda seu potius excusanda si qua sunt extra dubium posita; sed non fortasse ad recusanda quæ e fonte non contemnendo aptiora offeruntur. Mirum enim esset si ab illius dialogi consarcinatore in Platonis verba bis illatum esset quod exquisitius et concinnius judicandum sit. De duplici denique μὲν—μὲν—δὲ—δὲ—vid. Exc. meum ad Demosthenis Mid. p. 129. Buttm.

πλεῖστοι] Mallem equidem πιστοί. Sæpissime utramque vocem commutatam esse, nemo ignorat. In præcedentibus, pro ταῦτα δὲ οὐκ ἐδίδαξεν, εἰ διδακτὸν ἦν, legendum omnino τοῦτο etc. ut exstat in Æschinis dialogo primo, ubi totus hic locus ipsissimis verbis occurrit. Ibidem pro οὗ μὲν ἔδει δαπανώμενον, legitur οἷ etc. et in seqq. ἐξεῦρεν ἂν pro ἐξευρεῖν. Ged.

καὶ πείθεσθαι,[p] εὐλαβεῖσθαι, ὡς[q] ἴσως[r] μὲν καὶ ἐν ἄλλῃ πόλει ῥᾷόν[s] ἐστι κακῶς ποιεῖν ἀνθρώπους ἢ εὖ,[t] ἐν τῇδε δὲ καὶ πάνυ. οἶμαι δέ σε καὶ αὐτὸν εἰδέναι.[u] II. 95.

§. 35. ΣΩ. Ὦ Μένων, Ἄνυτος[v] μέν μοι δοκεῖ χαλεπαίνειν. καὶ οὐδὲν θαυμάζω· οἴεται γάρ με πρῶτον μὲν[w] κακηγορεῖν[x] τούτους τοὺς ἄνδρας, ἔπειτα ἡγεῖται καὶ αὐτὸς εἶναι εἷς τούτων. ἀλλ' οὗτος μὲν ἐάν ποτε γνῷ οἷόν ἐστι τὸ κακῶς[y] λέγειν, παύσεται χαλεπαίνων,[z] νῦν δὲ ἀγνοεῖ· σὺ δέ μοι εἰπέ, οὐ καὶ παρ' ὑμῖν[a] εἰσὶ καλοὶ κἀγαθοὶ ἄνδρες;

MEN. Πάνυ γε.

ΣΩ. Τί οὖν; ἐθέλουσιν οὗτοι παρέχειν αὑτοὺς[b] διδασκάλους τοῖς νέοις, καὶ[c] ὁμολογεῖν διδάσκαλοί τε εἶναι καὶ διδακτὸν ἀρετήν;

MEN. Οὐ μὰ τὸν Δί', ὦ Σώκρατες, ἀλλὰ τοτὲ μὲν ἂν αὐτῶν ἀκούσαις ὡς διδακτόν, τοτὲ δὲ[d] ὡς οὔ.

ΣΩ. Φῶμεν οὖν τούτους διδασκάλους εἶναι τούτου τοῦ[e] πράγματος, οἷς μηδὲ αὐτὸ τοῦτο ὁμολογεῖται;

MEN. Οὔ μοι δοκεῖ, ὦ Σώκρατες.

—[p] διαλέγεσθαι Γ.—[q] καὶ Γ.—[r] pro ἴσως lacuna est in 𝔯.—[s] ῥᾷόν Buttmannus: libri ῥᾴδιόν.—[t] ἢ εὖ om 𝔯.—[u] εἶναι pr Ξ.—[v] ἄνυτον 𝔯.—[w] μὲν om Σ.—[x] κατηγορεῖν Γ.—[y] καλῶς F.—[z] χαλεπαίνειν 𝔯.—[a] ὑμῖν 𝔄ΓΔΞr𝔡𝔯 et mg F: ἡμῖν *ς.—[b] τοὺς pr F.—[c] καὶ Wolfius, om 𝔯: ἢ *ς.—[d] δ' 𝔡.—[e] τοῦ om 𝔄.—[f] δαὶ 𝔄Δ.—

ῥᾴδιον] Legendum ῥᾷον (PAION). Quam emendationem confirmatam ab Heind. ad Phædon. §. 41. nunc Bekker. quoque et Schleierm. adoptarunt. Quod autem Ullrichius, nimis gravem hanc civitatis Atheniensium reprehensionem esse putat, id mihi quidem secus esse videtur; certe plane talis est hæc oratio qualem homini inimico tribuerit Plato. Quodsi, facile esse utrumque, dicere voluisset scriptor, tunc per καὶ, non ἤ, sententiarum nexum fecisset. In fine autem dictionis hoc sensu plane absonum est istud ἢ εὖ, cujus nulla prorsus in minaci oratione vis apparet. Quod denique observat Ullrichius, vocem πάνυ non recte aptari comparativo ῥᾷον, id verum est sane; at non debet aptari illa quidem hic, non magis certe quam in usitatissima responsione πάνυ γε, quæ omni loquendi formæ subjungitur. Neque tamen quenquam celabo in Vat. 2. omitti verba ἢ εὖ. Quod nescio an sit a corrigente. Mihi certe cum his verbis ipsum orationis sal videtur perire. Buttm.

§. 35. ἡμῖν] Legendum ὑμῖν. Antea enim jam dictum erat de bonis viris, qui Athenis essent. Jam vero Menonem Socrates interrogat: nonne etiam *apud vos in Thessalia* ejusmodi viri extant? Ged.

ἢ διδακτὸν] Et vis sententiæ et prægressa particula nos jubent corrigere καὶ διδακτὸν ἀρετήν. Ac multo frequentior est in veterum libris illarum particularum confusio, quam adhuc monitum est a viris doctis. Wolf. Cum tamen haud raro τε—ἤ—sibi respondentia inveniantur (vid. Theæt. §. 4. et ibi Heind.) non inepte Ullrichius hic quoque hanc loquendi formam tuetur, ut disjunctivo hoc ἤ illud dicat Socrates: 'aut si qui proborum illorum virorum non diserte dicunt, se esse virtutis magistros, num illud tamen dicunt, quod ut supra (26.) vidimus eodem redit, posse eam doceri.' Buttm.

II. i. 379. ΣΩ. Τί δαί[f] δή; οἱ σοφισταί σοι οὗτοι,[g] οἵ περ μόνοι ἐπαγγέλλονται, δοκοῦσι διδάσκαλοι εἶναι ἀρετῆς;

ΜΕΝ. Καὶ Γοργίου μάλιστα, ὦ Σώκρατες, ταῦτα ἄγαμαι, ὅτι οὐκ ἄν ποτε αὐτοῦ τοῦτο[h] ἀκούσαις ὑπισχνουμένου, ἀλλὰ καὶ τῶν ἄλλων καταγελᾷ, ὅταν ἀκούσῃ ὑπισχνουμένων· ἀλλὰ λέγειν οἴεται δεῖν[i] ποιεῖν δεινούς.

ΣΩ. Οὐδ᾽ ἄρα σοὶ δοκοῦσιν οἱ σοφισταὶ διδάσκαλοι εἶναι;

ΜΕΝ. Οὐκ ἔχω λέγειν, ὦ Σώκρατες. καὶ γὰρ αὐτὸς ὅ περ οἱ[j] πολλοὶ πέπονθα· τοτὲ[k] μέν μοι δοκοῦσι, τοτὲ δὲ[l] οὔ.

ΣΩ. Οἶσθα δὲ ὅτι οὐ[m] μόνον σοί τε[n] καὶ τοῖς[o] ἄλλοις τοῖς πολιτικοῖς τοῦτο δοκεῖ τοτὲ μὲν εἶναι διδακτόν, τοτὲ δ᾽ οὔ, ἀλλὰ καὶ Θέογνιν τὸν ποιητὴν οἶσθ᾽[p] ὅτι ταὐτὰ ταῦτα[q] λέγει;

ΜΕΝ. Ἐν ποίοις ἔπεσιν;

§. 36. ΣΩ. Ἐν τοῖς ἐλεγείοις, οὗ λέγει

καὶ παρὰ τοῖσιν[r] πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
ἵζε,[s] καὶ ἅνδανε τοῖς,[t] ὧν μεγάλη δύναμις.
ὃ ἂν θηρεύσωνται] Cod. Par. Ald. et Bas. utraque θηρεύωνται. Ficinus tamen vertit, *quod insecuti sunt,* atque ita paullo post, ἐπειδὰν ἢ πόλιν τινὰ θηρεύσωνται ἢ στρατόπεδον et αὐτοὶ γὰρ οὐκ ἐπίστανται χρῆσθαι τούτοις ἃ ἐθήρευσαν, postulatque hoc omnino accurata ratio. Heind.

οὐ δύνανται τούτῳ χρῆσθαι] Vellem οὐ δύνανται αὐτοὶ τούτῳ χρ. Heind.

καὶ οἱ λογιστικοὶ] Post λογιστικοὶ ponitur stigme, [scil. in ipsius Stephani edit.] quamvis alioqui hi nominativi ferantur ad παραδιδόασιν. interrumpitur enim oratio. Steph.

οὐ γὰρ ποιοῦσι τὰ διαγράμμ.] *Neque enim figuras horum singuli fingunt, sed eas, quæ jam sunt* (sive in rerum natura sive in hominum animis impressæ) *anquirunt.* de Rep. vii. p. 527. A. Λέγουσι μέν που μάλα γελοίως τε καὶ ἀναγκαίως (geometræ)· ὡς γὰρ πράττοντες τε καὶ πράξεως ἕνεκα πάντας τοὺς λόγους ποιούμενοι λέγουσι, τετραγωνίζειν τε καὶ παρατείνειν καὶ προστιθέναι καὶ πάντα οὕτω φθεγγόμενοι· τὸ δ' ἔστι που πᾶν τὸ μάθημα γνώσεως ἕνεκα ἐπιτηδευόμενον. Παντάπασι μὲν οὖν, ἔφη. Οὐκοῦν τοῦτο ἔτι διομολογητέον; Τὸ ποῖον; Ὡς τῆς τοῦ ἀεὶ ὄντος γνώσεως, ἀλλ' οὐ τοῦ ποτέ τι γιγνομένου καὶ ἀπολλυμένου; Εὐομολόγητον, ἔφη. Τοῦ γὰρ ἀεὶ ὄντος ἡ γεωμετρικὴ γνῶσίς ἐστι. Non est igitur eo-

οὖν χρῆσθαι αὐτοῖς[d] οὐκ ἐπιστάμενοι, ἀλλὰ θηρεῦσαι μόνον, παραδιδόασι δή που τοῖς διαλεκτικοῖς καταχρῆσθαι αὐτῶν τοῖς εὑρήμασιν, ὅσοι γε αὐτῶν[e] μὴ παντάπασιν ἀνόητοί εἰσιν. Εἶεν, ἦν δ' ἐγώ, ὦ κάλλιστε καὶ σοφώτατε Κλεινία, τοῦτο οὕτως ἔχει;[f] Πάνυ μὲν οὖν. καὶ οἵ γε στρατηγοί, ἔφη, οὕτω τὸν αὐτὸν τρόπον, ἐπειδὰν ἢ πόλιν[g] τινὰ θηρεύσωνται[h] ἢ στρατόπεδον, παραδιδόασι τοῖς πολιτικοῖς ἀνδράσιν· αὐτοὶ γὰρ οὐκ ἐπίστανται χρῆσθαι τούτοις ἃ ἐθήρευσαν· ὥς περ, οἶμαι, οἱ ὀρτυγοθῆραι τοῖς ὀρτυγοτρόφοις παραδιδόασιν. [§. 46.] Εἰ οὖν, ἦ δ' ὅς, δεόμεθα ἐκείνης τῆς τέχνης, ἥ τις[i] ᾧ[j] ἂν κτήσηται ἢ ποιήσασα[k] ἢ θηρευσαμένη, αὐτὴ[l] καὶ ἐπιστήσεται[m] χρῆσθαι, καὶ ἡ τοιαύτη ποιήσει ἡμᾶς μακαρίους, ἄλλην δή[n] τινα, ἔφη,[o] ζητητέον ἀντὶ τῆς στρατηγικῆς.

ΚΡ. Τί λέγεις σύ, ὦ Σώκρατες; ἐκεῖνο τὸ μειράκιον τοιαῦτ' ἐφθέγξατο;

ΣΩ. Οὐκ[p] οἴει, ὦ Κρίτων;

[d] χρῆσθαι αὐτοῖς 𝔄Θ: χρῆσθαι αὐτοὶ αὐτοῖς *ϛ.—[e] αὐτοῖς 𝔣.—[f] ἔχοι ϛ.—[g] πότε Θ.—[h] θηρεύσωνταί τινα 𝔣.—[i] εἴ τις 𝔢.—[j] ante ᾧ omisi ἂν cum 𝔄Θ𝔯.—[k] θηρεύσασα 𝔣.—[l] αὕτη 𝔄.—[m] ἐπιστήσηται 𝔶, ἐπίσταται 𝔣.—[n] δέ 𝔄Θ𝔣𝔯.—[o] ἔφην 𝔯.—[p] οὐδ' Γ.

rum ars ποιητικὴ quædam, sed κτητικὴ potius et θηρευτικὴ, velut universum artium genus Sophist. p. 219. B. distribuitur in ποιητικὴν et κτητικὴν, κτητικῆς autem pars quædam ponitur ἡ θηρευτική. Ceterum structuræ in his tenorem paullulum interrumpunt interposita verba θηρευτικοὶ γὰρ—ἀνευρίσκουσιν, ut nominativos solutos hæc referant οἱ γεωμέτραι καὶ οἱ ἀστρονόμοι καὶ οἱ λογιστικοί. Heind.

εἶεν, ἦν δ' ἐγὼ, ὦ κάλλιστε καὶ σοφώτατε Κλεινία, τοῦτο οὕτως ἔχοι] Omnino probandum est, quod in utraque Bas. et Aldina reperitur, ἔχει cum interrogandi signo. Confirmat hoc illa apud Platonem paris venustatis Socratis interrogatio Sympos. p. 208. B. l. c. Heusd.

εἶεν, ἦν δ' ἐγὼ,—τοῦτο οὕτως ἔχει;] Sic Cod. Paris. In Aldina et Bas. utraque ἔχει legitur sine interrogandi signo, unde Stephanus fecit, quod vulgo editur, ἔχοι. de Rep. iv. p. 424. E. Εἶεν, ἦν δ' ἐγώ· οὕτω τοῦτ' ἔχει; Δοκεῖ μοι, ἔφη. Sympos. p. 208. B. Εἶεν, ἦν δ' ἐγὼ, ὦ σοφωτάτη Διοτίμα· ταῦτα ὡς ἀληθῶς οὕτως ἔχει; Καὶ ἥ,—εὖ ἴσθι, ἔφη, ὦ Σώκρ. quæ loca apte huc attulit Routh. Addo Eurip. Hec. 311. Εἶεν· τί δῆτ' ἐρεῖ τις, ἤν τις αὖ φανῇ Στρατοῦ τ' ἄθροισις etc. Conf. nostra ad Lysid. §. 29. De vera hac scriptura Heusdius quoque monuit. Heind.

οἱ ὀρτυγοθῆραι] V. not. ad Lysid. §. 20. et Gataker. ad Antonin. i. 6. Heind. Consule Eustathium ad Iliad. I. p. 636. Routh.

ἥτις ἂν ᾧ ἂν κτήσηται—ἢ θηρευσαμένη, αὐτὴ καὶ ἐπιστήσ.] In his prius ἂν etsi ferri potest, rarissimum tamen apud Platonem est ὅστις ἂν seq. futuri indicativo, ut, ni vitio hoc natum sit ex seqq. ᾧ ἂν, mutandum in αὖ videatur. Nam quod aliquis volebat, ἐπιστήσηται, solœcum id est pro ἐπίστηται s. ἐπιστηθῇ. Ceterum prave hæc vulgo ita distinguuntur, ἢ θηρευσαμένη αὐτή, καὶ ἐπιστήσεται χρῆσθαι, quum αὐτὴ manifesto pertineat ad ἐπιστήσεται. Adverterat hoc itidem jam Heusdius, qui citat supr. p. 289. D. χρῆσθαι οἷς ἐκεῖνοι εἰργάσαντο οἱ λυροποιεῖν αὐτοὶ ἀδύνατοι. Heind.

ΚΡ. Μὰ Δί'[q] οὐ μέντοι. οἶμαι γὰρ αὐτὸν ἐγώ, εἰ ταῦτ' εἶπεν, οὔτ' Εὐθυδήμου οὔτε ἄλλου[r] οὐδενὸς ἔτ' ἀνθρώπου δεῖσθαι εἰς παιδείαν.

ΣΩ. Ἀλλ' ἆρ',[s] ὦ πρὸς Διός, μὴ ὁ Κτήσιππος ἦν ὁ ταῦτ' εἰπών, ἐγὼ[t] δὲ οὐ μέμνημαι;

ΚΡ. Ποῖος Κτήσιππος; II. i. 431. I. 291.

ΣΩ. Ἀλλὰ μὴν τό γε[u] εὖ οἶδα, ὅτι οὔτε Εὐθύδημος οὔτε Διονυσόδωρος[v] ἦν ὁ εἰπὼν ταῦτα. ἀλλ', ὦ δαιμόνιε Κρίτων, μή τις τῶν κρειττόνων παρὼν αὐτὰ ἐφθέγξατο; ὅτι γὰρ[w] ἤκουσά γε[x] ταῦτα, εὖ οἶδα.

ΚΡ. Ναὶ μὰ Δί',[y] ὦ Σώκρατες· τῶν[z] κρειττόνων μέντοι[a] τις ἐμοὶ[b] δοκεῖ, καὶ πολύ γε. ἀλλὰ μετὰ τοῦτο ἔτι τίνα ἐζητήσατε τέχνην; καὶ εὕρετε ἐκείνην ἢ οὐχ εὕρετε, ἧς ἕνεκα ἐζητεῖτε;

§. 47. ΣΩ. Πόθεν, ὦ μακάριε, εὕρομεν; ἀλλ' ἦμεν πάνυ γελοῖοι, ὥς περ τὰ[c] παιδία τὰ τοὺς κορυδοὺς[d] διώκοντα· ἀεὶ ᾠόμεθα[e] ἑκάστην τῶν ἐπιστημῶν[f] αὐτίκα λήψεσθαι, αἱ δ' ἀεὶ ὑπεξέφυγον.[g] τὰς μὲν οὖν πολλὰς[h] τί ἄν σοι λέγοιμι; ἐπὶ δὲ δὴ τὴν βασιλικὴν ἐλθόντες τέχνην

—[q] δί' Γyεr.—[r] οὔτ' ἄλλου wyr.—[s] ἆρ' Γ.—[t] ἐγὼ...ταῦτα om f.—[u] τόδε r.—[v] οὔτε διονυσόδωρος 𝔄ΓΘr : οὔτε ὁ Διονυσόδωρος *s.—[w] γὰρ om Γ, suffecto rc ἐπεὶ ante ὅτι.—[x] γε et εὖ om f.—[y] δί' Γw.—[z] τῶν om 𝔄Θ.—[a] τοι om Γ, μέντοι om f.—[b] ἔμοιγε f.—[c] τὰ ante τοὺς om Σf.—[d] κορύδους 𝔄Θr, κορωὄοὺς Cy, κορυλοὺς f.—[e] οἰόμεθα r.—[f] τῶν ἐπιστημῶν ἑκάστην Γ.—[g] ὑπεξέφευγον pr Γ.—[h] τὰ...πολλὰ

ἀλλ' ἆρα ὦ πρὸς κ. τ. λ.] *Sed num Ctesippus fuit qui hæc dixit? et ego non memini?* Q. d. Quid si vero non Clinias, sed Ctesippus hæc dixerit, et ego memoria sim lapsus? STEPH.

ποῖος Κτήσιππος;] Formulam hanc cum irrisione quadam et indignatione negantem illustravi ad Charmid. §. 47. Conf. Heusd. Specim. Crit. p. 108. HEIND.

οὔτε Εὐθύδημος οὔτε ὁ Διονυσόδωρος] Aut articulus ὁ expungi debet aut utrique nomini præfigi. HEIND.

ἀλλὰ—μή τις κ. τ. λ.] *Sed quid si aliquis ex præstantioribus illa dixit? me quidem certe audiisse certo scio.* STEPH.

τῶν κρειττόνων] Deos τοὺς κρειττόνας appellari, notius est, quam ut exemplis egeat. Videndus tamen Noster in Sophista, sub init. et Aristides Rhetor t. ii. p. 11. 132. 252. ROUTH.

τῶν κρειττόνων] *Deorum.* Qua locutione nihil est tritius. V. Wernsdorf. ad Himer. p. 88. Hutchins. ad Xenoph. Cyrop. viii. p. 499. Plene Plato Sympos. p. 188. E. τοῖς κρείττοσιν ἡμῶν θεοῖς. de Legg. p. 718. A. παρὰ θεῶν καὶ ὅσοι κρείττονες ἡμῶν. HEIND.

μετὰ τοῦτο ἔτι τίνα] *Quamnam præterea* etc. Ni præstet ἔτι τινὰ, *aliquam præterea.* HEIND.

§. 47. πόθεν—εὕρομεν;] Bas. 2. εὕρωμεν, solœce. Indicativo opus est h. l. ut de Rep. i. p. 330. A. Πότερον—ὦ Κέφαλε, ὧν κέκτησαι τὰ πλείω παρέλαβες ἢ ἐπεκτήσω; Ποῖ (scr. πῇ) ἐπεκτησάμην —ὦ Σώκρατες; HEIND.

κορυδοὺς] Schol. Κορυδοί, ὄρνιθες ὄρτυξιν ὅμοιοι, οὓς ἔνιοι κορυδαλούς φασι, Γῆς καὶ Ἀθηνᾶς ἱεροί. Conf. Tim. Lex. p. 164. ibiq. Ruhnk. HEIND.

καὶ διασκοπούμενοι αὐτήν,[i] εἰ αὕτη εἴη ἡ τὴν εὐδαιμονίαν παρέχουσά τε καὶ[j] ἀπεργαζομένη, ἐνταῦθα ὥς περ εἰς λαβύρινθον ἐμπεσόντες, οἰόμενοι ἤδη ἐπὶ τέλει εἶναι, περικάμψαντες πάλιν ὥς περ ἐν ἀρχῇ τῆς ζητήσεως[k] ἀνεφάνημεν ὄντες καὶ τοῦ ἴσου δεόμενοι ὅσου περ ὅτε τὸ πρῶτον ἐζητοῦμεν.

ΚΡ. Πῶς δὴ τοῦτο ὑμῖν[l] συνέβη, ὦ Σώκρατες;

ΣΩ. Ἐγὼ φράσω. ἔδοξε γὰρ δὴ ἡμῖν ἡ πολιτικὴ καὶ ἡ βασιλικὴ τέχνη ἡ αὐτὴ εἶναι.

II. i. 432. §. 48. ΚΡ. Τί οὖν δή;

ΣΩ. Ταύτῃ τῇ τέχνῃ ἥ τε στρατηγικὴ καὶ αἱ ἄλλαι παραδιδόναι ἄρχειν τῶν ἔργων ὧν αὐταὶ[m] δημιουργοί εἰσιν, ὡς μόνῃ[n] ἐπισταμένῃ χρῆσθαι. σαφῶς οὖν ἐδόκει ἡμῖν αὕτη εἶναι ἣν ἐζητοῦμεν,[o] καὶ ἡ αἰτία τοῦ ὀρθῶς πράττειν ἐν τῇ πόλει, καὶ ἀτεχνῶς κατὰ τὸ Αἰσχύλου ἰαμβεῖον[p] μόνη[q] ἐν τῇ[r] πρύμνῃ καθῆσθαι τῆς πόλεως, πάντα κυβερνῶσα[s] καὶ πάντων ἄρχουσα πάντα[t] χρήσιμα[u] ποιεῖν.

ΚΡ. Οὐκοῦν καλῶς[v] ὑμῖν[w] ἐδόκει, ὦ Σώκρατες;

ΣΩ. Σὺ κρινεῖς, ὦ Κρίτων, ἐὰν βούλῃ ἀκούειν[x] καὶ[y] τὰ[z] μετὰ ταῦτα συμβάντα ἡμῖν. αὖθις γὰρ δὴ πάλιν ἐσκοποῦμεν ὧδέ πως. Φέρε, πάντων ἄρχουσα ἡ βασιλικὴ τέχνη τί ἡμῖν ἀπεργάζεται ἔργον; ἢ οὐδέν; Πάντως δή

𝔄Θ.—[i] αὐτὴ 𝔄Θf.—[j] παρέχουσά τε καὶ om 𝔄Θ.—[k] κτήσεως Γ.—[l] ἡμῖν fr.—[m] αὐταὶ Heindorfius: libri plerique αὖται.—[n] μόνης w. σοφῶς Cy.—[o] ζητοῦμεν Eς.—[p] ἰαμβίον 𝔄Θ.—[q] μόνηι 𝔄.—[r] τῇ om r.—[s] κυβερνᾶν r.—[t] ἄρχουσα πάντα 𝔄ΓΘΞΣ BCwyefr: ἄρχουσα καὶ πάντα Eς.—[u] χρη f.—[v] καλὸς ΣBEe.—[w] ἡμῖν 𝔄.—
ω
[x] ἀκουειν 𝔄, ἀκούων f.—[y] καὶ...ἐσκοποῦμεν] μετὰ γὰρ τὰ ἔμπροσθεν συμβάντα ἡμῖν αὖτις μετὰ ταῦτα ἐσκοποῦμεν Θ et (omisso ἡμῖν) 𝔄 et (omissis συμβάντα ἡμῖν

ἢ τὴν] οὐ pro ἢ Bas. 2. et mox μόνου pro μόνῃ. Routh.

δεομένου ὅσουπερ κ. τ. λ.] *Tantumque nobis deesse* ad cognitionem illius scientiæ, *quantum antea, quum eam inquirere cœpimus.* Fic. autem vertit, *Eodem modo affecti*, male omnino. Confirmant autem hanc meam interpr. hæc sequentia, καὶ (ὅπερ ἔλεγον) τοῦ ἴσου ἡμῖν ἐνδεῖ, ἢ ἔτι πλέονος, πρὸς τὸ εἰδέναι τίς ποτ' ἐστὶν ἡ ἐπιστήμη ἐκείνη. Steph.

§. 48. τί οὖν δή;] *Quid tum? s. quid ergo?* Plenius supra §. 21. extr. Τί οὖν δὴ τοῦτο; Male Ficinus: *Quinam?*—Ταύτῃ τῇ τέχνῃ—παραδιδόναι sc. ἔδοξαν, quod facile subaudias ex prægresso ἔδοξε. Statim post αὐταὶ scripsi pro αὖται, et deinde ἐζητοῦμεν pro ζητοῦμεν. Ficinus: *quam quærebamus.* Heind.

Αἰσχύλου] Sept. Th. init. Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια Ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως Οἴακα νωμῶν etc. Heind.

τέχνη τί ἡμῖν ἀπεργάζεται ἔργον; ἢ οὐδέν;] Ficinus: *ars illa regia—opus aliquod efficit, an non?* quasi τι legerit ἐγκλιτικῶς, quod tamen post ἔργον potius posuisset Plato. Scilicet hæc, Πάν-

που, ἡμεῖς ἔφαμεν πρὸς ἀλλήλους. Οὐ καὶ[a] σὺ ἂν ταῦτα φαίης,[b] ὦ Κρίτων;

ΚΡ. Ἔγωγε.

ΣΩ. Τί οὖν ἂν φαίης[c] αὐτῆς ἔργον εἶναι; ὥς περ εἰ[d] ἐγώ σε[e] ἐρωτῴην, πάντων[f] ἄρχουσα ἡ ἰατρικὴ ὧν ἄρχει τί ἔργον παρέχεται; οὐ τὴν ὑγίειαν φαίης;

ΚΡ. Ἔγωγε.

§. 49. ΣΩ. Τί δέ; ἡ ὑμετέρα τέχνη ἡ γεωργία, πάντων ἄρχουσα ὧν ἄρχει, τί ἔργον[g] ἀπεργάζεται; οὐ[h] τὴν II. i. 433.
τροφὴν ἂν φαίης τὴν ἐκ τῆς[i] γῆς παρέχειν[j] ἡμῖν; I. 292.

ΚΡ. Ἔγωγε.

ΣΩ. Τί δέ; ἡ βασιλικὴ πάντων ἄρχουσα ὧν ἄρχει τί ἀπεργάζεται; ἴσως οὐ πάνυ γ'[k] εὐπορεῖς.

ΚΡ. Μὰ τὸν Δί',[l] ὦ Σώκρατες.

ΣΩ. Οὐδὲ γὰρ ἡμεῖς, ὦ Κρίτων. ἀλλὰ τοσόνδε γε[m] οἶσθα, ὅτι εἴ περ ἔστιν αὕτη ἣν ἡμεῖς ζητοῦμεν, ὠφέλιμον αὐτὴν δεῖ εἶναι.

ΚΡ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ἀγαθόν γέ τι δεῖ ἡμῖν αὐτὴν παραδιδόναι;

ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες.

ΣΩ. Ἀγαθὸν δέ γέ[n] που ὡμολογήσαμεν ἀλλήλοις ἐγώ τε καὶ Κλεινίας οὐδὲν εἶναι ἄλλο[o] ἢ ἐπιστήμην τινά.

ΚΡ. Ναί,[p] οὕτως ἔλεγες.

ΣΩ. Οὐκοῦν τὰ[q] μὲν ἄλλα ἔργα ἃ φαίη ἄν τις πολιτικῆς εἶναι· πολλὰ δέ που ταῦτ' ἂν εἴη, οἷον πλουσίους τοὺς πολίτας παρέχειν καὶ ἐλευθέρους[r] καί ἀστασιάστους· πάντα ταῦτα οὔτε κακὰ οὔτε ἀγαθὰ ἐφάνη, ἔδει δὲ σοφοὺς

αὖτις μετὰ) r.—[z] τὰ om pr Ξ.—[a] δὲ Cy.—[b] φαίνης pr Γ.—[c] φαίης ἂν r.—[d] εἰ om f.—[e] σε ἐγὼ ϘΘr, ἔγωγε (omisso σε) ε.—[f] πάντως f.—[g] ἔργον post ἀπεργάζεται ponunt ΞCwyεf, om BEς.—[h] οὐ...ἀπεργάζεται om pr E.—[i] τῆς om ΣBCwyεf.—[j] παρέχει r.—[k] γ' om f.—[l] δί' Γ.—[m] γε om f.—[n] γε om Γf.—[o] ἄλλο εἶναι r.—[p] ναὶ om f.—[q] οὐκ αὐτὰ f.—[r] καὶ ἐλευθέρους καὶ om w.—[s] αὐτὴ f.—[t] τόγε Ξ.—

τως—Ἔγωγε, pertinent tantum ad proxima ἢ οὐδὲν, iteraturque statim incepta interrogatio verbis, Τί οὖν ἂν φαίης etc. Conf. Gorg. §. 8. ibiq. not. HEIND.

§. 49. τί ἀπεργάζεται] Desunt omnia in Ms. Par. inter ἀπεργάζεται repetitum. Sed exstant recentiori manu in margine. ROUTH.

ὑμετέρα] Sc. τῶν χρηματιστῶν, qualis fuit Crito. Conf. §. 76. extr. Verbis statim post illis τί ἀπεργάζεται; addidi ἔργον e Bas. 2. HEIND.

ποιεῖν καὶ ἐπιστήμης μεταδιδόναι, εἴ περ ἔμελλεν αὕτη[s] εἶναι ἡ ὠφελοῦσά τε καὶ εὐδαίμονας ποιοῦσα.

II. i. 434. §. 50. ΚΡ. Ἔστι ταῦτα· τότε[t] γοῦν οὕτως ὑμῖν[u] ὡμολογήθη, ὡς σὺ τοὺς λόγους ἀπήγγειλας.

ΣΩ. Ἆρ' οὖν ἡ βασιλικὴ σοφοὺς ποιεῖ τοὺς ἀνθρώπους καὶ ἀγαθούς;

ΚΡ. Τί γὰρ κωλύει, ὦ Σώκρατες;

ΣΩ. Ἀλλ' ἆρα πάντας καὶ πάντα[v] ἀγαθούς; καὶ πᾶσαν ἐπιστήμην, σκυτοτομικήν τε καὶ τεκτονικὴν καὶ τὰς ἄλλας ἁπάσας, αὕτη ἡ παραδιδοῦσά ἐστιν;

ΚΡ. Οὐκ οἶμαι ἔγωγε, ὦ Σώκρατες.

ΣΩ. Ἀλλὰ τίνα δὴ[w] ἐπιστήμην; ᾗ[x] τί χρησόμεθα;[y] τῶν μὲν γὰρ ἔργων οὐδενὸς δεῖ αὐτὴν[z] δημιουργὸν εἶναι[a] τῶν μήτε κακῶν μήτε ἀγαθῶν, ἐπιστήμην δὲ παραδιδόναι μηδεμίαν ἄλλην ἢ αὐτὴν ἑαυτήν. λέγωμεν δὴ οὖν,[b] τίς ποτε[c] ἔστιν αὕτη, ᾗ[d] τί χρησόμεθα; βούλει φῶμεν, ὦ Κρίτων, ᾗ[e] ἄλλους ἀγαθοὺς ποιήσομεν;

ΚΡ. Πάνυ γε.

ΣΩ. Οἳ τί ἔσονται ἡμῖν ἀγαθοὶ καὶ τί χρήσιμοι; ἢ ἔτι λέγωμεν[f] ὅτι ἄλλους ποιήσουσιν, οἱ δὲ ἄλλοι ἐκεῖνοι ἄλλους;[g] ὅ τι δέ ποτε ἀγαθοί εἰσιν, οὐδαμοῦ ἡμῖν φαίνονται, ἐπειδή περ τὰ ἔργα τὰ λεγόμενα εἶναι τῆς πολιτικῆς ἠτιμάσαμεν,[h] ἀλλ' ἀτεχνῶς τὸ λεγόμενον ὁ Διὸς Κόρινθος

[u] ἡμῖν 𝔯.—[v] πάντα 𝔄Θ𝔯 : πάντως *ϛ.—[w] δεῖ ΣBCE𝔲𝔳𝔶𝔢.—[x] ᾖ Ξ, ᾗ ΓΘ : ἢ *ϛ.—[y] τεχνησόμεθα 𝔣.—[z] αὐτὴν δεῖ ΞΣ𝔢, δεῖ αὐτὴν δεῖ BE𝔲.—[a] εἶναι om 𝔣.—[b] οὖν δὴ 𝔯.—[c] ποτ' 𝔴.—[d] ᾗ corr 𝔄ΓΞ : ἢ *ϛ.—[e] ᾗ γ' E, ᾗ τ' ϛ.—[f] λέγομεν 𝔯.—[g] ἄλλοις 𝔢.

§. 50. δὴ] δεῖ pro δὴ Ald. Basileenses, Ms. Par. Routh.

τίνα δὴ ἐπιστήμην, ᾗ τί χρησόμεθα;] Hic et in verbis paullo post sequentibus, τίς ποτέ ἐστιν αὕτη, ᾗ τί χρησόμεθα, de certa Heusdii correctione scripsi ᾗ pro ἤ. Deinde cum eodem dedi ᾗ γ' ἄλλους pro ᾗ τ' ἄλλ. Sic et Cod. Par. Heind.

ᾗτ' ἄλλους] Fortasse ᾗ τοὺς ἄλλους: alioqui vide an scribi possit τἄλλους. Steph.

ὅ,τι δέ ποτε ἀγαθοί εἰσιν] Pro ὅτι rescripsi ὅ,τι, quod Ficinus quoque expressit, quum vertit, *quo autem boni sint.* Atque ita correxerat jam Waldegrav. apud Routh. Heind.

ἀπεδοκιμάσαμεν] Cod. Par. ἠτιμάσαμεν, adscripto tamen ab eadem manu in margine vulgato, quod, vereor, ne sit a glossatore profectum. Heind.

ὁ Διὸς Κόρινθος] Parœmia passim obvia, de cujus tamen sensu inter veteres parum constat. Schol. Διὸς Κόρινθος ἐπὶ τῶν ἄγαν μὲν ὑπερσεμνυνομένων, κακῶς δὲ καὶ πονηρῶς ἀπαλλαττόντων. Ἄλλοι δὲ ἐπὶ τῶν ἐπ' οὐδενὶ τέλει ἀπειλούντων φασὶν εἰρῆσθαι τὴν παροιμίαν. Platonis tamen loco huic si conferas vel

γίγνεται, καὶ ὅ περ ἔλεγον, τοῦ ἴσου ἡμῖν ἐνδεῖ ἢ ἔτι πλέονος[i] πρὸς τὸ εἰδέναι τίς ποτ' ἐστὶν ἡ ἐπιστήμη ἐκείνη ἣ ἡμᾶς εὐδαίμονας ποιήσειεν; II. i. 435.

ΚΡ. Νὴ τὸν Δί',[j] ὦ Σώκρατες, εἰς πολλήν γε ἀπορίαν, ὡς ἔοικεν, ἀφίκεσθε.

§. 51. ΣΩ. Ἔγωγε οὖν καὶ αὐτός, ὦ Κρίτων, ἐπειδὴ ἐν ταύτῃ τῇ ἀπορίᾳ ἐνεπεπτώκη,[k] πᾶσαν ἤδη φωνὴν ἠφίην,[l] I. 293. δεόμενος τοῖν ξένοιν, ὥς περ Διοσκόρω[m] ἐπικαλούμενος, σῶ-

—[h] ἠτιμάσαμεν 𝔄ΓΘΣCyr et pr BE: ἀπεδοκιμάσαμεν *s.—[i] πλείονος yer.—[j] δι' Γ.—[k] ἐνεπεπτώκει 𝔄ΘΣBCwye et pr Γ: ἐνεπεπτώκειν *s.—[l] ἠφίην w: ἠφίειν *s. —[m] διοσκόρω pr Ξ, διοσκούροιν r, διοσκούρων 𝔄Θf: Διοσκούρω *s.—[n] διέλοιμεν e.

unum illum Pindari Nem. vii. extr. ταυτὰ Δὲ τρὶς τετράκις τ' ἀμπολεῖν, 'Απορία τελέθει, τέκνοι-Σιν ἅτε μαψιλάκας, Διὸς Κόρινθος, longe probabilior vel unice potius vera videbitur hæc, quam ibi affert Scholiastes, explicatio: Διὸς Κόρινθος παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων, ὅταν δυσειλέκτως ἀναπολῶσι τὰ αὐτὰ πολλάκις. Adde Aristoph. Ran. 442. ibiq. Bergler. et Conc. 827. quæque Plutarchi loca protulit Erasmus Adagg. p. 372. De origine ejus quæ veteres tradiderunt, longum est huc transscribere, neque ea quidquam faciunt ad sensum declarandum. Vid. Schol. ad Plat. et ad Pindar. l. l. item ad Aristoph. Ran. l. l. Pausan. ii. pr. et Parœmiograph. HEIND.

ὅπερ ἔλεγον, τοῦ ἴσου] Sc. §. 47. extr. Mox malim ποιήσει, quanquam in vulgato ποιήσειε suppleri potest ἄν. HEIND.

§. 51. ἐν ταύτῃ τῇ ἀπορίᾳ ἐνεπεπτώκειν] Hipp. Maj. §. 41. ἐν τῇ αὐτῇ ἐμπεπτωκότες ἀπορίᾳ. HEIND.

πᾶσαν φωνὴν ἠφίειν] De Legg. x. p. 890. D. ἀλλὰ (δεῖ) πᾶσαν, τὸ λεγόμενον, φωνὴν ἱέντα τῷ παλαιῷ νόμῳ ἐπίκουρον γίγνεσθαι. Demosth. pr. Cor. p. 344. C. οἵας τότε ἠφίει φωνὰς ὁ Φίλιππος καὶ ἐν οἵαις ἦν ταραχαῖς; Themist. Orat. v. p. 70. D. ποίας οὐκ ἀφήσεις φωνάς; Atque simile est illud Lysid. §. 41. Ὁ δὲ Ἱπποθάλης ὑπὸ τῆς ἡδονῆς παντοδαπὰ ἠφίει χρώματα. HEIND.

ἠφίειν] Non possum quin cum lectoribus communicem exquisitam hanc Buttmanni mei animadversionem; 'Offendor hac forma imperfecti, ἠφίειν, (nam pro plusquamperfecto hoc neque per formam neque per sensum habere licet), quum a verbo ἵημι nonnisi aut ἵην aut ἵουν (ut ἐτίθουν) flecti potuerit. In composito autem hoc inter ἀφίην, ἠφίην, ἀφίουν, ἠφίουν incerti fluctuant grammatici; de ἠφίειν nemo eorum quidquam monet, quam tamen formam adeo abnormem vix videntur negligere potuisse Phrynichi et Thomæ. Nam quæ apud hos et in veterum libris reperitur ubique tertiæ personæ forma ἠφίει, hæc quum legitime formetur ἀπὸ τοῦ ἠφίουν, hanc fere primæ personæ formam præcipue commendant recentiores certe grammatici. Eam tamen ego h. l. in Platone vulgatæ substitui nolim, tum quod nescimus, hanccine an alteram illam ἠφίην prætulerint Attici ipsi, tum quod multo etiam ἀτοπώτερα, quam hoc ἠφίειν, vulgari loquendi usu in sermonem Græcum inducta fuisse constat. Plura igitur quærenda sunt primæ in hoc verbo personæ exempla, quale unum adhuc prolatum reperi apud Fischer. Animadv. ad Weller. ii. 478 ἠφίουν ex Isæo Reisk. p. 143. tertiæ quidem hoc pluralis personæ, quæ tamen cum prima sing. conspirat. Atque ipsum hoc nostrum ἠφίειν ex Libanio attulit ad Thom. Mag. Hemsterhusius p. 428. qui si Platonici hujus loci memor ibi fuisset, dubitantius, opinor, rescribendum judicasset ἠφίην.' HEIND.

Διοσκούρω] Nautarum Σωτῆρας. Διοσκόρων, non Διοσκούρων, legitur de Legg. vii. p. 796. B. atque sic ubique apud Atticos scribendum monuit Grammaticus eruditissimus, Phrynichus p. 100. Διόσκουροι· ὀρθότερον Διόσκοροι· γελάσεις οὖν τοὺς σὺν τῷ υ λέγοντας. Conf. Herodian. ed. Pierson. p. 445. et Wesseling. ad Herodot. in Var. Lectt. p. 124. HEIND.

σαι ἡμᾶς, ἐμέ τε καὶ τὸ μειράκιον, ἐκ τῆς τρικυμίας τοῦ λόγου, καὶ παντὶ τρόπῳ σπουδάσαι, καὶ σπουδάσαντας ἐπιδεῖξαι τίς ποτ' ἔστιν ἡ ἐπιστήμη ἧς τυχόντες ἂν καλῶς τὸν ἐπίλοιπον βίον διέλθοιμεν.[n]

ΚΡ. Τί οὖν; ἠθέλησέ τι[o] ὑμῖν ἐπιδεῖξαι ὁ Εὐθύδημος;

ΣΩ. Πῶς γὰρ οὔ; καὶ ἤρξατό γε, ὦ ἑταῖρε, πάνυ μεγαλοφρόνως τοῦ λόγου ὧδε.

Πότερον δή σε, ἔφη, ὦ Σώκρατες, ταύτην τὴν ἐπιστήμην περὶ ἣν πάλαι ἀπορεῖτε, διδάξω ἢ ἐπιδείξω ἔχοντα; Ὦ μακάριε, ἦν δ' ἐγώ, ἔστι δὲ ἐπὶ σοὶ τοῦτο; Πάνυ μὲν οὖν, ἔφη. Ἐπίδειξον τοίνυν με[p] νὴ Δί', ἔφην ἐγώ, ἔχοντα· πολὺ γὰρ ῥᾷον ἢ μανθάνειν τηλικόνδε ἄνδρα. Φέρε δή μοι ἀπόκριναι, ἔφη· ἔστιν ὅ τι ἐπίστασαι; Πάνυ γε, ἦν δ' ἐγώ, καὶ
II. i. 436. πολλά, σμικρά γε.[q] [§. 52.] Ἀρκεῖ,[r] ἔφη. ἆρ' οὖν δοκεῖς οἷόν τέ τι τῶν ὄντων τοῦτο, ὃ τυγχάνει ὄν, αὐτὸ τοῦτο μὴ εἶναι; Ἀλλὰ μὰ Δί' οὐκ ἔγωγε. Οὐκοῦν σὺ[s] ἔφης[t] ἐπίστασθαί[u] τι; Ἔγωγε. Οὐκοῦν ἐπιστήμων εἶ, εἴπερ ἐπίστασαι; Πάνυ γε, τούτου γε[v] αὐτοῦ. Οὐδὲν δια-

—[o] τις w.—[p] με om 𝔄Θ.—[q] καὶ σμικρά γε Γ, γε σμικρὰ Σ.—[r] δοκεῖ σοι f.—[s] σὺ ...οὐκ om 𝔯.—[t] ἔφης 𝔄ΓΘΞΣΕwyet : ἔφη *s.—[u] ἐπίστασθαι Σ et corr Γ : ἐπίστα-

ἐκ τῆς τρικυμίας] *Tempestatis gravissimæ*, quam graphice describit in Epistola 2. ad Euoptium Synesius. Eadem translatio in sacris quoque literis extat. Vide Psal. xlii. 7. lxxxviii. 7. Routh.

ἐκ τῆς τρικυμίας τοῦ λόγου] De Rep. v. p. 472. A. *ἐξαίφνης γε σύ, ἦν δ' ἐγώ, ὥσπερ καταδρομὴν ἐποιήσω ἐπὶ τὸν λόγον μου·—ἴσως γὰρ οὐκ οἶσθα, ὅτι μόγις μοι τὼ δύο κύματε ἐκφυγόντι νῦν τὸ μέγιστον καὶ χαλεπώτατον τῆς τρικυμίας ἐπάγεις* etc. Conf. Dorvill. ad Charit. p. 243. Heind.

ἤρξατο—πάνυ μεγαλοφρόνως] Similiter Theætet. §. 48. *ἵνα μεγαλοπρεπῶς καὶ πάνυ καταφρονητικῶς ἤρξατο ἡμῖν λέγειν.* Heind.

ἔστι δὲ] Malebat aliquis *ἔστι δὴ ἐπ.* sed satis frequens est hoc *δὲ* in hujusmodi interrogatione. Heind.

πολλὰ] Non legi *πολλὰ*, quod Socrati parum quadrare videretur hujusmodi responsio, qui se hoc unum scire aiebat, quod nihil sciret: et quamvis *πολλὰ* et *σμικρὰ* possint de uno dici (sunt enim res multæ numero, parvæ qualitate) hæc tamen interrogationi responsio non apte videtur convenire. Quærit enim sophista a Socrate aliquid ne sciat. Respondet Socrates, se quidem scire, sed *pauca.* Ita intelligo hunc locum. Serran. *Scio sane multa, et ea quidem parva.* Steph.

καὶ πολλά, σμικρά γε] Ficin. *multa, sed parva*, ut *δὲ* expresserit pro *γε.* Heind.

§. 52. *οὐκοῦν σὺ (ἔφη) ἐπίστασαί τι;*] *Οὐκοῦν σὺ ἔφῃς ἐπίστασαί τι;* Ald. Bass. Vertit etiam Ficinus, *Annon scire te aliquid asseris?* Forte legebat *οὐκοῦν σὺ ἔφῃς ἐπίστασθαί τι;* Sed recte tamen, ni fallor, Stephanus *ἔφῃς* in *ἔφη* mutabat. Mox *ἐπιστάσαι* mendose pro *ἐπίστασθαι* habent Ald. et Bas. 1. Routh.

ἔφη] Cod. Par. et Ald. itemque Bas. utraque *ἔφῃς*, unde Steph. fecit *ἔφη.* Ficinus: *Annon scire te aliquid asseris?* Hinc suum Platoni reddes scribendo: *Οὐκοῦν σὺ φῂς ἐπίστασθαί τι;* Heind.

φέρει. ἀλλ' οὐκ ἀνάγκη σε ἔχει πάντα ἐπίστασθαι ἐπιστήμονά γε ὄντα. Μὰ Δί', ἔφην ἐγώ, ἐπεὶ[w] πολλὰ ἄλλ'[x] οὐκ ἐπίσταμαι. Οὐκοῦν εἴ τι μὴ ἐπίστασαι, οὐκ ἐπιστήμων εἶ. Ἐκείνου[y] γε, ὦ[z] φίλε, ἦν δ' ἐγώ. Ἧττον οὖν τι, ἔφη, οὐκ ἐπιστήμων εἶ;[a] ἄρτι δὲ ἐπιστήμων ἔφησθα εἶναι. καὶ οὕτω τυγχάνεις ὢν[b] αὐτὸς οὗτος ὃς εἶ, καὶ αὖ πάλιν οὐκ εἶ, κατὰ ταὐτὰ ἅμα. Εἶεν, ἦν δ' ἐγώ, Εὐθύδημε· τὸ γὰρ[c] λεγόμενον, καλὰ[d] δὴ πάντα λέγεις. πῶς οὖν ἐπί-

σαι *ς.—[v] γε post τούτου om Ξe.—[w] ἐπὶ 𝔄.—[x] ἀλλ' C et pr Γ.—[y] ἐκείνου...εἶ om Σ.—[z] ὦ om Γ.—[a] ἔφη f.—[b] ὢν om r.—[c] γὰρ δὴ f.—[d] κατὰ w.—[e] ἐκείνης e.—

ἀλλ' οὐκ] Hæc ut ἐρωτηματικῶς dicta, accipienda esse puto, et ponendam interrogationis notam post ὄντα. Sic in fine hujus pag. et in principio seq. πάντ' ἄρα ἐπίστασθον, ἐπειδήπερ καὶ ὁτιοῦν. Steph.

ἧττον—εἶ] Hæc quoque nisi ita intelligamus ut ἐρωτηματικῶς dicta, necesse erit ἧττον τὶ interpretari *nihilominus*, ut etiam Ficinus reddit: quum tamen hæc interpretatio minime ferri posse videatur. Nam pro *nihilominus* non ἧττον vel ἧττον τὶ, sed οὐδὲν ἧττον dicunt. At si cum interrogatione illa legamus, non aliam verbis illis ἧττον τὶ significationem dare necesse fuerit, quam quæ passim est in usu: sic exponendo, *An minus propterea dicendus es esse non sciens?* quasi dicat, *Haud ideo certe minus es non sciens.* Steph.

Interrogative dici jam Stephanus monuit, quod si vidisset Cornarius, non tali opus putasset correctione: ἧττον οὔτι, ἔφη, οὐκ ἐπιστήμων εἶ, in qua ne Græcum quidem est istud ἧττον οὔτι pro οὐδὲν ἧττον. Hoc Sophista quærit: *an minus es nescius*, etiamsi addideris istud tuum ἐκείνου γε? Heind.

οὐκ εἶ κατὰ ταυτὰ ἅμα] Quodammodo ἐκ παραλλήλου juncta sunt ἅμα et κατὰ ταῦτα, ut frequens illa est verborum ὡσαύτως et κατὰ ταυτὰ junctura: subsequens autem Socratis Εἶεν non tam assentientis h. l. videtur, quam ad alia quædam transeuntis. Itaque dubito adhuc de Schleiermacheri conjectura ingeniose corrigentis :—καὶ αὖ πάλιν οὐκ εἶ. Ἦ καὶ κατὰ ταῦτα ἅμα; εἶεν, ἦν δ' ἐγὼ etc. ut a verbis Ἦ καὶ etc. Socratis responsio incipere putetur. Heind.

εἶεν, ἦν δ' ἐγὼ] Ita paulo infra Εἶεν, ἦν δ' ἐγώ· ἀλλὰ πῶς ποιῶ; Timæi quoque glossa Εἶεν. συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα. Monet hæc porro Aristoteles in Σοφιστ. Ἐλέγχ. Ἀποκριτέον δὲ, ἐπὶ μὲν τῶν δοκούντων (scil. sophismatum, quæ cum elenchi non sint, videntur tamen esse) τὸ Ἔστω λέγοντε· καὶ γὰρ οὕτως γένοιτ' ἂν παρεξέλεγχος. c. 17. Routh.

εἶεν, ἦν δ' ἐγὼ, Εὐθύδημε· τὸ γὰρ λεγόμενον, καλὰ δὴ πάντα ἄγεις] Sympos. p. 204. E. Εἶεν δὴ, ὦ ξένη· καλῶς γὰρ λέγεις. Atque ita γὰρ sæpe post εἶεν infertur, quod nescio quibus intemperiis agitatus Erasmus mutari h. l. voluit in voculam inauditam εἰν aut εἰνὶ Adagg. p. 165. Post ἐγὼ facile excidere potuit ὦ. Illud autem ἄγεις non cunctanter e Schol. reposui pro vulgato λέγεις. Scholii verba hæc sunt: Καλὰ δὴ πάντ' ἄγεις, ἀντὶ τοῦ ἀγγέλλεις, ἐπὶ τῶν αἴσια ἀπαγγελλόντων. Πολλάκις δὲ λέγεται καὶ κατ' εἰρωνείαν. Ἀριστοφάνης Γεωργοῖς καὶ Πλάτων Εὐθυδήμῳ. Nimirum ut hæc habeant proverbii speciem, καλὰ πάντα λέγεις, tamen si λέγεις h. l. scriptum reperisset Scholiastes, id non putasset, opinor, explicandum per ἀγγέλλεις. Scripturæque nostræ auctoritatis aliquid accedit ex Hesychio, si recte apud hunc in his, Καλὰ δὴ παταγεῖς· καλὰ λαλεῖς, corrigendum suspicor καλὰ δὴ πάντ' ἄγεις, quod longe certe probabilius ratione Abreschi, [ad Hesych. l. c.] hinc in Platonis hoc loco reponentis istud παταγεῖς. Heind.

Abreschii conjecturæ favet aliqua ex parte Ficinus, a quo πάντα non vertitur: *En Euthydeme ut proverbio fertur, quam belle loqueris.* Certe proverbii καλὰ πάντα λέγεις nulli parœmiographi meminerunt; sed tamen καλῶς λέγεις et καλῶς ἔλεξας formulæ loquendi sunt. Routh.

σταμαι ἐκείνην[e] τὴν ἐπιστήμην ἣν ἐζητοῦμεν, ὡς δὴ τοῦτο
ἀδύνατόν ἐστι τὸ αὐτὸ εἶναί τε καὶ μή; εἴ περ ἓν ἐπίστα-
μαι, ἅπαντ'[f] ἐπίσταμαι; οὐ γὰρ ἂν εἴην ἐπιστήμων τε καὶ
ἀνεπιστήμων ἅμα; ἐπεὶ[g] δὲ πάντ'[h] ἐπίσταμαι, κἀκείνην
δὴ τὴν ἐπιστήμην ἔχω; ἆρ'[i] οὕτω[j] λέγεις, καὶ τοῦτό ἐστι
τὸ σοφόν; Αὐτὸς σαυτόν γε δὴ ἐξελέγχεις, ἔφη,[k] ὦ Σώ-
κρατες. [§. 53.] Τί δέ, ἦν δ' ἐγώ, ὦ Εὐθύδημε, σὺ οὐ[l]
II. i. 437. πέπονθας τοῦτο[m] τὸ αὐτὸ[n] πάθος; ἐγὼ γάρ τοι μετὰ σοῦ
ὁτιοῦν ἂν πάσχων καὶ μετὰ Διονυσοδώρου τοῦδε, φίλης κε-
φαλῆς,[o] οὐκ ἂν πάνυ ἀγανακτοίην. εἰπέ μοι, σφὼ[p] οὐχὶ
τὰ μὲν ἐπίστασθον τῶν ὄντων, τὰ δὲ οὐκ ἐπίστασθον; Ἥκι-
στά[q] γε, ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος. Πῶς λέγετον;
ἔφην ἐγώ· ἀλλ' οὐδὲν ἄρ'[r] ἐπίστασθον; Καὶ μάλα, ἦ δ'
I. 294. ὅς. Πάντ' ἄρ',[s] ἔφην ἐγώ,[t] ἐπίστασθον, ἐπειδή περ καὶ
ὁτιοῦν; Πάντ', ἔφη. καὶ σύ γε πρός, εἴ περ καὶ ἓν ἐπί-
στασαι, πάντ'[u] ἐπίστασαι. Ὦ Ζεῦ, ἔφην ἐγώ, ὡς θαυμα-
στὸν λέγεις, καὶ ἀγαθὸν μέγα πεφάνθαι.[v] μῶν καὶ οἱ ἄλ-
λοι πάντες[w] ἄνθρωποι πάντ' ἐπίστανται,[x] ἢ[y] οὐδέν; Οὐ
γὰρ δή που, ἔφη,[z] τὰ μὲν ἐπίστανται, τὰ[a] δ' οὐκ ἐπίσταν-

[f] ἅπαντ' Γ.—[g] ἐπεὶ 𝔄Θ: εἰ *ς.—[h] πάντ' Γ.—[i] ἆρ' Γ.—[j] τοῦτο 𝔣.—[k] ἔφη om Σ𝔣.—[l] οὔτε Θ.—[m] τοῦτο om pr Ξ.—[n] αὐτὸ om Cy.—[o] κεφαλῆς φίλης 𝔣.—[p] αφὼ 𝔣.—[q] ἥκιστά...ἐπίστασθον om 𝔯.—[r] ἄρ' Γ: ἀλλ' οὐδὲν ἄρ' om Θ.—[s] ἄρ' Γw.—[t] ἐγὼ θ om E.—[u] πάντ' Γ.—[v] πεφάνθαι 𝔄ΓΘΞΣBCuyϵ𝔣𝔯, πέφανται E: πέφανται ς.—[w] πάντες ἄνθρωποι om E.—[x] ἐπίστανται πάντα Γ.—[y] ἢ...ἐπίστανται om Σ.—[z] ἔφην 𝔄ΓΘΞBCEϵ𝔣𝔯.—[a] τὰ δ' οὐκ ἐπίστανται om w.—[b] πάντ' Γ, πάντ' ἐπὶ πάντα w.—

ἐζητοῦμεν] Malim ζητοῦμεν, quod expressit Ficinus. In verbis subseqq. vulgatam interpunctionem ita mutavi, ut hæc omnia ὡς δὴ τοῦτο ἀδύνατον etc. pendeant ab illis, ἆρα οὕτω λέγεις; *Fieri non posse, ut idem sit et non sit; si unum sciam, omnia me scire; neque enim posse me scientem simul atque inscium esse; si vero omnia sciam, illam quoque scientiam me tenere, hæccine sunt quæ dicis?* Liquidum est, repeti in his et accuratius explicari a Socrate præcedens Euthydemi sophisma, unde is deinde hæc infert: Αὐτὸς σαυτόν γε δὴ ἐξελέγχεις, *bene narras ipse, quibus refutere; s. ipse te redarguis.* Post εἴπερ etsi facile excidere potuit γὰρ, non tamen offendit hoc ἀσύνδετον, quum verba, εἴπερ ἓν ἐπίσταμαι, ἅπ. ἐπίσταμαι, epexegeseos causa addantur. HEIND.

φιλῆς κεφαλῆς] Articulo interjecto, quem et hic inserendum puto, Phædr. §. 22. συνεβάκχευσα μετὰ σοῦ, τῆς θείας κεφαλῆς. HEIND.

§. 53. ἔφην ἐγὼ] Abest ἐγὼ ab Ald. et Bas. 1. ROUTH.

ὡς θαυμαστὸν λέγεις· καὶ ἀγαθὸν μέγα πέφανται] Exorsum in his ab exclamandi vocula ὡς orationis tenorem moleste abrumpit additamentum hoc καὶ ἀγ. μέγα πέφανται. Optime contra omnia coire senties, si istud ὡς expunxeris, facile illud ex præcedente syllaba natum.—Deinde pro παρεκαλεσάμην Cod. Par. προυκαλεσάμην. HEIND.

καττύειν] *Fulmentas s. sola suppingere.* V. Casaub. ad Theophr. Char. iv. p. 58. HEIND.

ται, καὶ εἰσὶν ἅμα ἐπιστήμονές τε καὶ ἀνεπιστήμονες.
Ἀλλὰ τί; ἦν δ' ἐγώ. Πάντες, ἦ δ' ὅς, πάντ'[b] ἐπίσταν-
ται, εἴ περ καὶ ἕν. Ὦ πρὸς τῶν θεῶν, ἦν δ' ἐγώ, ὦ Διονυ-
σόδωρε· δῆλοι γάρ μοί ἐστον ἤδη ὅτι σπουδάζετον, καὶ
μόγις[c] ὑμᾶς προὐκαλεσάμην[d] σπουδάζειν· αὐτὼ τῷ ὄντι
πάντ'[e] ἐπίστασθον; οἷον τεκτονικὴν καὶ σκυτικήν; Πάνυ
γ', ἔφη. Ἦ καὶ νευρορραφεῖν[f] αὖ[g] δυνατώ ἐστον; Καὶ
ναὶ μὰ Δία καττύειν, ἔφη.[h] Ἦ καὶ τὰ τοιαῦτα, τοὺς
ἀστέρας ὁπόσοι εἰσί, καὶ τὴν ἄμμον; [§. 54.] Πάνυ γε,
ἦ δ' ὅς· εἶτ' οὐκ ἂν οἴει ὁμολογῆσαι ἡμᾶς; Καὶ ὁ Κτή-
σιππος ὑπολαβὼν Πρὸς Διός, ἔφη,[i] Διονυσόδωρε, τεκμήριόν
τί μοι τούτων ἐπιδείξατον τοιόνδε, ᾧ εἴσομαι ὅτι ἀληθῆ λέ- II. i. 438.
γετον.[j] Τί ἐπιδείξω; ἔφη. Οἶσθα Εὐθύδημον ὁπόσους
ὀδόντας ἔχει, καὶ ὁ[k] Εὐθύδημος ὁπόσους σύ; Οὐκ ἐξαρκεῖ[l]
σοι, ἔφη, ἀκοῦσαι ὅτι πάντ'[m] ἐπιστάμεθα; Μηδαμῶς, ἦ δ'
ὅς, ἀλλὰ τοῦτο ἔτι ἡμῖν μόνον εἴπατον καὶ ἐπιδείξατον, ὅτι
ἀληθῆ λέγετον. καὶ ἐὰν εἴπητον ὁπόσους ἑκάτερος ἔχει
ὑμῶν, καὶ φαίνησθε γνόντες ἡμῶν ἀριθμησάντων, ἤδη πεισό-
μεθα ὑμῖν καὶ τἆλλα. Ἡγουμένω οὖν σκώπτεσθαι οὐκ
ἠθελέτην,[n] ἀλλ' ὡμολογησάτην πάντα χρήματα ἐπίστασ-
θαι, καθ'[o] ἓν[p] ἕκαστον ἐρωτώμενοι ὑπὸ Κτησίππου. ὁ γὰρ
Κτήσιππος πάνυ ἀπαρακαλύπτως οὐδὲν ὅ τι οὐκ[q] ἠρώτα
τελευτῶν, καὶ τὰ[r] αἴσχιστα, εἰ[s] ἐπισταίσθην. τὼ δὲ ἀνδρει-
ότατα[t] ὁμόσε ἤτην[u] τοῖς ἐρωτήμασιν, ὁμολογοῦντες εἰδέ-

[c] libri μόλις.—[d] παρεκαλεσάμην Es.—[e] πάντ' Γ.—[f] νευρυραφεῖν 𝔄, νευρορραφαῖς f.
—[g] αὖ om 𝔄ΓΞΣBC𝔴𝔶𝔢f𝔯.—[h] ἔφη...ἄμ om Θ.—[i] ἔφη ὦ διον. f.—[j] λεγεις τον 𝔄Θ.
—[k] ὁ om 𝔴.—[l] ἐξαρκεῖν Γ.—[m] πάντ' Γ.—[n] ἐθελέτην e𝔯.—[o] καὶ καθ' f.—[p] ἓν om
𝔯.—[q] ὅτι καὶ οὐκ f.—[r] ὅτι Θ.—[s] εἰ pr omissum ante καὶ ponit rc Γ.—[t] ἀνδρειοτάτω

τοὺς ἀστέρας] Sc. *ἐπίστασθε* s. *ἴστε*, quod durius omissum. Heind.

§. 54. *εἶτ' οὐκ ἂν οἴει ὁμολογῆσαι ἡμᾶς;*] Ficinus: *Putas nos ista concedere, inquam?* ut legisse videatur, *Εἶτ' οὖν ἂν οἴει—ἡμᾶς*; Sed multo hæc aptius ab ipso Dionysodoro adduntur; *num tu nos non putas istud concessuros?* Heind.

ὁμόσε ἴτην] Rhunken. ad Tim. p. 191. nihil hac formula apud historicos Græcos esse notat frequentius, eamque fluxisse ab Homero Il. N. 337. *Ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη.* Ubi Eustathius: *Ὅρα ὅτι ἐκ τοῦ, ὁμόσε ἦλθεν ἡ μάχη, λαβόντες ἀρχὴν οἱ Ἀττικοί, ἐπὶ παρασκευῆς, ἢ καὶ ἄλλης ἐναντιωματικῆς, τὸ ὁμόσε τιθέασι, λέγοντες· ὁμόσε ἦλθεν ὁ δεῖνα τῷ δεῖνι, τουτέστιν, ἀντικατέστη ὡς εἰς πόλεμον· καί, ὁμόσε ἦλθεν τοῖς λόγοις, ἢ ταῖς ἀντιλογίαις.* p. 908. Bas. Routh.

ὁμόσε ᾔτην] Cod. Par. et Edd. vett. *εἴτην*, unde Stephanus *ἴτην* edidit, poetarum veterum formam Platoni obtrudens. Atticum *ᾔτην* restituit Buttmannus. Formulam *ὁμόσε ἰέναι* notum est de quavis *παρασκευῇ πολεμικῇ καὶ ἐναντιωματικῇ*

ναι, ὥς περ οἱ κάπροι οἱ πρὸς τὴν πληγὴν ὁμόσε ὠθούμενοι.
[§. 55.] Ὥστ' ἔγωγε καὶ αὐτός, ὦ Κρίτων, ὑπ' ἀπιστίας[v]
ἠναγκάσθην τελευτῶν ἐρέσθαι τὸν Εὐθύδημον εἰ καὶ ὀρχεῖσ-
θαι[w] ἐπίσταιτο ὁ Διονυσόδωρος. Ὁ δέ, Πάνυ, ἔφη. Οὐ
δή που, ἦν δ' ἐγώ, καὶ ἐς μαχαίρας γε[x] κυβιστᾷν καὶ ἐπὶ
τροχοῦ δινεῖσθαι τηλικοῦτος ὤν· οὕτω πόῤῥω σοφίας ἥκει.[y]
II. i. 439. Οὐδέν, ἔφη, ὅ τι οὔ. Πότερον δέ, ἦν δ' ἐγώ, πάντα νῦν μό-
νον ἐπίστασθον[z] ἢ καὶ ἀεί; Καὶ ἀεί, ἔφη. Καὶ ὅτε παι-
δία ἦστον[a] καὶ εὐθὺς γενόμενοι ἠπίστασθε; Πάντ',[b] ἐφάτην
I. 295. ἅμα ἀμφοτέρω. Καὶ ἡμῖν μὲν ἄπιστον ἐδόκει[c] τὸ πρᾶγ-
μα εἶναι.[d] Ὁ δ' Εὐθύδημος, Ἀπιστεῖς, ἔφη, ὦ Σώκρατες;

ɛ.—[u] ἴτην ɛς, ceteri εἴτην.—[v] ὑπαπι as pr 𝔄, ὑπ' ἀπορίας corr.—[w] ἐρέσθαι Θ.—[x] γε om E.—[y] ἥκεις codices omnes.—[z] ἐπίσταισθον ɛ.—[a] ἦτον corr Γ, ἤτην ɛ: ἤστην *ς.—[b] πάντ' Γ.—[c] ἐδόκει ἄπιστον f.—[d] εἶναι τὸ πρᾶγμα Eς.—[e] γ' om e.—

ab Atticis usurpari. Heind.

οὐ δή που κ. τ. λ.] *Non equidem (inquam) et in gladios etc. Quum tam provecta sit ætate, eone sapientiæ pervenit?* Sic in Gr. *τηλικοῦτος ὢν, οὕτω πόῤῥω σοφίας ἥκει;* Steph.

§. 55. *ἐς μαχαίρας γε κυβιστᾷν*] Xenoph. Sympos. ii. 11. *μετὰ δὲ τοῦτο κύκλος εἰσηνέχθη περίμεστος ξιφῶν ὀρθῶν. Εἰς οὖν ταῦτα ἡ ὀρχηστρὶς ἐκυβίστα τε καὶ ἐξεκυβίστα ὑπὲρ αὐτῶν, ὥστε οἱ μὲν θεώμενοι ἐφοβοῦντο μή τι πάθοι, ἡ δὲ θαῤῥούντως τε καὶ ἀσφαλῶς ταῦτα διεπράττετο.* Locum huc attulit Routhius. Illud autem *ἐπὶ τροχοῦ δινεῖσθαι* perperam idem vir doctus interpretatur *in orbem* s. *orbis instar circumagi*, male huc trahens illa ejusdem Xenoph. Sympos. l. l. §. 22. *ἡ παῖς εἰς τοὔπισθεν καμπτομένη τροχοὺς ἐμιμεῖτο.* Nihil sonare potest hoc *ἐπὶ τροχοῦ* nisi *super rotam* s. *in rota.* Heind.

τηλικοῦτος ὢν] Non dubitavi cum Heusdio inserere *ἢ*: *ἥκει* autem pro *ἥκεις*, quod est in Cod. Par. et Edd. vett. recte substituit Stephanus, adstipulante Ficino. Videlicet aut *ἥκει* h. l. scribi debuit aut *ἥκετον.* Nisi forte in præcedentibus illis, *ἔρεσθαι τὸν Εὐθύδημον εἰ καὶ ὀρχεῖσθαι ἐπίσταιτο ὁ Διονυσόδωρος*, fraudis aliquid latet, in quibus equidem exspectabam *εἰ—ἐπίσταιτο αὐτός τε καὶ ὁ Διονυσόδωρος*, vel, omisso hoc *ὁ Διονυσόδωρος, εἰ καὶ ὀρχεῖσθαι ἐπίσταιτο* sc. *ὁ Εὐθύδημος.* Heind.

πόῤῥω σοφίας ἥκειν] Scil. *ἐλαύνειν.* Dictionem hanc de qua conf. nostr. ad Lysid. §. 20. illustravit ad h. l. Heusdius citatis Cratyl. p. 410. D. Euthyphr. p. 4. A. et Gorg. p. 486. A. Heind.

ἀπιστεῖς, ἔφη, ὦ Σώκρ.;] Interrogandi his signum apposui. Quæ adduntur, *Πλήν γ' ὅτι, ἦν δ' ἐγὼ, εἰκὸς ὑμ. ἐστι σοφοὺς εἶναι*, ea Socratem subjicere liquet, ut hanc suam de ipsorum scientia dubitationem atque incredulitatem mitiget quasi et restringat. Sed quam frigidum hoc est languidumque: *nisi quod probabile est, vos esse sapientes!* Cur, quæso, tam dubitanter h. l. de illorum sapientia loquitur Socrates, qui eam ubivis fere per hunc sermonem exaggerat, mox eos appellat §. 59. *ἀνθρώπους εἰς σοφίαν τερατώδεις?* Sane hujusmodi potius sententiam hic aliquis requirat: *πλήν γ' ὅτι, ἦν δ' ἐγὼ, ὑμεῖς ἐστε σοφοὶ, sunt ista mihi ἄπιστα præter id unum, vos esse sapientes.* An igitur pro *εἶναι* reponendum *εἰδέναι*, ut hic exeat sensus: *Mihi quidem istud videtur ἄπιστον. Sed tamen consentaneum est, vos viros sapientes id scire* (ut facile hanc mihi dubitationem eximere possitis)? De usu hoc *ἐπανορθωτικῷ* particularum *πλήν γ' ὅτι* vid. Hoogev. Doctr. P. G. xliv. 27. Sed ne hæc quidem ratio satisfacit, vereorque ne graviorem locus labem susceperit, quum voculas *ἦν δὲ*, quibus caret Cod. Par. cum Ald. et Bas. utraque, de Cornarii correctione in contextum induxerit Stephanus. His igitur a melioribus libris medelam expectandam arbitror. Heind.

Πλήν γ'[e] ὅτι, * ἦν * δ'[f] ἐγώ, εἰκὸς ὑμᾶς ἐστὶ σοφοὺς εἶναι. Ἀλλ' ἤν, ἔφη, ἐθελήσῃς μοι[g] ἀποκρίνεσθαι, ἐγὼ ἐπιδείξω[h] καὶ σὲ ταῦτα τὰ θαυμαστὰ ὁμολογοῦντα.[i] Ἀλλὰ μήν, ἦν δ' ἐγώ, ἥδιστα ταῦτ'[j] ἐξελέγχομαι. εἰ γάρ τοι[k] λέληθα ἐμαυτὸν σοφὸς ὤν, σὺ[l] δὲ τοῦτ'[m] ἐπιδείξεις ὡς πάντ'[n] ἐπίσταμαι[o] καὶ ἀεί, τί μεῖζον ἕρμαιον[p] αὐτοῦ ἂν[q] εὕροιμι ἐν παντὶ τῷ βίῳ; Ἀποκρίνου δή, ἔφη. [§. 56.] Ὡς ἀποκρινουμένου[r] ἐρώτα. Ἆρ' οὖν, ἔφη, ὦ Σώκρατες, ἐπιστήμων[s] του εἶ ἢ οὔ; Ἔγωγε. Πότερον οὖν ᾧ ἐπιστήμων εἶ,[t] τούτῳ καὶ ἐπίστασαι,[u] ἢ ἄλλῳ τῳ; Ὧι ἐπιστήμων. οἶμαι γάρ σε τὴν[v] ψυχὴν λέγειν. ἢ οὐ τοῦτο λέγεις; Οὐκ αἰσχύνει, ἔφη,[w] ὦ Σώκρατες; ἐρωτώμενος ἀντερωτᾷς;[x] Εἶεν, ἦν δ' ἐγώ· ἀλλὰ πῶς ποιῶ; οὕτω γὰρ ποιήσω ὅπως ἂν σὺ κελεύῃς. ὅταν μὴ εἰδῶ ὅ τι ἐρωτᾷς, κελεύεις με[y] ὅμως[z] ἀπο-

[f] ἦν δ' om omnes.—[g] ἀλλ' ἐὰν ἐμοὶ ἐθέλῃς ΓΞΣΒΕ et corr C, ἀλλ' ἐὰν ἐμοὶ ἐθελήσῃς pr C, ἀλλὰ μὴν ἐὰν ἐμοὶ ἐθέλῃς wyϱ, ἀλλὰ μὴν εἰ ἐθελήσαις f. ἐθελήσαις etiam 𝔄.—[h] ἀπιδείξω f.—[i] ὁμολογοῦντα om 𝔄Θ.—[j] ταῦτ' Γ.—[k] τι Ξy.—[l] σὺ cum ς corr Γ: οὐ (σὺ) 𝔄ΘΣBCwyefr, οὐ E.—[m] τοῦτ' Γ.—[n] πάντ' Γ.—[o] ἐπίστασαι ϱ.—[p] ἑρμαῖον ΓΣBC: post αὐτοῦ ponit f.—[q] ἂν om f.—[r] ἀποκρινομένου ΣBCwyef et pr Γ.—[s] ἐπιστήμων...σώκρατες om Σ.—[t] ἐν E.—[u] ἐπίστασθε ϱ.—[v] τὴν add 𝔄ΓΘBCwyefr.—[w] ἔφη post σώκρατες ponit Γ: ἐμὲ r.—[x] ἀντερωτᾶν Ξϱς.—[y] δὲ r.—[z] ὅπως (μ) Θ.—

ἀλλ' ἦν, ἔφη, ἐθελήσῃς μοι] Cod. Par. ἀλλὰ μὲν (imo μὴν) ἐὰν ἐμοὶ ἐθελ. sed vulgatum ibi in marg. eadem manus adscripsit. Heind.

εἰ γάρ τοι λέληθα] Corrupta hæc invenisse Ficinum, versio ejus ostendit. Videtur enim legisse τὶ pro τοὶ, et οὐδὲ pro σὺ δὲ, et τί γὰρ μεῖζον pro τί μεῖζον. Et sane οὐδὲ Cod. Par. Routh.

§. 56. οὐκ αἰσχύνῃ—ἐρωτώμενος ἀντερωτᾷν;] Huc pertinet Auli Gellii locus. 'Legem esse aiunt disciplinæ dialecticæ, si de quapiam re quæratur disputeturque, atque ibi quid rogare, ut respondeas; tum, ne amplius quid dicas, quam id solum, quod es rogatus, aut aias aut neges, eamque legem qui non servent, et aut plus, aut aliter, quam sunt rogati, respondeant, existimantur rudes indoctique esse, disputandique morem atque rationem non tenere.' Noct. Att. xvi. 2. Routh.

ἀντερωτᾷν] Cod. Par. ἀνερωτᾷς; vitiose. Heind.

οὕτω γὰρ ποιήσω ὅπως ἂν σὺ κελεύῃς] Hæc, quibus repugnare videntur illa Socratis mox seqq. Οὐ τοίνυν μὰ Δία ἀποκρινοῦμαι πρότερον πρὶν ἂν πύθωμαι, Heusdius ἐρωτηματικῶς accipienda judicavit hoc sensu: *Sed quid faciam? siccine vero faciam utcunque tu jubeas? Jubes me autem, si non assequor quid interroges, ad illud tamen respondere, nec mea ipsum vice interrogare.* Quam rationem ego amplecterer, præsertim quum inferius demum §. 57. init. Socrates omnino se Euthydemo obtemperaturum promittat, nisi obstaret futurum ποιήσω, quod vix poni potuerat in hujusmodi interrogatione loco præsentis ποιῶ. Adde quod tum male abesset vocula δὲ post ὅταν, omninoque sic potius hæc Plato fuisset additurus: κελεύεις δέ με, ὅταν etc. Itaque sequentibus potius hisce, ὅταν μὴ εἰδῶ—ἐπανέρεσθαι, interrogandi signum apposui, ut in universum quidem promittat Euthydemo Socrates, facturum se utcunque ille jubeat, sed statim ex eo quærat, an tam absurda ab ipso postulet. Nimirum hæc, οὕτω γὰρ ποιήσω, ὅπως ἂν

κρίνεσθαι, ἀλλὰ μὴ[a] ἐπανερέσθαι.[b] Ὑπολαμβάνεις γὰρ δή πού τι, ἔφη, ὃ λέγω;[c] Ἔγωγε, ἦν δ' ἐγώ. Πρὸς τοῦτο
II. i. 440. τοίνυν ἀποκρίνου ὃ ὑπολαμβάνεις. Τί οὖν, ἔφην, ἂν σὺ μὲν ἄλλῃ ἐρωτᾷς[d] διανοούμενος, ἐγὼ δὲ ἄλλῃ ὑπολάβω,[e] ἔπειτα πρὸς τοῦτ'[f] ἀποκρίνωμαι,[g] ἐξαρκεῖ[h] σοι ἐὰν μηδὲν[i] πρὸς ἔπος[j] ἀποκρίνωμαι; Ἔμοιγε, ἦ δ' ὅς· οὐ μέντοι σοί γε, ὡς ἐγῷμαι. Οὐ τοίνυν μὰ Δί'[k] ἀποκρινοῦμαι, ἦν δ' ἐγώ, πρότερον πρὶν ἂν πύθωμαι. Οὐκ ἀποκρινεῖ,[l] ἔφη, πρὸς ἃ ἂν ἀεὶ ὑπολαμβάνῃς,[m] ὅτι ἔχων φλυαρεῖς καὶ ἀρχαιότερος εἶ[n] τοῦ δέοντος. Κἀγὼ ἔγνων αὐτὸν ὅτι μοι χαλεπαίνοι[o] διαστέλλοντι τὰ λεγόμενα, βουλόμενός με θηρεῦσαι τὰ ὀνόματα περιστήσας. ἀνεμνήσθην οὖν[p] τοῦ Κόννου,[q] ὅτι μοι κἀκεῖνος[r] χαλεπαίνει ἑκάστοτε, ὅταν αὐτῷ μὴ ὑπείκω, ἔπειτά μου ἧττον ἐπιμελεῖται[s] ὡς ἀμαθοῦς ὄντος. [§. 57.] Ἐπειδὴ[t] οὖν διενοούμην[u] καὶ παρὰ τούτοιν[v] φοιτᾶν, ᾤήθην δεῖν ὑπείκειν, μή με σκαιὸν ἡγησάμενοι[w] φοιτητὴν μὴ προσδέχοιντο.[x] εἶπον οὖν Ἀλλ' εἰ δοκεῖ σοι, Εὐθύ-

[a] μὴν 𝔄ΘΕyɼ.—[b] ἐπανέρχεσθαι 𝔣.—[c] ὃ ἐγὼ λέγω Γ.—[d] ἐρωτᾷς ἄλλῃ ɼ.—[e] ὑπολαμβάνω u𝔣ɼ.—[f] τοῦτ' Γ.—[g] ἀποκρίνομαι ɼ.—[h] ἐξαρκεῖς (omisso σοι) ɼ.—[i] μηδὲ ɼ—[j] ἔπος om 𝔣.—[k] δί' Γ.—[l] ἀποκρίνου ɼ, οὐκ ἀποκρίνῃ ς.—[m] ὑπολαμβάνοις Eɼ ὑπολαμβάνεις 𝔄.—[n] ἦ Ξ.—[o] χαλεπαίνει ɼ.—[p] γὰρ corr Γ.—[q] κ ante lacunam ɼ.—[r] κἀκεῖνος om ɼ.—[s] ἐπιμελῆται Ξ.—[t] ἐπεὶ δὲ 𝔄Θ, ἐπεὶ ɼ.—[u] διενοήμην Θ, διενενοήμην 𝔄ɼ.—[v] τοῦτον ɼ.—[w] ἡγησάμενος 𝔄ΓΣBCEu·y𝔢𝔣.—[x] προσδέχοιτο 𝔄ΓΣBCEu·y𝔢

σὺ κελεύῃς, ita dicit, quasi nondum liquido intelligat, quid tandem ipsum facere jubeat Euthydemus. Heind.

ὑπολαμβάνεις γὰρ δήπου] *Interpretaris aliquo modo, quod dico*, ita ut vel hoc vel illud me dicere existimes. Heind.

ἐγὼ δὲ ἄλλῃ ὑπολάβω, ἔπειτα—ἀποκρίνωμαι] Ut paullo post—ὅτι μοι κἀκεῖνος χαλεπαίνει ἑκαστότε—ἔπειτά μου ἧττον ἐπιμελεῖται. Phædr. §. 63. οὔτε ὅσαι βραχέως εἶδον τότε τἀκεῖ, οὔθ' αἱ δεῦρο πεσοῦσαι ἐδυστύχησαν, εἶτα ὑπό τινων ὁμιλιῶν ἐπὶ τὸ ἄδικον τραπόμεναι λήθην ὧν τότε εἶδον ἱερῶν ἔσχον. Sic ibi legendum. Conf. not. ad Cratyl. §. 60. Frustra igitur conjecit hic aliquis ὑπολαβών. Heind.

μηδὲν πρὸς ἔπος] Lucian. Philopseud. init. Οὐδὲν πρὸς ἔπος ταῦτα, φασίν, οὐδὲ περὶ τούτων ἠρόμην, ubi Schol. ἀντὶ τοῦ οὐδὲν πρὸς τὸν λόγον ὃν ἠρόμην. Heind.

ὡς ἐγῷμαι] Abest ὡς ab Ald. Bas. 1. Culpat hunc respondendi modum apud Gorgiam Socrates, quum videlicet obscure quis animo percipiat interrogationem. Attende quoque Aristoteli hæc docenti: Ἃ δὲ συνυπονοοῦντες τίθεμεν οἷον ὅσα μὴ σαφῶς, ἀλλὰ κολλοβῶς ἐρωτᾶται, παρὰ τοῦτο συμβαίνει ὁ ἔλεγχος Περὶ Σοφιστ. Ἐλέγχ. c. 17. Routh.

ἔμοιγε, ἦ δ' ὅς, οὐ μέντοι σοίγε, ὡς ἐγῷμαι] Mira sententia. Sibi igitur sati esse ait Euthydemus, si Socrates nihi ad rem respondeat, Socrati non item Heind.

ὑπολαμβάνῃς] ὑπολαμβάνοις Ald. Bas. Recte reponebat tacite Steph. ὑπολαμβάνῃς: et sic Cod. Par. Routh.

ὅτι ἔχων φλυαρεῖς καὶ ἀρχαιότερος] Profert hæc Schol. ad Aristoph. Ran 204. οὐ μὴ φλυαρήσεις ἔχων. De loquendi hac formula cf. Gorg. §. 113. e de v. ἀρχαῖος, *stolidus, delirus*, vid Spanhem. ad Aristoph. Plut. 323.—τοῦ Κόννου. Conf. §. 4. Heind.

δημε,[y] οὕτω ποιεῖν,[z] ποιητέον· σὺ γὰρ πάντως που κάλλιον[a] ἐπίστασαι διαλέγεσθαι ἢ ἐγώ, τέχνην ἔχων ἰδιώτου ἀνθρώπου. ἐρώτα οὖν πάλιν ἐξ ἀρχῆς. Ἀποκρίνου δή, ἔφη, πάλιν, πότερον ἐπίστασαί τῳ ἃ[b] ἐπίστασαι, ἢ οὔ; Ἔγωγε, ἔφην, τῇ γε ψυχῇ. Οὗτος αὖ,[c] ἔφη, προσαποκρίνεται τοῖς I. 296.
ἐρωτωμένοις. οὐ γὰρ ἔγωγε ἐρωτῶ ὅτῳ, ἀλλ' εἰ ἐπίστασαί II. i. 441.

fr.—[y] σοι ὦ εὐθ. f.—[z] ποιεῖν supra posuit, transverso ductu deletum, Γ.—[a] καλλιστ' ἂν r.—[b] ἃ...τῳ om Σwe.—[c] ἂν r.—[d] οὖν Ξ, ἂν e.—[e] ὑπ'.Γ.—[f] ᾧ corr Γ.—

§. 57. *τοῦτον—ἡγησάμενος—προσδέχοιτο*] Ita Cod. Par. cum Ald. Bas. 1. et Ficino ex parte, qui vertit: *horum doctrinæ me tradere—ne quis eorum me ut ineptum et indocilem respuat.* Hanc autem scripturam vulgatæ, quam e Bas. 2. recepit Stephanus, *παρὰ τούτοιν—ἡγησάμενοι — προσδέχοιντο,* propterea prætuli, quod *παρὰ* h. l. quarto casu jungi debebat, ut §. 76. *σκόπει οὖν, ὅπως συμφοιτήσεις παρὰ τὼ ἄνδρε,* ut in altera illa opus sit corrigere *παρὰ τούτω.* Verba *φοιτητὴν μὴ* absunt a Bas. 2. Heind.

τέχνην ἔχων, ἰδιώτου ἀνθρώπου] Legitur etiam, *τέχνην ἔχων σὺ μὲν, ἐγὼ δ' ἰδιώτης ὢν ἄνθρωπος.* In altera lectione repetitur *κάλλιον ἐπίστασαι,* hoc modo, *τέχνην ἔχων, κάλλιον ἐπίστασαι ἐμοῦ ἰδιώτου ἀνθρώπου.* Steph. Harum forsan lectionum priorem ex Ficini versione hauriebat Stephanus, quæ sic se habet: *cum tu artem hanc teneas, ego vero sim rudis:* alteram vero partim e Cornarii conjectura, qui legit, *τέχνην ἔχων, ἐμοῦ ὄντος ἰδιώτου ἀνθ.* nisi hæc posterior in margine alicujus libri expositionis causa posita fuerit; nam mihi quidem sana videtur recepta lectio, et subaudiendum esse ex antecedentibus *κάλλιον ἐπίστασαι. ἰδιώτον* mendose pro *ἰδιώτου* Ald. Bass. Vox interim *ἰδιώτης,* notante Rhunkenio ad Longinum, §. 35. est *expers artis,* opponiturque *artifici.* Exemplis ab eo congestis addas Theæt. p. 154. D. Sophist. p. 221. C. Dionys. Hal. *περὶ Συνθέσεως,* §. 26. Routh.

ἰδιώτου ἀνθρώπου] Non opus est Cornarii conjectura, qui ante *ἰδιώτου ἀνθρ.* inserendum censuit *ἐμοῦ ὄντος.* Dictio hæc declaranda est e grata illa orationis negligentia, quam in Platone subinde deprehendere licet. Genitivus *ἰδιώτου ἀνθρ.* pendet a *μοῦ,* quod scripsisse se putabat auctor, sed pro quo revera scripserat *ἢ ἐγώ.* Ejusdem est rationis Legg. viii. p. 831. D. *μηδὲν δυσχεραίνοντα, ἐὰν μόνον ἔχῃ δύναμιν καθάπερ θηρίῳ τοῦ φαγεῖν παντοδαπὰ καὶ πιεῖν ὡσαύτως.* Ubi *θηρίῳ* nullo modo declarari possit, nisi referendum illud esse animadvertas ad *αὐτῷ ᾗ δύναμις,* pro quo scripserat Plato *ἔχῃ δύναμιν.* Ad hanc forte anacoluthiam referendum est etiam Sympos. p. 203. A. *Θεὸς δὲ ἀνθρώπῳ οὐ μίγνυται, ἀλλὰ διὰ τούτου πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώπους καὶ ἐγρηγορόσι καὶ καθεύδουσι·* ut dativus *καὶ ἐγρηγορόσι καὶ καθεύδουσι* pendeat ab *ἀνθρώποις πρὸς θεοὺς,* pro quo scripserat *θεοῖς πρὸς ἀνθρ.* Sed de hujus loci ratione nolim pronunciare. Forte ibi legendum est: *ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώπους, καὶ ἀνθρώποις πρὸς θεοὺς, καὶ ἐγρηγορόσι καὶ καθεύδουσι.* Sic paulo ante dixerat: *ἑρμηνεῦον καὶ διαπορθμεῦον θεοῖς τὰ παρ' ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν.* Locum hunc respexit Plutarch. de Orac. Def. p. 416. E. Heusd.

ἰδιώτου ἀνθρώπου] Genitivum hunc *ἰδιώτου ἀνθρώπου* ita positum apparet, quasi loco verborum *ἢ ἐγὼ* præcessisset *ἐμοῦ,* in quo gratam quandam orationis negligentiam agnoscit Heusdius. Mihi tamen longe gratius foret illud *ἐμοῦ,* quoniam, ut verba hæc sunt posita, hoc *ἐγὼ* prima quidem specie ad subsequens *ἔχων* pertinere videtur, genitivus autem *ἰδιώτου ἀνθρώπου* pendere a præcedente *τέχνην.* Hoc igitur *ἢ ἐγὼ,* miror, cur non potius in *ἐμοῦ* mutare quam post *ἔχων* inserere *ἐμοῦ ὄντος* maluerit Cornarius, quanquam hic nihil omnino movendum videtur. Quæ autem ad h. l. tanquam ejusdem rationis attulit Heusdius de Legg. viii. p. 831. D. *μηδὲν δυσχεραίνοντα, ἐὰν μόνον ἔχῃ δύναμιν καθάπερ θηρίῳ τοῦ φαγεῖν παντοδαπὰ καὶ πιεῖν ὡσαύτως,* in his utique scribendum opinor *θήριον.* Heind.

οὗτος αὖ—προσαποκρίνεται] Conf. not. ad Gorg. §. 97. Heind.

τῳ. Πλέον αὖ,[d] ἔφην ἐγώ, τοῦ δέοντος ἀπεκρινάμην ὑπ'[e] ἀπαιδευσίας. ἀλλὰ συγγίγνωσκέ μοι· ἀποκρινοῦμαι γὰρ ἤδη ἁπλῶς ὅτι ἐπίσταμαί τῳ[f] ἀεὶ[g] ἃ[h] ἐπίσταμαι. Πότερον, ἦ δ' ὅς, τῷ αὐτῷ τούτῳ[i] γ'[j] ἀεί, ἢ ἔστι μὲν ὅτε τούτῳ, ἔστι δὲ[k] ὅτε[l] ἑτέρῳ; Ἀεί, ὅταν ἐπιστῶμαι,[m] ἦν δ' ἐγώ, τούτῳ. Οὐκ αὖ,[n] ἔφη, παύσει[o] παραφθεγγόμενος; Ἀλλ' ὅπως μή τι ἡμᾶς σφήλῃ[p] τὸ ἀεὶ τοῦτο. Οὔκουν ἡμᾶς γε,[q] ἔφη, ἀλλ' εἴ περ, σέ. ἀλλ' ἀποκρίνου, ἦ[r] ἀεὶ τούτῳ ἐπίστασαι; Ἀεί, ἦν δ' ἐγώ, ἐπειδὴ δεῖ ἀφελεῖν τὸ ὅταν. [§. 58.] Οὐκοῦν ἀεὶ μὲν τούτῳ ἐπίστασαι· ἀεὶ[s] δ' ἐπιστάμενος πότερον τὰ μὲν τούτῳ[t] ἐπίστασαι ᾧ ἐπίστασαι, τὰ[u] δ' ἄλλῳ, ἢ τούτῳ πάντα; Τούτῳ, ἔφην ἐγώ, ἅπαντα, ἅ γ' ἐπίσταμαι. Τοῦτ' ἐκεῖνο, ἔφη· ἥκει[v] τὸ αὐτὸ παράφθεγμα. Ἀλλ' ἀφαιρῶ, ἔφην ἐγώ, τὸ ἅ γ' ἐπίσταμαι. Ἀλλὰ μηδὲ ἕν, ἔφη, ἀφέλῃς· οὐδὲν γάρ σου δέομαι. ἀλλά μοι ἀπόκριναι· δύναιο ἂν ἅπαντ'[w] ἐπίστασθαι, εἰ μὴ πάντ' ἐπίσταιο; Τέρας γὰρ ἂν εἴη,[x] ἦν δ' ἐγώ. Καὶ ὃς εἶπε, Προστίθει τοίνυν ἤδη ὅ τι βούλει· ἅπαντα γὰρ ὁμολογεῖς ἐπίστασθαι. Ἔοικα, ἔφην ἐγώ, ἐπειδή πέρ γε οὐδεμίαν

[g] ἀεὶ om 𝔯.—[h] ἄρα 𝔣, om 𝔄ΓΘΕ.—[i] τοῦτό 𝔢.—[j] τε 𝔣.—[k] δ' 𝔴.—[l] ὅτε om 𝔣.—[m] ἐπιστῶμαι ΓΕ𝔲𝔴𝔶𝔢𝔯, ἐπίσταμαι 𝔣 : ἐπίστωμαι *ς.—[n] οὐκ ἂν pr Θ, οὐκοῦν 𝔢, οὔκουν 𝔣.—[o] lacuna in 𝔯.—[p] σφήλῃ Γ𝔣𝔯 : σφάλῃ *ς.—[q] γ' 𝔴𝔶𝔢𝔯.—[r] ἢ Ε𝔯, ἡ 𝔄ΘΞΣC𝔲𝔴𝔶𝔢, ἤ Γ : εἰ Bς.—[s] ἀεὶ...ἐπίστασαι om Θ et (?) 𝔄.—[t] τοῦτο 𝔣.—[u] ἃ 𝔄Θ.—[v] ἥκει om 𝔯.—[w] ἅπαντ'...πάντ' Γ.—[x] εἴην 𝔣.—[y] ἃ om Ε.—[z] τούτω...ἐπίστασθαι om Σ.—

ἀλλ' ὅπως μή τι κ. τ. λ.] *Sed vide ne nos illud semper fallat. Nos quidem nequaquam (inquit), sed, si fallat, te certe fallet.* Potest tamen fortassis et aliter exponi hoc ἐλλειπτικὸν loquendi genus. Verbum item σφάλλειν reddi etiam, *subvertere*. Steph.

ὅπως μή τι ἡμᾶς σφαλεῖ] Sic pro σφάλῃ sermonis lege rescripsi. Activæ enim formæ in verbo σφάλλειν aoristus ἔσφηλα frequens est; alterius aoristi ἔσφαλον cum subjunctivo suo σφαλῶ vix ullum usquam exemplum indubitatum reperias. Heind.

οὔκουν ἡμᾶς γε, ἔφη, ἀλλ' εἴπερ, σὲ] Ellipsis hujus exemplum est in l. vi. de Rep. p. 497. E. Οὐ τὸ μὴ βούλεσθαι, ἦν δ' ἐγὼ, ἀλλ' εἴπερ, τὸ μὴ δύνασθαι, διακωλύσει. Routh.

ἀλλ' εἴπερ, σὲ] Ad εἴπερ repetendum σφαλεῖ, de qua ellipsi diximus ad Parmenid. §. 47. Heind.

ἀλλ' ἀποκρίνου· ἦ ἀεὶ] Vulgo non male, sed sine librorum suffragiis εἰ pro ἦ. Hoc præstant Cod. Par. et Ald. cum Bas. utraque. Heind.

§. 58. τοῦτ' ἐκεῖνο, ἔφη· ἥκει] *Hoc illud est; rediit idem illud παράφθεγμα!* De formula hac τοῦτ' ἐκεῖνο dixi ad Phædr. §. 40. Heind.

οὐδὲν γάρ σου δέομαι] Similiter de Rep. i. p. 341. B. Πρὸς ταῦτα κακούργει καὶ συκοφάντει, εἴ τι δύνασαι· οὐδέν σου παρίεμαι. Heind.

ὁμολογεῖς] Spectat hoc ὁμολογεῖς ad proxime prægressam Socratis responsionem τέρας γὰρ ἂν εἴη, ut nolim cum amico corrigere ὡμολόγεις. Mox verba πάντα δὲ ἐπίσταμαι si deessent, nemo sane requireret, neque proficias quidquam δὲ hoc mutando in δή. De sophismate hoc conf. Aristot. de Soph. El. c. xvii. 2. 3. Heind.

ἔχει δύναμιν τὸ ἃ[y] ἐπίσταμαι, πάντα δὲ ἐπίσταμαι. Οὐκ-οῦν καὶ ἀεὶ ὡμολόγηκας ἐπίστασθαι τούτῳ[z] ᾧ ἐπίστασαι, II. i. 442.
εἴτε ὅταν ἐπιστῇ[a] εἴτε ὅπως βούλει· ἀεὶ γὰρ ὡμολόγηκας ἐπίστασθαι καὶ ἅμα πάντα. δῆλον οὖν ὅτι καὶ παῖς ὢν ἠπίστω, καὶ ὅτ' ἐγίγνου, καὶ ὅτ' ἐφύου· καὶ πρὶν αὐτὸς γενέσθαι, καὶ πρὶν οὐρανὸν καὶ γῆν γενέσθαι, ἠπίστω ἅπαντα, εἴ περ ἀεὶ ἐπίστασαι.[b] καὶ ναὶ μὰ Δί',[c] ἔφη,[d] αὐτὸς ἀεὶ ἐπιστήσει[e] καὶ ἅπαντα,[f] ἂν ἐγὼ βούλωμαι. [§. 59.] Ἀλλὰ βουληθείης, ἦν δ' ἐγώ, ὦ πολυτίμητε[g] Εὐθύδημε, εἰ δὴ τῷ ὄντι ἀληθῆ λέγεις. ἀλλ' οὔ σοι πάνυ πιστεύω ἱκανῷ εἶναι, εἰ μή σοι συμβουληθείη[h] ὁ ἀδελφός σου οὑτοσὶ Διονυσόδωρος·[i] οὕτω δὲ[j] τάχ'[k] ἄν. εἴπετον δέ μοι, ἦν δ' ἐγώ, —τὰ μὲν[l] γὰρ ἄλλα οὐκ ἔχω ὑμῖν πῶς ἀμφισβητοίην, οὕτως εἰς σοφίαν τερατώδεσιν ἀνθρώποις, ὅπως οὐ πάντα ἐγὼ[m] ἐπίσταμαι, ἐπειδή περ[n] ὑμεῖς φατέ· τὰ δὲ τοιάδε

ἐπιστῇ f, ἐπιστήμη r: ἐπίστη *s.—[b] ἀεὶ καὶ ἐπίστασαι f.—[c] δί Γ.—[d] ἔφη om f. —[e] ἐπιστήσῃ ἀεὶ r.—[f] ἅπαντ' Γ.—[g] πολύτιμε Εs.—[h] βουληθείη ΨΘCy.—[i] οὑτοσὶ διονυσόδωρος f.—[j] δὲ om ΨΘ.—[k] τάχ' Γ.—[l] μὲν om r.—[m] ἐγὼ om Ψ, ante οὐ

τὸ, ἃ ἐπίσταμαι] Deest ἃ in Ald. et Bas. 1. mox ibid. βούλομαι. Routh.

γενέσθαι—γενέσθαι] Posterius hoc γενέσθαι, quod abesse poterat, commode tamen in hoc dicentis affectu iteratur. Heind.

καὶ ναὶ μὰ Δία, ἔφη, αὐτὸς] An hoc αὐτὸς pro σύ γε positum est (vid. Heusd. Spec. Crit. in Plat. p. 96.) et cum vi quadam illatum, velut σύ γε in Gorg. §. 75. Ἐασόν τινα σοῦ καταφρονῆσαι, καὶ καὶ μὰ Δία, σύγε θαῤῥῶν πατάξαι τὴν ἄτιμον ταύτην πληγήν? Nam si αὐτὸς per oppositionem quandam adhiberet Euthydemus, quemadmodum supra dixit Socrati §. 55. ἀλλ' ἢν ἐθελήσῃς μοι ἀποκρίνεσθαι, ἐγὼ ἐπιδείξω καὶ σὲ ταῦτα τὰ θαυμαστὰ (τὸ ἀεί σε πάντα ἐπίστασθαι) ὁμολογοῦντα, dicere debebat καὶ αὐτός. Platonem scripsisse suspicor: εὐθὺς ἀεὶ σὺ ἐπιστήσῃ etc. Heind.

§. 59. ὦ πολύτιμε] 'γρ. ὦ πολυτίμητε.' Steph. Extat in Bas. 2. Recipienda quidem, si grammaticos audias. Sic enim Ammonius: Πολύτιμος καὶ Πολυτίμητος διαφέρει. Πολύτιμος μὲν γάρ ἐστιν ὁ πολλῆς τιμῆς ἠγορασμένος ἄνθρωπος· Πολυτίμητος δὲ, ὁ πολλῆς τιμῆς ἄξιος. ὡς τοὺς θεοὺς πολυτιμήτους λέγομεν. p. 118. Similia Thom. Mag. v. πολύτιμος, e quo sua deprompsit Phavorinus, v. πολύτιμος, ubi πολύτιμον posteriori loco pro πολυτίμητον mendose scribitur. Routh.

Cf. Aristoph. Vesp. 1001. ὦ πολυτίμητοι θεοί. Ach. 807. Av. 667. Thesm. 286. Nam et supra eum tanquam deum allocutus est Socrates §. 7. Heind.

οὕτω δὲ τάχ' ἂν] *Sic autem, fortasse valebis id efficere*, id est, Si autem ille pariter velit. Steph.

οὕτω δὲ τάχα ἂν] Sc. ἱκανὸς σὺ εἴης. Heind.

οὐκ ἔχω ὑμῖν πῶς ἀμφισβητοίην] Aut πῶς ἀμφισβητῶ scribi debebat, aut πῶς ἂν ἀμφισβητοίην. V. Dawes. Misc. Crit. p. 207. Heind.

ὅπως οὐ πάντα ἐγὼ ἐπίσταμαι] Steph. 'Vel reponendum ὡς, vel dicendum poni ὅπως pro ὡς.' Apte laudavit Routh. Isocrat. Archidam. p. 27. Ἐγὼ δὲ περὶ μὲν τῶν ἄλλων ὁμολογῶ τούτοις· ὅπως δὲ τοῦ δικαίου χρὴ ποιεῖσθαί τι προὐργιαίτερον τὸ συμφέρον, οὐδεὶς ἂν μελετῶν πείσειεν. Adde Soph. Œd. T. 548. Τοῦτ' αὐτὸ μή μοι φράζ', ὅπως οὐκ εἶ κακός. Omninoque hic usus satis est frequens imprimis apud Isocratem. Heind.

ἐπειδήπερ] Cod. Par. et Bas. 2. ἐπειδήγε, ex quo Routh. conjecit ἐπειδήπερ

πῶς φῶ ἐπίστασθαι, Εὐθύδημε, ὡς οἱ[o] ἀγαθοὶ ἄνδρες ἄδικοί εἰσιν; φέρε εἰπέ, τοῦτο ἐπίσταμαι ἢ οὐκ ἐπίσταμαι; Ἐπίστασαι μέντοι, ἔφη. Τί;[p] ἦν δ' ἐγώ. Ὅτι οὐκ ἄδικοί εἰσιν οἱ ἀγαθοί. Πάνυ[q] γε, ἦν δ' ἐγώ, πάλαι. ἀλλ' οὐ
i. 297. τοῦτο ἐρωτῶ· ἀλλ' ὡς ἄδικοί εἰσιν οἱ[r] ἀγαθοί, ποῦ[s] ἐγὼ τοῦτο ἔμαθον; Οὐδαμοῦ, ἔφη ὁ Διονυσόδωρος. Οὐκ ἄρ'[t] ἐπίσταμαι,[u] ἔφην, τοῦτο ἐγώ. Διαφθείρεις, ἔφη, τὸν λό-
H. i. 443. γον, ὁ Εὐθύδημος πρὸς τὸν Διονυσόδωρον· καὶ φανήσεται οὑτοσὶ οὐκ ἐπιστάμενος, καὶ ἐπιστήμων ἅμα[v] ὢν καὶ ἀνεπιστήμων. [§. 60.] Καὶ ὁ Διονυσόδωρος ἠρυθρίασεν. Ἀλλὰ σύ, ἦν δ' ἐγώ, πῶς λέγεις, ὦ Εὐθύδημε; οὐ δοκεῖ σοι ὀρθῶς ὁ[w] ἀδελφὸς λέγειν ὁ πάντ'[x] εἰδώς; Ἀδελφὸς γάρ, ἔφη, ἐγώ εἰμι Εὐθυδήμου, ταχὺ ὑπολαβὼν ὁ Διονυσόδωρος; Κἀγὼ εἶπον, Ἔασον, ὦ 'γαθέ, ἕως[y] ἂν Εὐθύδημός με διδάξῃ[z] ὡς ἐπίσταμαι τοὺς ἀγαθοὺς ἄνδρας ὅτι ἄδικοί εἰσι, καὶ μή μοι φθονήσῃς τοῦ μαθήματος. Φεύγεις, ἔφη, ὦ Σώκρατες,[a] ὁ Διονυσόδωρος, καὶ οὐκ ἐθέλεις[b] ἀποκρίνεσθαι. Εἰκότως γ', εἶπον ἐγώ· ἥττων[c] γάρ εἰμι καὶ τοῦ ἑτέρου[d] ὑμῶν, ὥστε πολλοῦ δέω μὴ οὐ δύο γε[e] φεύγειν. πολὺ γάρ πού εἰμι φαυλότερος τοῦ Ἡρακλέους,[f] ὃς οὐχ

ponit r.—[n] γε ΓΞΣBCwyefr, om 𝔄Θ.—[o] οἱ om Eς.—[p] τί om Γ.—[q] πάνυ...ἀγαθοί om Γr.—[r] οἱ om f.—[s] πῶς r.—[t] ἄρ' Γ.—[u] ἐπίστασαι E.—[v] ἅμα om E.—[w] ὁ ante ἀδελφὸς om 𝔄ΘΞΣBCu·efr et pr Γ: scribendum ἁδελφὸς.—[x] πάντ' Γu·yefr.—[y] ἕως om f.—[z] διδάξοι pr Γ.—[a] ὦ σώκρ. ἔφη f.—[b] οὐ θέλεις r.—[c] ἧττον e.—[d] ἑταίρου r.

γε, ut §. 58. ἐπειδήπερ γε οὐδεμίαν ἔχει δύναμιν τὸ ἃ ἐπίσταμαι. Heind.

ἄδικοι] For. οὐκ ἄδικοι (ut continuo post dicitur) itidemque in seq. Steph. qui sic in not. ‘Recte hic legitur ἄδικοι, (sicut et in principio pag. seq.) recte vicissim statim post scriptum est οὐκ ἄδικοι, quum hoc se scire fateatur, illud se scire neget. Jam igitur nihil in hoc loco mutandum esse puto.’

ὡς ἀγαθοὶ ἄνδρες ἄδικοί εἰσιν] Recte abest articulus ante ἀγαθοὶ, aliaque mox ratio est in his, ὡς ἀδικοί εἰσιν οἱ ἀγαθοί. Heind.

ἅμα] Deest in Ald. Bas. 1. Routh.

§. 60. ἀδελφὸς γὰρ, ἔφη, ἐγὼ] Per interrogationem hæc dici liquet a Dionysodoro, qui fratrem a Socrate premi animadvertens, ut alio flectat disputationem, aliam rursus cavillationem orditur. Monuit hoc jam Routhius. Heind.

καὶ τοῦ ἑτέρου ὑμῶν] *Vel alterutro vestrum*. Heind.

τοῦ Ἡρακλέους] Opportune hic memor fuit Routhius proverbii illius πρὸς δύο οὐδ' Ἡρακλῆς Phædon. §. 38. unde totum illud huc pertinet: Ἀλλ', ἦν δ' ἐγὼ, πρὸς δύο οὐδ' Ἡρακλῆς λέγεται οἷός τε εἶναι. Ἀλλὰ καὶ ἐμὲ, ἔφη, τὸν Ἰόλεων παρακάλει, ἕως ἔτι φῶς ἐστι. Παρακαλῶ τοίνυν, ἔφην, οὐχ ὡς Ἡρακλῆς, ἀλλ' ὡς Ἰόλεως τὸν Ἡρακλῆ, ubi nostri loci meminit Forsterus. Liban. de vit. sua p. 17. Δυοῖν γὰρ ἕνα οὐκ εἶναι κρατεῖν οὐδὲ τὸν Ἡρακλέα, τὴν παροιμίαν λέγειν. Schol. Plat. p. 11. postquam aliam, quam quæ hic significatur, proverbii originem tradidit, addit: Ἡρόδωρος δὲ καὶ Ἑλλάνικός φασιν, ὡς ὅτε τὴν ὕδραν Ἡρακλῆς ἀνῄρει, τὴν Ἥραν αὐτῷ καρκίνον ἐφορμῆ-

οἷός τε[g] ἦν τῇ τε ὕδρᾳ διαμάχεσθαι, σοφιστρίᾳ οὔσῃ καὶ
διὰ τὴν σοφίαν ἀνιείσῃ,[h] εἰ[i] μίαν κεφαλὴν ἀποτμηθείη τοῦ
λόγου,[j] πολλὰς ἀντὶ τῆς μιᾶς, καὶ καρκίνῳ τινὶ ἑτέρῳ[k] σο-
φιστῇ, ἐκ θαλάττης ἀφιγμένῳ, νεωστί μοι[l] δοκεῖν[m] κατα-
πεπλευκότι·[n] ὃς ἐπειδὴ αὐτὸν ἐλύπει οὕτως ἐκ τοῦ ἐπ'
ἀριστερὰ[o] λέγων καὶ δάκνων, τὸν Ἰόλεων τὸν[p] ἀδελφιδοῦν
βοηθὸν ἐπεκαλέσατο, ὁ δὲ αὐτῷ ἱκανῶς ἐβοήθησεν. ὁ δ'
ἐμὸς Ἰόλεως Πατροκλῆς εἰ ἔλθοι, πλέον ἂν θάτερον ποιή-
σειεν. [§. 61.] Ἀπόκριναι δή, ἔφη ὁ Διονυσόδωρος, ὁπότε
σοι ταῦτα ὑμνῆται· πότερον ὁ[q] Ἰόλεως τοῦ Ἡρακλέους II. i. 444.
μᾶλλον ἦν ἀδελφιδοῦς ἢ σός; Κράτιστον τοίνυν μοι, ὦ
Διονυσόδωρε, ἦν δ' ἐγώ, ἀποκρίνασθαί[r] σοι. οὐ γὰρ μὴ ἀνῇς

—[e] γε om f.—[f] ἡρακλέυς e.—[g] τ' f.—[h] ἀνείσῃ Γ, ἀνίεισιν E.—[i] εἰς ℭΘ : εἰ cum *ς corr Σ.—[j] τοῦ λόγου τις ἀποτέμοι ℭΘr.—[k] τινι ἑτέρω ℭΓΘCyr, τινὶ ἑταίρω r : ἑτέρῳ τινὶ *ς.—[l] μοί τινι ℭΘ.—[m] δοκεῖ ΓΣ, δοκεῖς r.—[n] καταπεφευγότι r.—[o] ἀριστερᾶ ΓΕw.—[p] τόν τε Σ.—[q] ὁ om w.—[r] ἀποκρίνεσθαι Σ.—[s] δὴ w.—[t] ὁ add

σαι· πρὸς δύο δὲ οὐ δυνάμενον μάχεσθαι σύμμαχον ἐπικαλέσασθαι τὸν Ἰόλεων· καὶ ἐντεῦθεν ῥηθῆναι τὴν παροιμίαν. Ἐμνήσθη δὲ ταύτης Πλάτων καὶ ἐν ιά Νόμων· (Steph. p. 919. B.) ὀρθὸν μὲν δὴ τὸ πάλαι τε εἰρημένον, ὡς πρὸς δύο μάχεσθαι χαλεπόν· καὶ ἐνταῦθα (in Phædone.) De Cancro hoc Hydræ adversus Herculem suppetias ferente conf. Apollodor. Bibl. ii. 5. 2. Palæphat. de Incred. F. 39. Heind.

νεωστὶ, μοὶ (scr. *ἐμοὶ*) *δοκεῖν, καταπεπλευκότι*] Nuper enim Athenas appulerant, quos venustissima hac allegoria describi apparet, Dionysodorus et Euthydemus. Conf. §. 2. init. Heind.

ἐκ τοῦ ἐπ' ἀριστερὰ] Adhibitum ἐπιρῥηματικῶς, ut ἐκ τοῦ ἐπὶ θάτερα, ἐκ τοῦ ἐπὶ πλεῖστον. Ad Dionysodorum hæc spectant, de quo supra Socrates §. 1. ὁ δὲ παρ' ἐμὲ καθήμενος ἐξ ἀριστερᾶς ἀδελφὸς τούτου Διονυσόδωρος.—οὕτως autem illud, quod male vulgo jungunt præcedentibus, δεικτικῶς adhibitum puta. Heind.

τὸν Ἰόλεων] De Iolao, perpetuo Herculis comite, v. Heynius ad Apollod. ii. 5. 2. et Wernsdorf. ad Himer. p. 680. Heind.

ὁ δ' ἐμὸς Ἰόλεως Πατροκλῆς] Patrocles hic quum Socratis frater fuerit, ut mox ipse ait Socrates, non fratris filius (ἀδελφιδοῦς), neque omnino intelligatur, cur hujus hominis Socrates h. l. mentionem injecerit: facile potest hoc nomen a glossatore profectum videri, quod si expunxeris, egregie hæc verba convenient in Ctesippum. Is enim nimis acer in disputando et iracundus, quum Socrati succurrens supra sermoni se immiscuisset, nihil effecerat, sed rem potius perdiderat propemodum; ut recte Socrates dixerit, *hunc, si suppetias sibi ferre velit, rem magis etiam perditurum*, πλέον θάτερον ποιήσειν. Conf. not. ad §. 24. Atque ut Hydræ et Cancri nomine præsentes Euthydemus et Dionysodorus significantur, ita optime hæc, ὁ δ' ἐμὸς Ἰόλ. Heind.

ποιήσειεν] Ad præsentem sermonisque hujus participem Ctesippum spectarent, modo ne obstaret hoc ἔλθοι, quod posset ad Ctesippum trahi, si additum esset εἰς βοήθειαν s. βοηθήσων, ut infra §. 73. extr. Ὁ δὲ Κτήσιππός μοι ἰὼν ὡς βοηθήσων ἔφη etc.; nunc vix de alio quam de absente dici potuit. Per jocum igitur Patroclem hunc fratrem suum Socrates Iolaum suum appellat, hominem, iis, qui aderant, satis notum, rudem prorsus, ut videtur, et ad disputandum inhabilem. Heind.

§. 61. *ὑμνῆται*] ὑμνεῖν h. l. generatim est *dicere, narrare*, ut *garriendi* prope significatum habeat. V. Tim. Lex. p. 262. ibiq. Ruhnk. qui tamen hunc ibi locum prætermisit. Heind.

ἐρωτῶν, σχεδόν τι ἐγὼ τοῦτ' εὖ οἶδα, φθονῶν καὶ διακωλύων, ἵνα μὴ[s] διδάξῃ με ὁ[t] Εὐθύδημος ἐκεῖνο τὸ σοφόν. Ἀποκρίνου δή, ἔφη. Ἀποκρινοῦμαι[u] δή, εἶπον, ὅτι τοῦ Ἡρακλέους ἦν[v] ὁ Ἰόλεως ἀδελφιδοῦς, ἐμὸς δ', ὡς ἐμοὶ δοκεῖ,[w] οὐδ' ὁπωστιοῦν. οὐ γὰρ Πατροκλῆς ἦν αὐτῷ πατήρ, ὁ ἐμὸς ἀδελφός, ἀλλὰ παραπλήσιον μὲν τοὔνομα Ἰφικλῆς,[x] ὁ Ἡρακλέους ἀδελφός. Πατροκλῆς δέ, ἦ δ' ὅς, σός; Πάνυ γ', ἔφην ἐγώ, ὁμομήτριός γε, οὐ μέντοι ὁμοπάτριος. Ἀδελφὸς ἄρα ἐστί σοι καὶ οὐκ ἀδελφός. Οὐχ ὁμοπάτριός γε, ὦ βέλτιστε,[y] ἔφην· ἐκείνου μὲν γὰρ Χαιρέδημος[z] ἦν πατήρ,[a] ἐμὸς δὲ Σωφρονίσκος. Πατὴρ δὲ ἦν, ἔφη, Σωφρονίσκος καὶ Χαιρέδημος; Πάνυ γ',[b] ἔφην· ὁ μέν γε ἐμός, ὁ
1. 298. δὲ[c] ἐκείνου. Οὐκοῦν, ἦ δ' ὅς, ἕτερος ἦν Χαιρέδημος τοῦ πατρός; Τοὐμοῦ γ', ἔφην ἐγώ. Ἆρ' οὖν πατὴρ ἦν ἕτερος[d] ὢν πατρός; ἢ σὺ[e] εἶ[f] ὁ αὐτὸς τῷ λίθῳ; [§. 62.] Δέδοικα μὲν ἔγωγ', ἔφην, μὴ φανῶ ὑπὸ σοῦ ὁ αὐτός· οὐ μέντοι μοι δοκῶ. Οὐκοῦν ἕτερος εἶ, ἔφη, τοῦ λίθου; Ἕτε-

Θ.—[u] ἀποκρίνομαι 𝔯.—[v] κυ w.—[w] δοκεῖ 𝔄ΓΘΞΣΒu·e𝔣𝔯: δοκεῖν *ϛ.—[x] ὀφικλῆς E.—[y] βέλτιστ' Γ𝔣.—[z] χαιρέσιμος 𝔣.—[a] ἦν ὁ πατὴρ w.—[b] γ' u·e𝔯.—[c] δ' u·e𝔯.—[d] ἕτερος ἦν Γ.—[e] σοι y.—[f] εἶ om 𝔯.—[g] ἕτερος om 𝔣.—[h] οὐ πατήρ ἐστίν 𝔯. et ἐστιν etiam

σχεδόν τι, ἐγὼ τοῦτ' εὖ οἶδα, φθονῶν] Videntur hæc per parenthesin poni, *ἐγὼ τοῦτ' εὖ οἶδα*, aut etiam cum *σχεδόν τι*. Steph. Malim posteriorem hæc verba ordinandi rationem, cum eadem video in Hippia Majori conjungi. *Ἐρεῖ τοίνυν* (inquit Socrates) *μετὰ τοῦτ' ἐκεῖνος*, (*σχεδόν τι εὖ οἶδα, ἐκ τοῦ τρόπου τεκμαιρόμενος*) *Ὦ βέλτιστε σὺ*, etc. p. 288. C. Routh.

σχεδόν τι ἐγὼ—οἶδα] Per parenthesin hæc interposita sunt, ut loco illo a Routhio laudato. Atque sic *εὖ οἶδα, εὖ ἴσθι* interponuntur sexcenties. Heind.

ἐκεῖνο τὸ σοφὸν] Sc. *ὅτι ἄδικοί εἰσιν οἱ ἀγαθοὶ ἄνδρες*. Heind.

Πατροκλῆς] Hujus hominis non alibi mentionem facit Plato neque alius quisquam scriptor, nisi quis cum Hemsterhusio ad Lucian. Somn. 12. t. i. p. 195. Bip. suspicetur, eundem hunc esse Patroclem statuarium, quem Ol. xcv. floruisse perhibet Plinius H. N. xxxvii. 8. conjectura parum probabili. Proxima fuit quum sic corrigenda viderentur, *ἀλλὰ παραπλήσιος μὲν τοὔνομα, Ἰφικλῆς δὲ ὁ Ἡρακλ.*, nunc vulgatam scripturam teneo. Nam ut dicitur *ἀνὴρ ὄνομα Ἰφικλῆς*, quidni itidem dicatur *ἀνὴρ παραπλήσιον τοὔνομα Ἰφικλῆς*? Voculam autem *μὲν* sine subsequente *δὲ* adhibitam exemplis e Platone confirmavi ad Theæt. §. 130. Heind.

§. 62. *μὴ φανῶ ὑπὸ σοῦ ὁ αὐτὸς*] *Lapidis* nomine notum est Græcos eorumque exemplo Latinos, Comicos imprimis, hominem *stupidum* significare; sed malim tamen hæc trahere ad *ἀφασίαν* s. *ἀφωνίαν* quandam, quam ex portentosis istis Sophistæ quæstionibus metuit sibi Socrates. Plat. Sympos. p. 198. C. *ἐφοβούμην, μή μοι τελευτῶν ὁ Ἀγάθων Γοργίου κεφαλὴν δεινοῦ λέγειν ἐν τῷ λόγῳ ἐπὶ τὸν ἐμὸν λόγον πέμψας αὐτόν με λίθον τῇ ἀφωνίᾳ ποιήσειε*. Paullo aliter Hipp. Maj. §. 28. *οὐδέν σοι μᾶλλον γεγωνεῖν δύναμαι ἢ εἴ μοι παρεκάθησο λίθος καὶ οὗτος μυλίας, μήτε ὦτα μήτε ἐγκέφαλον ἔχων*, ubi vocabulum ad *surditatem* refertur, ut in notissimo proverbio *λίθῳ διαλέγῃ*. Heind.

ρος μέντοι. Ἄλλο τι οὖν ἕτερος,[g] ἦ δ' ὅς, ὢν λίθου οὐ λίθος εἶ; καὶ ἕτερος ὢν χρυσοῦ οὐ χρυσὸς εἶ; Ἔστι ταῦτα. II. i. 445.
Οὐκοῦν καὶ ὁ Χαιρέδημος, ἔφη, ἕτερος ὢν πατρὸς οὐκ ἂν πατὴρ εἴη.[h] Ἔοικεν, ἦν δ' ἐγώ, οὐ πατὴρ εἶναι. Εἰ[i] γὰρ δή που, ἔφη,[j] πατήρ ἐστιν ὁ Χαιρέδημος, ὑπολαβὼν ὁ Εὐθύδημος, πάλιν αὖ[k] ὁ Σωφρονίσκος ἕτερος ὢν πατρὸς οὐ πατήρ ἐστιν, ὥστε σύ, ὦ Σώκρατες, ἀπάτωρ εἶ. Καὶ ὁ Κτήσιππος ἐκδεξάμενος, Ὁ δὲ ὑμέτερος, ἔφη, αὖ πατὴρ[l] οὐ ταὐτὰ ταῦτα πέπονθεν; ἕτερός ἐστι τοὐμοῦ πατρός; Πολλοῦ γ', ἔφη, δεῖ,[m] ὁ Εὐθύδημος. Ἀλλά, ἦ δ' ὅς, ὁ αὐτός; Ὁ αὐτὸς μέντοι. Οὐκ ἂν[n] συμβουλοίμην. ἀλλὰ πότερον, ὦ Εὐθύδημε, ἐμὸς μόνον[o] ἐστὶ πατὴρ ἢ καὶ τῶν ἄλλων ἀνθρώπων; Καὶ τῶν ἄλλων, ἔφη· ἢ οἴει τὸν αὐτὸν πατέρα ὄντα οὐ πατέρα εἶναι; Ὤιμην δῆτα, ἔφη ὁ Κτήσιππος. Τί δέ; ἦ δ' ὅς· χρυσὸν ὄντα μὴ χρυσὸν εἶναι; ἢ ἄνθρωπον ὄντα μὴ ἄνθρωπον;[p] [§. 63.] Μὴ γάρ, ἔφη ὁ Κτήσιππος, ὦ Εὐ-

𝔄Θ: ἔφη 𝔣.—[i] οὐ ΣBCιwyeϝ.—[j] ἔφην 𝔄w.—[k] οὖν 𝔣.—[l] πατὴρ αὖ Γ𝔣, ὁ πατὴρ 𝔯.—[m] δὴ 𝔯.—[n] γὰρ E.—[o] μόνος 𝔄ΓΘΞΣCEwye𝔣𝔯.—[p] ἄνθρωπον εἶναι μὴ 𝔢.—[q] λῖνον Γ.

ἄλλοτι οὖν ἕτερος κ. τ. λ.] *Utrum igitur quum alius sis quam lapis, non es lapis? et quum alius sis quam aurum, non es aurum?* STEPH.

ἕτερος ὢν πατρὸς, οὐκ ἂν πατὴρ εἴη] Fallacia est *Accidentis*. Hæc autem habet, ut notat Serranus, cum Euthydemi sententia commercium, qui asserebat, πάντα πᾶσιν ὁμοίως εἶναι ἅμα καὶ ἀεί. Unde, si fallor, Aristoteles, Οἱ μὲν οὖν παρὰ τὸ συμβεβηκὸς παραλογισμοί εἰσιν, ὅταν ὁμοίως ὁτιοῦν ἀξιωθῇ τῷ πράγματι καὶ τῷ συμβεβηκότι ὑπάρχειν· ἐπεὶ γὰρ τῷ αὐτῷ πολλὰ συμβέβηκεν, οὐκ ἀνάγκη πᾶσι τοῖς κατηγορουμένοις, καὶ καθ' οὗ κατηγορεῖται, ταὐτὰ πάντα ὑπάρχειν· πάντα γὰρ οὕτως ἔσται ταὐτὰ, ὥσπέρ φασιν οἱ σοφισταί. οἷον, εἰ ὁ Κορίσκος ἕτερος ἀνθρώπου, αὐτὸς αὑτοῦ ἕτερος· ἔστι γὰρ ἄνθρωπος· ἢ εἰ Σωκράτους ἕτερος, ὁ δὲ Σωκράτης ἄνθρωπος, ἕτερον ἀνθρώπου φασὶν ὡμολογηκέναι, διὰ τὸ συμβεβηκέναι, ὃν ἕτερον ἔφησεν εἶναι, τοῦτον εἶναι ἄνθρωπον. Σοφιστ. Ἐλέγχ. c. 5. Memorat eandem cavillationem Laertius quoque in Vit. Plat. ROUTH.

εἰ γὰρ δήπου] Ficinus legebat οὐ, sed melius εἰ. Mox ἀπάτηρ Ald. Bas. 1. ROUTH.

ὁ δ' ὑμέτερος κ. τ. λ.] *Atenim patri vestro nonne idem contigit? alius est certe quam pater meus.* Lego autem ἕτερός ἐστιν ἄρα. STEPH.

οὐ ταὐτὰ ταῦτα] Cod. Par. ὃς οὐ pro οὔ; Ficinus: *pater autem vester, quum eadem sibi contigerint, alius est quam pater meus*, unde turpi errore Bipontinus annotator finxit ὁ ταὐτὰ ταῦτα, articulum ὁ cum pronom. ὃς permutans. Vulgata scriptura nihil est verius, neque in iis, quæ per epexegesin quandam adduntur, ἕτερός ἐστι τοὐμοῦ πατρὸς, quisquam præter Stephanum inseri voluerit ἄρα. HEIND.

ἕτερός ἐστιν τοὐμοῦ πατρὸς] Lego ἕτερός ἐστιν ἄρα. STEPH. Sine causa, opinor. ROUTH.

οὐκ ἂν] οὐ γὰρ Ald. Bas. 1. ROUTH.

μόνον] Cod. Par. et Edd. vett. μόνος. Imo μόνου. Sed bene habet hoc μόνον. Phædr. §. 74. κελεύσματι μόνον καὶ λόγῳ ἡνιοχεῖται. Gorg. §. 24. πότερον περὶ δικαίου μόνον καὶ ἀδίκου (ξυμβουλεύειν οἷοί τε ἐσόμεθα;) Quanquam exempla singulis fere paginis occurrunt. Conf. Dorvill. ad Charit. p. 691. et Heusing. ad Cic. de Off. i. 7. 5. HEIND.

θύδημε, τὸ λεγόμενον, οὐ λίνον[q] λίνῳ συνάπτεις;[r] δεινὸν γὰρ λέγεις πρᾶγμα, εἰ ὁ σὸς πατὴρ πάντων ἐστὶ πατήρ. Ἀλλ' ἔστιν,[s] ἔφη. Πότερον ἀνθρώπων;[t] ἦ δ' ὃς ὁ Κτήσιππος, ἢ καὶ ἵππων καὶ[u] τῶν ἄλλων πάντων[v] ζώων; Πάντων, ἔφη.[w]
II. i. 446. Ἦ καὶ μήτηρ ἡ[x] μήτηρ; Καὶ[y] ἡ μήτηρ γε. Καὶ τῶν ἐχίνων ἄρ', ἔφη,[z] ἡ σὴ μήτηρ μήτηρ ἐστὶ τῶν[a] θαλαττίων. Καὶ ἡ σή[b] γ', ἔφη. Καὶ σὺ ἄρα[c] ἀδελφὸς εἶ[d] τῶν κωβιῶν[e] καὶ κυναρίων[f] καὶ χοιριδίων. Καὶ γὰρ σύ,[g] ἔφη. Καὶ πρὸς[h] ἄρα σοι πατήρ ἐστι καὶ κύων.[i] Καὶ γὰρ σοί,[j] ἔφη. Αὐτίκα δέ γε, ἦ δ' ὃς ὁ Διονυσόδωρος, ἄν μοι ἀποκρίνῃ, ὦ Κτήσιππε, ὁμολογήσεις ταῦτα. εἰπὲ γάρ μοι, ἔστι σοι κύων; Καὶ μάλα πονηρός, ἔφη ὁ Κτήσιππος. Ἔστιν οὖν αὐτῷ κυνίδια; Καὶ μάλ', ἔφη, ἕτερα τοιαῦτα. Οὐκοῦν πατήρ ἐστιν αὐτῶν ὁ κύων; Ἔγωγέ[k] τοι εἶδον, ἔφη,[l] αὐτὸν ὀχεύοντα[m] τὴν κύνα. Τί οὖν; οὐ σός ἐστιν ὁ κύων; Πάνυ γε,[n] ἔφη. Οὐκοῦν πατὴρ ὢν σός ἐστιν, ὥστε σὸς πατὴρ

—[r] συνάπτης corr Γ.—[s] πάντων f.—[t] ἀνθρώπων om Σ, post ὃς ponit Γ.—[u] ἵππων καὶ Ξωχ: ἵππων ἢ καὶ *ς.—[v] ἁπάντων f.—[w] ἔφην w.—[x] ἡ post μήτηρ om 𝔄Θf et pr Γ, post καὶ ponit rc Γ.—[y] Καὶ...γε om w.—[z] ἄρ' ἔφη Γ, ἔφη ἄρα r.—[a] ἔφη καὶ ἡ μήτηρ ἐστιν ἡ σὴ μήτηρ ἐστι τῶν f.—[b] γῆ w.—[c] ἄρ' Γ.—[d] ἦν w.—[e] βοϊδίων 𝔄Θ, κωβίων ΞΣBCEye: in r lacuna est.—[f] καὶ τῶν κυναρίων Γ.—[g] σὺ γὰρ E.—[h] καὶ πρὸς...ἔφη om Θ.—[i] ἐστιν ὁ κύων r.—[j] σύ 𝔄.—[k] ἔγωγε...κύων om ef.—[l] ἔφη om r.

§. 63. οὐ λίνον λίνῳ συνάπτεις] Schol. Λίνον λίνῳ συνάπτεις, ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἢ λεγόντων ἢ δρώντων ἢ τὰ ὅμοια εἰς φιλίαν συναπτόντων. Μέμνηται δὲ αὐτῆς Ἀριστοτέλης ἐν τῷ γ' τῆς φυσικῆς ἀκροάσεως· οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστί. Καὶ Στράττις Ποταμοῖς καὶ Πλάτων Εὐθυδήμῳ. Aristotelis verba ibi hæc sunt c. 6. διὸ βέλτιον οἰητέον Παρμενίδην Μελίσσου εἰρηκέναι· ὁ μὲν γὰρ τὸ ἄπειρον ὅλον φησὶ, ὁ δὲ τὸ ὅλον πεπεράνθαι Μεσσόθεν ἰσοπαλές. Οὐ γὰρ ὡς λίνον λίνῳ ἐστὶ συνάπτειν τῷ παντὶ καὶ ὅλῳ τὸ ἄπειρον. Schol. ad Aristid. Orat. ὑπὲρ τῶν τέσσ. p. 143. citante Routhio: Λίνον λίνῳ συνάπτεις, παροιμία ἐστὶ ἐπὶ τῶν τοῖς προτέροις ἕτερα (ὅμοια?) συνειρόντων. Suidas, Λίνον λίνῳ συνάπτεις, ἐπὶ τῶν τὰ ὅμοια ἐπιμιγνύντων ἢ παρακρουομένων ἢ ἀπατώντων. Conf. Schneid. Lex. v. λινοτόμος. Contra illud οὐ λίνον λίνῳ συνάπτεις Suidas explicat ἐπὶ τῶν τὰ αὐτὰ μὴ διὰ τῶν αὐτῶν πραττόντων, et magis dilucide Simplicius ad Aristot. l. l. p. 117. οὐ τὰ συγκλώθεσθαι πεφυκότα συγκλώθειν. Qua explicatione adhibita, Euthydemum a Ctesippo his verbis reprehendi liquet, quod incongrua inter se et diversa in unum miscere velit. Neque aliam hæc explanandi rationem ego video, modo istud *συνάπτεις* mutetur in *συνάπτῃς*, quod pendeat a præcedente *μὴ*, tali sensu: *vide ne pugnantia secum et incongrua componas, Euthydeme!* Heind.

ἀνθρώπων] For. *ἀνθρώπων μόνον*; mox si particula hæc ἢ posteriore loco non tollatur, ponenda interrogandi nota et post ἵππων. Steph.

Frustra his addi volebat Steph. *μόνον*, quod nemo non statim suppleat ex seqq. ἢ καὶ ἵππων καὶ τῶν ἄλλ. ζώων; Nam ita hæc scripsi, omissa vocula ἢ, quam post ἵππων inculcatam habent Edd. vulgatæ Heind.

τῶν κωβιῶν] *Gobiorum*, de quo piscium genere vid. Schneider. Histor. Litterar. Piscium p. 46. Heind.

γίγνεται ὁ κύων καὶ σὺ κυναρίων ἀδελφός; [§. 64.] Καὶ αὖθις ταχὺ ὑπολαβὼν ὁ Διονυσόδωρος, ἵνα μὴ πρότερόν τι εἴποι[o] ὁ Κτήσιππος, Καὶ ἔτι γέ μοι μικρόν, ἔφη, ἀπόκριναι· τύπτεις τὸν κύνα τοῦτον; Καὶ ὁ Κτήσιππος γελάσας,[p] Νὴ τοὺς θεούς, ἔφη· οὐ γὰρ δύναμαι σέ. Οὐκοῦν τὸν σαυτοῦ πατέρα, ἔφη, τύπτεις; Πολὺ μέντοι, ἔφη,[q] δικαιότερον τὸν I. 299.
ὑμέτερον πατέρα τύπτοιμι, ὅ τι μαθὼν[r] σοφοὺς υἱεῖς οὕτως[s] ἔφυσεν.[t] ἀλλ' ἦ που, ὦ Εὐθύδημε, ἔφη[u] ὁ Κτήσιππος, πόλλ' ἀγαθὰ ἀπὸ τῆς ὑμετέρας σοφίας ταύτης ἀπολέλαυκεν ὁ πατὴρ ὁ ὑμέτερός[v] τε καὶ ὁ τῶν κυνιδίων. Ἀλλ' οὐδὲν δεῖται πολλῶν ἀγαθῶν, ὦ Κτήσιππε, οὔτ' ἐκεῖνος οὔτε σύ. II. i. 447.
Οὐδὲ σύ,[w] ἦ δ' ὅς,[x] ὦ Εὐθύδημε, αὐτός. Οὐδὲ[y] ἄλλος γε οὐδεὶς ἀνθρώπων. εἰπὲ γάρ μοι, ὦ Κτήσιππε, εἰ ἀγαθὸν νομίζεις εἶναι[z] ἀσθενοῦντι φάρμακον πιεῖν ἢ οὐκ ἀγαθὸν εἶναι[a]

—[m] ὀχετεύοντα C.—[n] γ' wyer.—[o] εἴποι 𝔄Θw: εἴπῃ *ς.—[p] γελαῖς 𝔄.—[q] ἔφη post μέντοι om 𝔄.—[r] παθὼν corr Γ.—[s] οὗτος f.—[t] ἔφησεν Cf et pr Γ, ἔφυγεν e.—[u] ἔφη om ΘΞΣBCEwyef et pr Γ.—[v] πατὴρ ὑμέτερος f.—[w] σὺ post οὐδὲ om E.—[x] ἦ

ὥστε σὸς πατὴρ γίγνεται ὁ κύων] Fallacia hæc est, quæ vocatur *compositionis:* i. e. cum conjunctim accipiuntur, quæ erant accipienda divisim. Ita, quia canis est pater, et est Ctesippi, probatur eum esse Ctesippi patrem. ROUTH.

§. 64. *ἵνα μὴ—εἴποι*] Sic de certa sermonis lege dedi pro εἴπῃ. HEIND.

καὶ ἔτι γέ μοι μικρὸν, ἔφη, ἀπόκριναι] Fortasse καὶ ἕν τι. STEPH. Sed legit ἔτι et Ficinus. Habes quoque supra, ἀλλὰ τοῦτο ἔτι ἡμῖν μόνον εἴπατον, et infra ἀλλ' ἔτι μοι τὸ ἕτερον ἐπιδείξατον: alibique similia. Si qua ergo emendatione opus sit, (quod vix crediderim) scribendum μικρόν τι pro μικρόν. ROUTH.

καὶ ἔτι γέ μοι σμικρὸν, ἔφη, ἀπόκρ.] Non exputo cur Stephanus maluerit καὶ ἕν τι. Nam σμικρὸν h. l. positum est pro σμικρόν τι, ut Gorg. §. 64. ὑπόμνητόν με σμικρὸν, ἐὰν etc. Sympos. p. 201. C. Καὶ μὴν καλῶς γε εἶπες—ἀλλὰ σμικρὸν ἔτι εἰπὲ etc. Lysid. §. 18. Ὁ οὖν Λύσις—σμικρὸν πρὸς ἐμὲ λέγων ἔφη, et sexcenties alias. HEIND.

οὐ γὰρ δύναμαι σὲ] Scripsi σὲ pro enclitico σε, ut opponat hoc σὲ prægresso οὗτον Ctesippus hoc dicens: *Sane canem illum verbero: te enim etsi verberare mihi lubet, tamen non licet.* Friget tamen paullulum hæc jocatio. HEIND.

ὅτι μαθὼν] Lego ὅ,τι μαθών. Subaud. autem aliquid ante hæc verba, quæ conveniunt cum his Gallice dictis in increpatione, *Qui vous a appris à faire cela?* STEPH.

De formula ὅ,τι μαθὼν vide quæ diximus ad §. 30. HEIND.

σοφοὺς υἱεῖς οὕτως] Exspectabam σοφοὺς οὕτως υἱεῖς. HEIND.

πολλ' ἀγαθὰ] Eone referenda hæc πόλλ' ἀγαθὰ, quod ille et catulorum pater exstiterit et dignus qui vapulet? An acerba quadam ironia Ctesippus Sophistarum horum conditionem perstringit, qui Thuriis pulsi multosque jam annos in Attica vagantes non admodum opibus videntur floruisse, ut hoc dicat: *sed tamen magnum sane fructum ex vestra ista tam egregia sapientia percepit ille vester et catulorum pater!* Ceterum hæc ironice an interrogative accipias, ad sensum nihil intererit. HEIND.

ὁ πατὴρ ὁ ὑμέτερός τε καὶ ὁ τῶν κυνιδίων] Manifestum est, Sophistarum patrem designari a Ctesippo, quapropter articulum ὁ ante verba τῶν κυνιδίων expungendum suspicor. HEIND.

οὐδὲ σὺ—αὐτός;] Carent hæc vulgo interrogandi nota, quæ tamen apposita est in Cod. Par. Tangit, opinor, hac interrogatione Ctesippus Euthydemi egestatem vel in exigendo didactro avaritiam. HEIND.

δοκεῖ σοι,[b] ὅταν δέηται· ἢ εἰς πόλεμον ὅταν ἴῃ, ὅπλα ἔχοντα μᾶλλον ἰέναι ἢ ἄνοπλον. Ἔμοιγε,[c] ἔφη. καί τοι[d] οἶμαί τί[e] σε τῶν καλῶν ἐρεῖν. [§. 65.] Σὺ ἄριστα[f] εἴσει, ἔφη· ἀλλ' ἀποκρίνου. ἐπειδὴ γὰρ ὡμολόγεις ἀγαθὸν εἶναι φάρμακον, ὅταν δέῃ, πίνειν ἀνθρώπῳ,[g] ἄλλο τι τοῦτο τὸ[h] ἀγαθὸν ὡς πλεῖστον δεῖ πίνειν, καὶ καλῶς ἐκεῖ ἕξει, ἐάν τις αὐτὸ[i] τρίψας ἐγκεράσῃ[j] ἐλλεβόρου[k] ἄμαξαν; Καὶ ὁ Κτήσιππος εἶπε, Πάνυ γε σφόδρα, ὦ Εὐθύδημε, ἐὰν ᾖ γε ὁ πίνων ὅσος ὁ[l] ἀνδριὰς ὁ ἐν Δελφοῖς. Οὐκοῦν, ἔφη, καὶ ἐν τῷ πολέμῳ ἐπειδὴ ἀγαθόν ἐστιν ὅπλα ἔχειν, ὡς πλεῖστα δεῖ ἔχειν δόρατά τε καὶ ἀσπίδας, ἐπειδή περ ἀγαθόν ἐστιν; Μάλα[m] δή που, ἔφη ὁ Κτήσιππος· σὺ δ' οὐκ οἴει, ὦ Εὐθύδημε, ἀλλὰ μίαν καὶ ἓν δόρυ; Ἔγωγε. Ἦ καὶ τὸν Γηρυόνην ἄν,[n] ἔφη, καὶ τὸν Βριάρεων[o] οὕτω σὺ ὁπλίσαις;[p] ἐγὼ δὲ ᾤμην σε δεινότερον εἶναι, ἅτε ὁπλομάχην ὄντα, καὶ

δ' ὃς om 𝔣.—[y] οὐ οὐδὲ rc Γ.—[z] εἶναι om Σ.—[a] εἶναι om 𝔴𝔢𝔣.—[b] δοκεῖ σοι 𝔄ΓΘΞ𝔣𝔯, δοκεῖ (omisso σοι) 𝔢 : σοι δοκεῖ *ς.—[c] ἔμοιγ' 𝔣.—[d] καί τι 𝔴𝔢𝔣.—[e] τι om 𝔢 et pr Ξ, τισι (omisso σε) 𝔲.—[f] ἄρα E.—[g] ἀνθρώπων C.—[h] τὸ add ΞΣC𝔴𝔶𝔢𝔣 et pr B.—[i] αὐτῷ 𝔄Θ.—[j] κεράσῃ Γ.—[k] ἑλεβόρου Γ𝔯.—[l] ὅσους ὁ 𝔄ΘC𝔶𝔯, ὁ σὸς ὁ Σ𝔴, ὅσὸς ὁ B, ὡς σὸς ὁ Γ : ὁ σὸς *ς.—[m] μᾶλλον Γ.—[n] ἂν om 𝔯.—[o] βριάρεω 𝔣.—[p] ὅπλισ Θ.—

καίτοι οἶμαί τί σε τῶν καλῶν ἐρεῖν] *Quanquam vereor, ne captiosa sit rursus ista tua quæstio, alioque me tu denuo sophismate decipere velis.* τῶν καλῶν i. e. τῶν κομψῶν, ut alias vocantur a Socrate hujusmodi Sophistarum commenta. §. 71. ἤδη γὰρ, ὅτι ἐξ αὐτῶν καλόν τι ἀνακύψοιτο τῶν ἐρωτημάτων. Heind.

§. 65. *ὁμολογεῖς*] Vulgo ὡμολόγεις. Statim post in verbis, ἄλλο τι τοῦτο τὸ ἀγαθ. articulum τὸ e Cod. Par. addidi. Proximum autem ἐκεῖ ni explicetur τότε ὅταν δέῃ, quanquam hoc sensu τότε potius scripsisset Plato, vix ferri potuerit. Vitio natum hoc suspicor ex sequente ἕξει. Heind.

ἐὰν ᾖ γε ὁ πίνων ὁ σὸς ἀνδριὰς] Legi ἐὰν ᾖ γ' ὁ πίνων, ὅσος ἀνδριὰς : non ὁ σὸς, duobus vocabulis : quid enim attinet agere de statua Sophistæ : quæ an Delphis fuerit, ecquis novit? Serran. *Dummodo illud bibat tua statua quæ Delphis est.* Steph.

ὅσος] Hanc scripturam ex Bas. utraque et Ficino restituit jam Routhius. Inepte vulgo ὁ σὸς ἀνδρ. Sed ne quid mendi supersit, aut expungendus erit art. ὁ, aut præfigendus etiam vocabulo ἀνδριὰς, ut una aliqua significetur de colosseis illis statuis, quas plures Delphis fuisse constat. Heind.

ἐπειδὴ ἀγαθόν ἐστιν] Hæ sunt cavillationes a *compositione*. Hic enim quod disjunctum verum est, conjunctione fit falsum. Sophistæ argumentum est, ὅτι ἄτοπον γίγνεται, εἰ πολλὰ ἀγαθὰ ἓν κακόν ἐστι. Confer Aristot. de Rhet. ii. 26. Routh.

ἦ καὶ τὸν Γηρυόνην] Apollod. Bibl. ii. 5. 10. ταύτην (τὴν νῆσον Γάδειρα) κατῴκει Γηρυόνης, Χρυσάορος καὶ Καλλιῤῥόης τῆς Ὠκεανοῦ, τριῶν ἔχων ἀνδρῶν συμφυὲς σῶμα, συνηγμένον εἰς ἓν κατὰ τὴν γαστέρα, ἐσχισμένον δὲ εἰς τρεῖς ἀπὸ λαγόνων τε καὶ μηρῶν, ubi vid. Heynius. Quæ verba in Scholiis quoque ad Plat de Legg. vii. p. 228. leguntur. De Briareo ibid. Schol. Οὐρανὸς ἐκ Γῆς πρώτους γεννᾷ Κόττον, Βριάρεω, Γύγην (scr. Γύην), ἑκατόγχειράς τε καὶ πεντήκοντα κεφαλὰς ἔχοντας. Conf. Perizon ad Ælian. V. H. v. 3. Heind.

ἐγὼ δὲ ᾤμην] ἔγωγε Bas. 1. ἐγώ γ' Bas. 2. Routh.

δεινότερον] *Peritiorem.*—ἅτε ὁπλομάχην ὄντα. Conf. §. 2. Heind.

τόνδε τὸν ἑταῖρον. Καὶ ὁ μὲν Εὐθύδημος ἐσίγησεν· ὁ δὲ[q] Διονυσόδωρος πρὸς τὰ πρότερον ἀποκεκριμένα τῷ Κτησίππῳ II. i. 448.
ἤρετο, Οὐκοῦν καὶ χρυσίον, ἦ δ' ὅς, ἀγαθὸν δοκεῖ σοι[r] εἶναι[s] ἔχειν; Πάνυ, καὶ ταῦτά γε πολύ, ἔφη ὁ Κτήσιππος. [§. 66.] Τί οὖν; ἀγαθὰ[t] οὐ δοκεῖ σοι χρήματα ἀεί τ' ἔχειν καὶ πανταχοῦ; Σφόδρα γ',[u] ἔφη. Οὐκοῦν καὶ τὸ χρυσίον ἀγαθὸν ὁμολογεῖς[v] εἶναι; Ὡμολόγηκα μὲν οὖν,[w] ἦ δ' ὅς. Οὐκοῦν ἀεὶ δεῖ αὐτὸ[x] ἔχειν καὶ πανταχοῦ καὶ ὡς μάλιστ'[y] ἐν ἑαυτῷ; καὶ εἴη ἂν εὐδαιμονέστατος, εἰ ἔχοι[z] χρυσίου μὲν τρία τάλαντα ἐν τῇ γαστρί, τάλαντον δ' ἐν τῷ κρανίῳ, στατῆρα δὲ χρυσοῦ ἐν ἑκατέρῳ τὠφθαλμῷ;[a] Φασί γε οὖν, ὦ Εὐθύδημε, ἔφη ὁ Κτήσιππος, τούτους εὐδαιμονεστάτους εἶναι Σκυθῶν καὶ ἀρίστους ἄνδρας, οἳ χρυσίον τε ἐν τοῖς κρανίοις ἔχουσι πολὺ τοῖς ἑαυτῶν, ὥς περ σὺ νῦν[b] δὴ ἔλεγες τὸν κύνα τὸν πατέρα, καὶ ὃ θαυμασιώτερόν γε

[q] δὲ om pr Γ, post διονυσόδωρος ponit rc Γ.—[r] δοκεῖ σοι ἀγαθὸν f.—[s] εἶναι om r.—[t] ἀγαθὸν Ξς.—[u] σφόδρα γ' 𝔄ΓΘBCyfr, σφόδρ' we: σφόδρα *ς.—[v] ὡμολόγεις Σ, ὁμολογεῖ e.—[w] οὖν om e.—[x] αὐτὸ δεῖ f, δοκεῖ αὐτὸ w.—[y] μάλιστ' Γ.—[z] ἔχει ΓΣr.—[a] τὠφθαλμῷ ΘΞΣBCwy, τὠφθαλμώ 𝔄: τῷ ὀφθαλμῷ *ς.—[b] νῦν om f.—[c] τῶν αὐ-

καὶ τόνδε τὸν ἑταῖρον] Vellem καὶ σὲ καὶ τόνδε τὸν ἑταῖρον. Claudicat enim oratio. Paullo post in verbis Ctesippi, Πάνυ, καὶ ταῦτά γε πολὺ, post πάνυ inserendum γε, quamvis alterum γε subsequatur. §. 61. πάνυ γε, ἔφην ἐγὼ, ὁμομήτριός γε· et mox ibid. Πάνυ γε, ἔφην, ὁ μέν γε ἐμὸς etc. §. 69. Ἔγωγε, ἔφην, καὶ πολλά γε. Heind.

§. 66. ὡμολογήκαμεν οὖν] Fortasse ὡμολόγηκα μὲν οὖν. Steph. Idem monuerat Serranus. Routh. Certam Stephani correctionem reposui. Heind.

καὶ εἴη ἂν εὐδαιμονέστατος] Sc. τις, quod subaudiri poterat etiam in præcesso δεῖ. Heind.

φασί γε οὖν, ὦ Εὐθύδ. ἔφ. ὁ Κτήσ. τούτους εὐδαιμ.] Hic aut diversa Platonem confudisse aut alium, quem sequeretur, quam Herodotum, auctorem habuisse notavit Valckenar. ad Herodot. iv. 26. secundum Herodotum enim iv. 65. non parentum aut amicorum craniis ipsos Scythas tanquam poculis, sed hostium, quos interfecissent, aut inimicorum item; Issedones solos parentum suorum crania deaurata custodivisse et velut ἀγάλματα veneratos esse, postquam cadaverum carnes cum alia commixtas comedissent. At nulla hic est parentum aut amicorum mentio; τὰ κράνια τῶν ἑαυτῶν, *ipsorum crania*, dicit Ctesippus eodem modo, quo ante Ctesippi canem, catulorum patrem, ipsius Ctesippi patrem dixerat Sophista §. 63. Ἔστι σοι κύων;—Ἔστιν οὖν αὐτῷ κυνίδια;—Οὐκοῦν πατήρ ἐστιν αὐτῶν ὁ κύων;—Τί οὖν; οὐ σός ἐστιν ὁ κύων;—Οὐκοῦν πατὴρ ὢν σός ἐστι, ὥστε σὸς πατὴρ γίγνεται ὁ κύων etc. Videlicet ut ibi ex hoc, πατὴρ ὢν σός ἐστι, Dionysodorus illud fecerat σὸς πατήρ ἐστι, eadem fallacia h. l. Ctesippus τὰ κράνια αὐτῶν ὄντα (*crania, quæ ipsi possident*) convertit in τὰ ἑαυτῶν, quod ipse significat hæc addens ὥσπερ σὺ νῦν δὴ ἔλεγες τὸν κύνα τὸν πατέρα. Itaque nihil h. l. Plato respexit nisi communem illam narrationem de Scythis τοῖς κρανίοις ἐκπώμασι utentibus. V. Strabo vii. p. 458. A. et p. 460. B.—εὐδαιμονεστάτους, *ditissimos*. Conf. Herodot. iv. 65. Heind.

ἔτι, ὅτι καὶ πίνουσιν ἐκ τῶν ἑαυτῶν κρανίων κεχρυσωμένων,[c] καὶ ταῦτα ἐντὸς[d] καθορῶσι, τὴν ἑαυτῶν κορυφὴν ἐν ταῖς
I. 300. χερσὶν ἔχοντες. [§. 67.] Πότερον δὲ ὁρῶσιν, ἔφη[e] ὁ Εὐθύδημος, καὶ Σκύθαι[f] [τε] καὶ οἱ[g] ἄλλοι ἄνθρωποι τὰ δυνατὰ ὁρᾷν ἢ τὰ ἀδύνατα; Τὰ δυνατὰ δή που. Οὐκοῦν καὶ σύ, ἔφη; Κἀγώ.[h] Ὁρᾷς οὖν τὰ ἡμέτερα ἱμάτια; Ναί. Δυνατὰ οὖν ὁρᾷν ἐστὶ[i] ταῦτα. Ὑπερφυῶς, ἔφη ὁ
II. i. 449. Κτήσιππος. Τί δέ; ἦ δ' ὅς. Μηδέν. σὺ δ' ἴσως οὐκ οἴει αὐτὰ ὁρᾷν·[j] οὕτως ἡδὺς εἶ. ἀλλά μοι δοκεῖς, Εὐθύδημε, οὐ καθεύδων ἐπικεκοιμῆσθαι,[k] καὶ εἰ[l] οἷόν τε λέγοντα μηδὲν[m] λέγειν, καὶ σὺ τοῦτο ποιεῖν. Ἦ γὰρ οὐχ οἷόν τε,[n]

τῶν κεχρυσωμένων f.—[d] ἐκτὸς Γ.—[e] ἔφη om f.—[f] σκῦθαι Γ.—[g] οἱ om f.—[h] : κἀγώ : Ξ.—[i] ἐστὶν ὁρᾷν f.—[j] αὐτὰ ὁρᾷν 𝔄Θ𝔵 : ὁρᾷν αὐτά *ς.—[k] ἐπικεκοιμᾶσθαι 𝔄Γ ΘΣf et pr B.—[l] εἰ add Stephanus.—[m] μὴ δὲ f. σοι Cy.—[n] τ' 𝔴𝔶𝔢f𝔵.—[o] ὃς om 𝔄Θ

§. 67. καὶ Σκύθαι τε καὶ οἱ ἄλλ. ἄνθρ.] Alterutrum in his, vel prius καὶ vel τε, vitiose redundat. Heind.

τὰ δυνατὰ ὁρᾷν, ἢ τὰ ἀδύνατα] Sita est, notante Waldgravio, in his ipsis verbis fallacia, quæ in sensum activum vel passivum accipere licet. Est igitur cavillatio Amphiboliæ. Routh.

οὐκοῦν καὶ σὺ, ἔφη, κἀγὼ] Locus a librariis pessime habitus, ut omnis ex eo lepos ac facetia prorsus evanuerit. Et primum quidem κἀγὼ ad Euthydemi non pertinet orationem, sed est Ctesippi responsum, ut legendum sit: οὐκοῦν καὶ σύ; Κἀγὼ, ἔφη. quam lectionem secutus est Ficinus. Sequentibus suam restitueris festivitatem, si Σὺ δ' ἴσως οὐκ οἴει ὁρᾷν αὐτά· οὕτως ἡδὺς εἶ· non Euthydemo, sed Ctesippo tribuas, ut sic scribatur: Μηδέν· σὺ δ' ἴσως—ἡδὺς εἶ· ἀλλὰ κ. τ. λ. Sic egregie Ctesippus, quas ipsi Euthydemus struxerat, insidias effugit. Reliqua in nostris Edd. et magis etiam in Ficini versione impedita sunt. Sed nil, opinor, quod reprehendas restabit, si ante οἷόντε inseras εἰ: *Videris mihi, si fieri possit, ut dicens quis nihil dicat, tu sane illud facere.* Sic apprime ad hæc Dionysodorus, Ἦ γὰρ οὐχ οἷόν τε, rogat, σιγῶντα λέγειν; Heusd.

οὐκοῦν καὶ σὺ, ἔφη; Κἀγὼ] Male vulgo distinguunt Οὐκοῦν καὶ σὺ, ἔφη, κἀγὼ, quum hoc Κἀγὼ manifesto sit Ctesippi responsum, ut recte accepit Ficinus: *Nonne et tu? Et ego similiter.* Atque nostrum in modum hæc distinguuntur in Bas. utraque, ut mihi quidem non opus videatur Heusdii correctione. Ctesippus novam hominis fallaciam animadvertens affirmat, *posse ea videre*, sc. *nihil*, quod hic reticet Euthydemum ludificans, sed statim post Euthydemi illud τί δέ; infert. Nam, quod recte monuit Heusdius, verba, σὺ δ' ἴσως οὐκ οἴει ὁρᾷν αὐτά· οὕτως ἡδὺς εἶ, non Euthydemi sunt, sed Ctesippi, hoc dicentis: *tu vero fortasse non putas ea videre; sed ecce, nihil vident.* Itaque dici hæc possunt ὁρᾷν, modo addas μηδέν. Heind.

ἡδὺς] Ἡδὺς, παρὰ Πλάτωνι ὁ εὐήθης καὶ ἄφρων. Etym. Magn. p. 420. Vide Rhunken. ad Timæum. Routh.

καὶ οἷόντε λέγοντα] Legitur etiam, καὶ οἷόν τε λέγων τὶ, μηδὲν λ. Sed ne ita quidem procedit hæc orationis structura. Repono igitur, καὶ, εἰ οἷόντε λέγοντα, etc. hoc sensu, *Ac, si fieri potest ut qui dicit, nihil dicat, id tu quoque facere mihi videris.* Steph.

καὶ οἷόντε λέγοντα μηδὲν λέγειν] Recipienda est Stephani conjectura, eoque magis, quod εἰ post καὶ facile potuerit excidere. Unde autem petita sit lectio altera a Stephano hic allata, ignoro, nisi forte e Serrani interpretatione, quæ sic se habet, *et quasi aliquid dicas, nihil dicere* Nec multo aliter vertit Cornarius. Routh.

ἔφη ὁ Διονυσόδωρος, σιγῶντα λέγειν; Οὐδ᾽ ὁπωστιοῦν, ἦ δ᾽ ὅς[o] ὁ Κτήσιππος. Ἆρ᾽ οὐδὲ λέγοντα σιγᾶν; Ἔτι ἧττον, ἔφη. Ὅταν[p] οὖν λίθους λέγῃς καὶ ξύλα καὶ σιδήρια, οὐ σιγῶντα λέγεις; Οὔκουν εἴ γε[q] ἐγώ, ἔφη,[r] παρέρχομαι ἐν τοῖς χαλκείοις,[s] ἀλλὰ φθεγγόμενα καὶ βοῶντα μέγιστον τὰ σιδήρια λέγεται, ἐάν τις ἅψηται· ὥστε τοῦτο μὲν ὑπὸ σοφίας ἔλαθες οὐδὲν εἰπών. ἀλλ᾽ ἔτι μοι τὸ ἕτερον ἐπιδείξατον, ὅπως αὖ ἔστι[t] λέγοντα σιγᾶν. Καί μοι ἐδόκει ὑπεραγωνιᾶν ὁ Κτήσιππος διὰ τὰ παιδικά. [§. 68.] Ὅταν σιγᾷς, ἔφη ὁ[u] Εὐθύδημος, οὐ πάντα σιγᾷς; Ἔγωγε, ἦ δ᾽ ὅς. Οὐκοῦν καὶ τὰ λέγοντα σιγᾷς, εἴ περ τῶν ἁπάντων[v] ἐστὶ τὰ λέγοντα.[w] Τί δέ;[x] ἔφη ὁ Κτήσιππος, οὐ σιγᾷ πάντα;[y] Οὐ δή που, ἔφη ὁ Εὐθύδημος. Ἀλλ᾽ ἆρα, ὦ βέλτιστε, λέγει τὰ πάντα; Τά γε δή που λέγοντα. Ἀλλ᾽,[z] ἦ δ᾽ ὅς, οὐ τοῦτο ἐρωτῶ, ἀλλὰ τὰ πάντα σιγᾷ ἢ λέγει; Οὐδέτερα καὶ[a] ἀμφότερα, ἔφη ὑφαρπάσας ὁ Διονυσόδωρος·[b] εὖ γὰρ οἶδα ὅτι τῇ ἀποκρίσει οὐχ ἕξεις ὅ τι χρῇ.[c] Καὶ ὁ Κτήσιππος, ὥς περ εἰώθει, μέγα II. i. 450.
πάνυ ἀνακαγχάσας, Ὦ Εὐθύδημε, ἔφη, ὁ ἀδελφός σου

r.—[p] ὅταν...ἔφη om 𝔴.—[q] ἦγε 𝔄Θ, ἦγε ΞΣBCe, ἦγε Γy.—[r] ἔφη om Σ.—[s] χαλκίοις 𝔄ΓΘ.—[t] ἐστι om Γ.—[u] ὁ om pr Γ.—[v] πάντων f.—[w] λεγόμενα 𝔄ΓΞΣBCEιcye fr.—[x] δ᾽ f.—[y] πάντῃ 𝔴.—[z] ἀλλ᾽ Γ.—[a] : καὶ Ξ.—[b] ὁ διονυσόδωρος ὑφαρπάσας Σ.—

καὶ εἰ οἷόν τε λέγοντα] Voculam εἰ de certa Stephani conjectura inserui. Heind.

σιγῶντα λέγειν] Arist. Soph. Elench. c. 4. laudante Routhio: Παρὰ δὲ τὴν ἀμφιβολίαν οἱ τοιοίδε λόγοι.—ἆρά ἐστι σιγῶντα λέγειν; διττὸν γάρ ἐστι καὶ τὸ σιγῶντα λέγειν, τό τε τὸν λέγοντα σιγᾶν καὶ τὸ τὰ λεγόμενα. Heind.

ἀλλὰ φθεγγόμενα τὰ σιδήρια λέγεται] I. e. ὅταν τότε σιδήρια λέγω, φθεγγόμενα καὶ βοῶντα μέγιστον, ἀλλ᾽ οὐ σιγῶντα, λέγω. Nam λέγεται hoc, in quo hærebat vir doctus, spectat ad prægressa οὐ σιγῶντα λέγεις; neque verti debet h. l. *traditur*, *fertur*. Heind.

§. 68. *ἐδόκει ὑπεραγωνιᾶν*] Quid sit ὑπεραγωνιᾶν h. l. declarabunt hæc e Charmid. §. 21. Καὶ ὁ Κριτίας δῆλος μὲν ἦν καὶ πάλαι ἀγωνιῶν καὶ φιλοτίμως πρός τε τὸν Χαρμίδην καὶ πρὸς τοὺς παρόντας ἔχων· μόγις δὲ ἑαυτὸν ἐν τῷ πρόσθεν κατέχων (quominus sermoni se immisceret) τότε οὐχ οἷός τε ἐγένετο. Heind.

εἴπερ τῶν ἁπάντων ἐστὶ τὰ λέγοντα] Legendum εἴπερ τῶν ἁπάντων ἐστὶ καὶ τὰ λέγοντα. Vulgo habetur falso εἴπερ τὰ λεγόμενα pro τὰ λέγοντα. (in Ald. et Bass.) Cornarius. Hoc emendabat ex Ficini versione Cornarius, in qua legitur, *illa quæ dicunt;* nihil autem necesse erat particulam καὶ addere. Routh.

εἴπερ τῶν ἁπάντων ἐστὶ τὰ λέγοντα] Ita recte cum Cornario scripsit Steph. pro τὰ λεγόμενα, quod est in Cod. Par. et Edd. vett. Ficinus: *illa, quæ dicunt.* Neque displicet, quod huic præfigi voluit Cornarius, καὶ, modo id libri alicujus auctoritate firmaretur. Heind.

οὐ σιγᾷ τὰ πάντα] Et hoc τὰ πάντα de *rerum hac universitate* capiendum. Heind.

ἐξημφοτέρικε[d] τὸν λόγον, καὶ ἀπόλωλέ τε[e] καὶ ἥττηται.[f] Καὶ ὁ Κλεινίας πάνυ ἥσθη[g] καὶ ἐγέλασεν, ὥστε[h] ὁ Κτήσιππος ἐγένετο πλεῖον[i] ἢ δεκαπλάσιος.[j] ὁ δέ μοι, πανοῦργος[k] ὤν, ὁ Κτήσιππος, παρ' αὐτῶν τούτων αὐτὰ ταῦτα

[c] χρὴ 𝔄.—[d] ἐξημφοτέρηκεν Ξwϱ.—[e] τε om wϱ et pr Ξ.—[f] ἥττησαι BCyꝛ et pr Γ.—[g] ἥσθη om Γ.—[h] ὥσπερ 𝔄Θ.—[i] πλεῖον 𝔄ΓΘΞBCwyeꝛ, πλέον 𝔣 : πλείων *s.—[j] διπλάσιος ꝛ.—[k] δέ μοι πανοῦργος 𝔄ΓΘΞΣBCwyeꝛ : δ' ἐδόκει μοι ἅτε πανοῦργος *s.—[l] παρακηκόει

ἐξημφοτέρικε τὸν λόγον] 'Videtur Ctesippus,' ait Stephanus, 'in hoc verbo respicere ad responsum Dionysodori dicentis ἀμφότερα.' Audi quoque Rhunk. ad Tim. Ἐπαμφοτερίσαι. εἰς ἀμφιβολίαν ἀγαγεῖν τὸν λόγον (quibus verbis addunt Suidas et Cyrillus Lex. Ms. ὡς καθ' ἑκάτερον ἐλέγχεσθαι) 'Dignus etiam est, qui observetur, singularis usus verbi ἐξαμφοτερίζειν, Euthyd. h. l. ubi interrogatus aliquis de binis rebus, et respondens οὐδέτερα καὶ ἀμφότερα, lepide dicitur ἐξαμφοτερίζειν τὸν λόγον. quo forte respicit Hesychius: Ἐξαμφοτερίσαι. τὸ ἀμφίβολον ποιῆσαι, καὶ τὸ δύο πραγμάτων ἐκπεσεῖν.' Etymologi glossa est, Ἐξαμφοτερίσαι, τὸ τὰ σαφέστερα εἰς ἀμφίβολον περιστῆσαι. Routh. qui sic in addend. 'Plato in l. v. de Rep. p. 479. C. ταῦτα ἐπαμφοτερίζειν, καὶ οὔτ' εἶναι οὔτε μὴ εἶναι οὐδὲν αὐτῶν, δυνατὸν παγίως νοῆσαι, οὔτ' ΑΜΦΟΤΕΡΑ ΟΥΤ' ΟΥΔΕΤΕΡΟΝ. Scilicet eunuchus, de quo ænigmatice ibi dicitur, et vir est et non vir, contraque, *nec* vir est nec non vir.'

ἐξημφοτέρικε τὸν λόγον] *Sermonem eo perduxit, ut de eo in utramque partem statui posset.* Heind.

ἀπολώλεκε] Vulgo καὶ ἀπόλωλέ τε, sed non ipse Dionysodorus periit; λόγος ille periit a Dionysodoro pessundatus. Phileb. p. 14. A. κᾆπειθ' ἡμῖν οὗτος ὁ λόγος, ὥσπερ μῦθος, ἀπολόμενος οἴχοιτο. Nihil igitur dubitavi reponere ἀπολώλεκε, quod Ficinus quoque expressit vertens, *perdidit*. Similiter supra §. 59. extr. Euthydemus ad Dionysodorum: Διαφθείρεις τὸν λόγον, καὶ φανήσεται οὗτος οὐκ ἐπιστάμενος καὶ ἐπιστήμων ἅμα ὢν καὶ ἀνεπιστήμων. Heind.

ἥττηται] ἥττησαι Ms. Par. minus recte, opinor. Routh.

ὥστε ὁ Κτήσιππος ἐγένετο πλείων ἢ δεκαπλάσιος] Comparat his Heusdius illa Menexen. p. 285. A. γενναίως πάνυ διατίθεμαι ἐπαινούμενος ὑπ' αὐτῶν, καὶ ἑκάστοτε ἕστηκα ἀκροώμενος (vel αἰωρούμενος, ut acute conjecit Valcken. in Eleg. Callimach. p. 244.) καὶ κηλούμενος, ἡγούμενος ἐν τῷ παραχρῆμα μείζων καὶ γενναιότερος καὶ καλλίων γεγονέναι. Apposita magis hæc fuerint Aristid. Orat. Sacr. i. p. 494. Ἤδη μέν τις καὶ ἄλλος χρηστοῦ τινος αὐτῷ συμβάντος καὶ βουλόμενος ἐνδείξασθαι τὴν ἡδονὴν εἶπεν, ὡς ἄρα εἴη πλείων ἢ διπλάσιος γεγονώς. Heind.

ὁ δ' ἐδόκει μοι—ὁ Κτήσιππος—παρηκηκόει] Mirum cui forte videatur παρηκηκόει non pendere ab ἐδόκει, sed absolute esse positum. Et sane, minus bene se habet hæc dictio. Malim: ὁ δὲ, δοκεῖ μοι, ἅτε κ. λ. Similiter Protag. p. 314. C. Δοκεῖ οὖν μοι, ὁ θυρωρὸς, εὐνοῦχός τις, κατήκουεν ἡμῶν· ubi δοκεῖ μοι nullam habet in sequens verbum vim. Posterius ὁ Κτήσιππος, tamquam inutile annotatoris additamentum, expungendum videtur. Heusd.

ὁ δὲ, δοκεῖ μοι, ἅτε] Sic scripsi cum Heusdio propter seq. παρηκηκόει pro vulgato ὁ δ' ἐδόκει μοι. Menexen. p. 236. B. Ἔπειτα τὰ μὲν ἐκ τοῦ παραχρῆμά μοι διῄει, οἷα δέοι λέγειν, τὰ δὲ πρότερον ἐσκεμμένη, ὅτε, ἐμοὶ δοκεῖ, συνετίθει τὸν ἐπιτάφιον λόγον etc. Neque quidquam tritius est interpositis his, δοκεῖ μοι, ἐμοὶ δοκεῖν. Sed quod idem Heusdius posterius hoc ὁ Κτήσιππος tanquam inutile annotatoris additamentum expungendum judicavit, non meminerat, sexcenties ita post ὁ δὲ a Platone denuo nomen proprium inferri. Atque h. l. si expunxeris ὁ Κτήσιππος, ὁ δὲ male aliquis referat ad Cliniam. Heind.

πανοῦργος ὢν ὁ Κτήσιππος] De Ctesippi, discipulique ejus Menexeni, τῇ ἐριστικῇ, hæc sunt in Platonis Lyside p. 211. B. Ὅρα, inquit Socrates, ὅπως ἐπικουρήσῃς μοι, ἐάν με ἐλέγχειν ἐπιχειρῇ ὁ Μενέξενος. ἢ οὐκ οἶσθα ὅτι ἐριστικός ἐστι; Ναὶ μὰ Δία, ἔφη, σφόδρα γε. διὰ ταῦτά τοι καὶ βούλομαί σε αὐτῷ διαλέγεσθαι. Ἵνα, ἦν δ' ἐγὼ, καταγέλαστος γένωμαι;

ταρακηκόει·[l] οὐ γάρ ἐστιν ἄλλων τοιαύτη σοφία τῶν νῦν
ἰνθρώπων. [§. 69.] Κἀγὼ εἶπον, Τί γελᾷς, ὦ Κλεινία,
πὶ σπουδαίοις οὕτω πράγμασι καὶ καλοῖς; Σὺ γὰρ ἤδη
ι πώποτε εἶδες,[m] ὦ Σώκρατες, καλὸν πρᾶγμα;[n] ἔφη ὁ
Διονυσόδωρος. Ἔγωγε, ἔφην, καὶ πολλά γε, ὦ Διονυσό-
δωρε. Ἆρ'[o] ἕτερα ὄντα τοῦ καλοῦ, ἔφη, ἢ ταὐτὰ τῷ κα- I. 301.
λῷ; Κἀγὼ[p] ἐν παντὶ ἐγενόμην ὑπ'[q] ἀπορίας, καὶ ἡγούμην
δίκαια[r] πεπονθέναι ὅτι ἔγρυξα, ὅμως δὲ[s] ἕτερα ἔφην αὐτοῦ
γε[t] τοῦ καλοῦ· πάρεστι μέντοι ἑκάστῳ αὐτῶν κάλλος τι·
Ἐὰν οὖν,[u] ἔφη,[v] παραγένηταί σοι βοῦς, βοῦς εἶ, καὶ ὅτι
ῦν ἐγώ σοι πάρειμι, Διονυσόδωρος εἶ; Εὐφήμει τοῦτό γε,
ἦν δ' ἐγώ. Ἀλλὰ τίνα τρόπον, ἔφη, ἑτέρου[w] ἑτέρῳ παρα-
γενομένου τὸ ἕτερον ἕτερον ἂν εἴη; Ἆρα τοῦτο, ἔφην ἐγώ,
ἀπορεῖς; ἤδη δὲ[x] τοῖν ἀνδροῖν[y] τὴν σοφίαν[z] ἐπεχείρουν μι- II. i. 451.

ΥΓΘ et pr B: παρηκηκόει *ς.—[m] ἴδες 𝔄Θ.—[n] πρᾶγμ' Γ.—[o] ἆρ' Γ, ἀλλὰ 𝔣.—[p] καὶ
:.—[q] ὑπ' Γ.—[r] δώδεκα w.—[s] γε Θ.—[t] γε om Θ.—[u] οὖν om 𝔣.—[v] ἔφην y.—[w] ἑτέ-
ρον Σwe.—[x] διὰ 𝔄Θr.—[y] τῶν ἀνδρῶν 𝔄Θr.—[z] τὴν σοφίαν ante τοῖν ponit Γ.—

Οὐ μὰ Δία, ἔφη, ἀλλ' ἵνα αὐτὸν κολάσῃς. Πόθεν; ἦν δ' ἐγὼ, οὐ ῥᾴδιον. δεινὸς γὰρ ὁ ἄνθρωπος, Κτησίππου μαθητής. πάρεστι δέ τοι αὐτὸς (οὐχ ὁρᾷς;) Κτήσιππος. Routh.

παρηκηκόει] Illud παρακούειν h. l. est subauscultare, ut Aristoph. Ran. 750. παρακούων δεσποτῶν Ἅττ' ἂν λαβῶσι. Conf. Perizon. ad Ælian. V. H. v. 9. Heind.

§. 69. ἆρα ἕτερα ὄντα τοῦ καλοῦ;] Hoc est, ab idea vel forma pulchri, quæ sola mente cernitur; dum omnia pulchra, uti ipse ait Plato in Phædone, §. 49. cujus præsentia, sive communione, sive quocunque alio modo hæc adsit, fiunt pulchra. De hisce ideis, quæ Platonicæ vocantur, multi multa disputarunt. De iisdem quoque extat ipsius Platonis dialogus, qui Parmenidis philosophi nomine celebri inscribitur. Ii interim a Nostro in Sophista notantur, qui, horum fratrum adinstar, cum abstrusis quæstionibus quasi ludentes inanes rixas et cavillationes pueriliter movent; τὸ δὲ ταυτὸν ἕτερον ἀποφαίνειν ἁμηγέπῃ, καὶ τὸ θάτερον ταυτὸ, καὶ τὸ μέγα σμικρὸν, καὶ τὸ ὅμοιον ἀνόμοιον, καὶ χαίρειν οὕτω τἀναντία ἀεὶ προφέροντα ἐν τοῖς λόγοις, οὔτε τις ἔλεγχος οὗτος ἀληθινὸς, ἄρτι τε τῶν ὄντων τινὸς ἐφαπτομένου δῆλος νεογενὴς ὤν. p. 259. D. Routh.

ἐν παντὶ ἐγενόμην] Eodem modo dicitur ἐν παντὶ εἶναι, *in maximo timore esse*, v. Wyttenb. ad Plutarch. de S. N. V. p. 127. et εἰς πᾶν ἐλθεῖν s. ἀφικέσθαι. V. Valcken. ad Herodot. vii. 118. Heind.

ἔγρυξα] Schol. ἔκραξα ἢ ἐφθεγξάμην, ὡς νῦν. Est *mussitare, hiscere*. Conf. Schol. ad Aristoph. Plut. 598. Heind.

παραγένηταί σοι βοῦς] Est fallacia Homonymiæ: sita est enim ambiguitas in vocibus, παραγίγνομαι et πάρειμι, nam diverso sensu παραγίγνονται alicui bos et pulchritudo. Routh.

ἀλλὰ τίνα τρόπον, ἔφη, ἑτέρου ἑτέρῳ] *Sed quonam tandem modo alterum alteri adesse necesse est, ut aliquid existat alterum?* V. c. quonam modo τὸ κάλλος rei alicui, quæ non est αὐτὸ τὸ κάλλος, sed ἕτερόν τι, adsit necesse est, ut hæc res καλόν τι fiat? Jam Socrates, quasi hanc Sophistæ quæstionem non intelligeret, in alium sensum detorquens hæc ejus verba, τὸ ἕτερον ἕτερον ἂν εἴη, miratur hoc quæri a Dionysodoro, quum, ut τὸ καλὸν sit καλὸν, τὸ αἰσχρὸν αἰσχρὸν, τὸ ταυτὸν ταυτὸν, ita ne puer quidem dubitare possit, num τὸ ἕτερον ἕτερον putari debeat. Heind.

μεῖσθαι, ἅτε ἐπιθυμῶν αὐτῆς. Πῶς γὰρ οὐκ ἀπορῶ, ἔφη, καὶ ἐγὼ καὶ οἱ ἄλλοι ἅπαντες[a] ἄνθρωποι ὃ μὴ ἔστιν; Τί λέγεις,[b] ἦν δ' ἐγώ, ὦ Διονυσόδωρε; οὐ τὸ καλὸν καλόν ἐστι καὶ τὸ αἰσχρὸν αἰσχρόν; Ἐὰν ἔμοιγε, ἔφη, δοκῇ. Οὐκοῦν δοκεῖ; Πάνυ γε,[c] ἔφη. Οὐκοῦν καὶ τὸ ταὐτὸν ταὐτὸν[d] καὶ τὸ ἕτερον ἕτερον. οὐ γὰρ δή που τό γε ἕτερον ταὐτόν, ἀλλ' ἔγωγε οὐδ' ἂν παῖδα ᾤμην τοῦτο ἀπορῆσαι, ὡς οὐ τὸ ἕτερον ἕτερόν ἐστιν. [§. 70.] Ἀλλ', ὦ Διονυσόδωρε, τοῦτο μὲν ἑκὼν παρῆκας, ἐπεὶ τὰ ἄλλα μοι δοκεῖτε ὥσπερ οἱ δημιουργοί, οἷς ἕκαστα προσήκει ἀπεργάζεσθαι, καὶ ὑμεῖς τὸ διαλέγεσθαι παγκάλως ἀπεργάζεσθαι.[e] Οἶσθα οὖν, ἔφη,[f] ὅ τι προσήκει ἑκάστοις τῶν δημιουργῶν; πρῶτον τίνα χαλκεύειν προσήκει; Οἶδα[g] ἔγωγε ὅτι χαλκέα. Τίνα[h] δὲ κεραμεύειν; Κεραμέα. Τίνα δὲ σφάττειν τε καὶ ἐκδέρειν[i] καὶ τὰ μικρὰ[j] κρέα κατακόψαντα ἕψειν καὶ ὀπτᾶν; Μάγειρον, ἦν δ' ἐγώ. Οὐκοῦν ἐάν τις, ἔφη, τὰ προσήκοντα πράττῃ, ὀρθῶς πράξει; Μάλιστα. Προσήκει δέ γε,[k] ὡς φής,[l] τὸν μάγειρον κατακόπτειν καὶ ἐκδέρειν.[i] ὡμολόγησας[m] ταῦτα ἢ οὔ; Ὡμολόγησα, ἔφην, ἀλλὰ συγγνώμην μοι ἔχε. Δῆλον τοίνυν, ἦ δ' ὅς, ὅτι ἄν τις σφάξας
II. i. 452. τὸν μάγειρον καὶ κατακόψας ἑψήσῃ καὶ ὀπτήσῃ, τὰ προσήκοντα ποιήσει· καὶ ἐὰν τὸν χαλκέα τις αὐτὸν χαλκεύῃ[n]

[a] πάντες f.—[b] δὲ r.—[c] γ' wyefr.—[d] ταυτὸν ταυτὸν Γ.—[e] ἀπεργάζεσθε ΣCyr.—[f] ἔφη add Θr.—[g] οἶσθα ℨΓBefr.—[h] τίνα...τίνα Σr : τί...τί *s.—[i] ἐκδαίρειν Σ.—[j] σμικρὰ r.—[k] γε om Γw.—[l] φασι E.—[m] ὡμολόγησ' Γ.—[n] χαλκεύσῃ f.—[o] οὕτω

πῶς γὰρ οὐ κ. τ λ.] *Quidni vero et ego et omnes alii homines dubitemus de eo quod minime est?* Steph.

§. 70. ἀλλ', ὦ Διον. τοῦτο μὲν ἑκὼν παρῆκας] *Sed hoc quidem sponte et consulto, Dionysodore, negligentius et remissius dixisti.* Heind.

ἔπειτα ἀλλὰ] Vox ἔπειτα suspecta est. Steph.

ἐπεὶ τὰ ἄλλα] Ita vulgatam scripturam ἔπειτα ἄλλα correxit jam Cornarius. Heind.

οἷς ἕκαστα] I. e. *in suo quisque genere.* Prius istud ἀπεργάζεσθαι vereor ne elegantius abesset. Heind.

παγκάλως] παγκάλους Bas. 2. Routh.

οἶσθα οὖν ὅ,τι προσήκει] Hoc loco vox ἔφη fortasse excidit; inchoatur enim fallaciam sophista, quæ Amphiboliæ est. Certe habet vocem *inquit* Ficinus. Routh.

οἶσθα οὖν, ὅ,τι προσήκει] Dionysodori, non Socratis, hæc sunt verba, ut post οὖν nemo non expectet ἔφη, quod expressit Ficinus: *Nostin', inquit, quid* etc. Heind.

δημιουργῶν] Potest interrogandi nota poni post δημιουργῶν. Steph.

τίνα χαλκ. προσήκει] Dicit τίνα, non τίνι, ut statim ambiguitas sermonis nascatur. Cod. Par. τίνα χαλκεύειν προσήκει, οἶσθα; Ἔγωγε. Non male. Heind.

καὶ τὸν κεραμέα κεραμεύῃ, καὶ οὗτος[o] τὰ προσήκοντα
πράξει. [§. 71.] Ὦ Πόσειδον, ἦν δ' ἐγώ, ἤδη κολοφῶνα
ἐπιτίθης[p] τῇ σοφίᾳ. ἆρά μοί[q] ποτε[r] αὕτη παραγενήσεται,
ὥστε μοι οἰκεία γενέσθαι; Ἐπιγνοίης ἂν αὐτήν, ὦ Σώκρα-
τες, ἔφη, οἰκείαν γενομένην; Ἐὰν σύ γε βούλῃ, ἔφην ἐγώ,
δῆλον ὅτι.[s] Τί δέ; ἦ δ' ὅς, τὰ σαυτοῦ οἴει γιγνώσκειν;
Εἰ μή τι σὺ ἄλλο[t] λέγεις· ἀπὸ σοῦ γὰρ δεῖ ἄρχεσθαι,
τελευτᾷν δ' εἰς Εὐθύδημον τόνδε. Ἆρ' οὖν, ἔφη, ταῦτα
ἡγεῖ[u] σὰ εἶναι ὧν ἂν ἄρξῃς[v] καὶ ἐξῇ σοι αὐτοῖς χρῆσ-
θαι ὅ τι ἂν βούλῃ; οἷον βοῦς καὶ πρόβατα[w] ἆρ' ἂν I. 302.
ἡγοῖο[x] ταῦτα σὰ εἶναι, ἅ σοι ἐξείη[y] καὶ ἀποδόσθαι καὶ
δοῦναι καὶ θῦσαι ὅτῳ βούλοιο[z] θεῶν; ἃ δ' ἂν μὴ οὕτως
ἔχῃ, οὐ σά; Κἀγώ, ᾔδη[a] γὰρ ὅτι ἐξ αὐτῶν καλόν τι ἀνα-
κύψοι[b] τὸ τῶν ἐρωτημάτων, καὶ ἅμα βουλόμενος ὅτι
τάχιστ' ἀκοῦσαι, Πάνυ μὲν οὖν, ἔφην, οὕτως[c] ἔχει· τὰ[d]
τοιαῦτα ἐστὶ μόνα ἐμά. Τί[e] δέ; ζῶα, ἔφη, οὐ ταῦτα
καλεῖς ἃ ἂν ψυχὴν ἔχῃ; Ναί, ἔφην. Ὁμολογεῖς οὖν
τῶν ζώων ταῦτα μόνα εἶναι[f] σά, περὶ ἃ ἄν σοι ἐξουσία ᾖ
πάντα ταῦτα ποιεῖν ἃ νῦν δὴ ἐγὼ[g] ἔλεγον; Ὁμολογῶ.

corr Γ.—[p] ἐπιτιθεὶς 𝔄Θ, ἐπιτίθεις Ε.—[q] μή Σwϱ.—[r] τότε 𝔵.—[s] ἔφη βούλῃ ἐγὼ δὲ (a) δηλονότι 𝔣.—[t] ἄλλο σὺ Σ𝔣.—[u] ἡγῇ ταῦτα 𝔵.—[v] λέξῃς 𝔣.—[w] πρόβατον ΣΒ, πρόβατον 𝔄w𝔵.—[x] ἡγοῖ ὅταν ταῦτα 𝔄, ἡγοῖο τ' ἂν ταῦτα 𝔵.—[y] ἐξήει Σ, ἔξει ἡ 𝔄.—[z] βούλει Εs.—[a] ᾔδη 𝔄ΘΕ, ἤδην w: ᾔδειν corr ΓΒ cum *s.—[b] ἀνακύψοι τὸ ΣCwy et pr (o) Γ, ἀνακύψει τὸ Β, ἀνακύψει τὸ Ξϱ: ἀνακύψοιτο s.—[c] οὕτως ἔφην 𝔣.—[d] ἔχει καὶ τὰ

§. 71. *κολοφῶνα*] Schol. ad Plat. de Legg. ii. p. 225. *κολοφὼν σημαίνει τὸ κῦρος τῆς ἐπικρίσεως*. Vid. Ruhnkenii not. in Heusd. Specim. Crit. p. 33. ad Theætet. p. 153. C. Ceterum alias semper fere huic *κολοφῶνα* præfigi solet art. *τόν*. Heind.

ἐπιγνοίης] *Agnosceresne illam, postquam tibi peculiaris fuisset?* Steph.

ἐὰν σύ γε βούλῃ—δηλονότι] Sc. *ἐπιγνώσομαι*. Hæc non assequor cur transponi voluerit Cornarius: *Ἐπιγνοίης—οἰκ. γενομένην; Ἐὰν σύ γε βούλῃ, ἔφην. Τί δέ; ἦ δ' ὅς, τὰ σαυτοῦ οἴει γιγνώσκειν; Ἐγὼ δηλονότι, εἰ μή τι σὺ ἄλλο λέγεις*. Nam post *γιγνώσκειν* deest affirmandi vocula facile supplenda, ut Hipp. Maj. §. 25. ubi vid. not. Heind.

ἀπὸ σοῦ γὰρ δεῖ ἄρχ., τελευτᾷν δὲ] *Nam vos instar omnium estis. A te incipiendum, in fratre tuo desinendum; missis ceteris omnibus in vestra amborum suffragatione acquiescendum.* Hom. Iliad. ix. 96. *Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγαμέμνον, Ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι· οὕνεκα πολλῶν Λαῶν ἐσσὶ ἄναξ* etc. Horat. Ep. i. 1. 'Prima dicte mihi, summa dicende Camœna.' Conf. Ruhnken. ad Hymn. in Bacch. v. 9. Heind.

ὧν ἂν ἄρξῃς καὶ ἐξῇ σοι] Conf. not. ad Gorg. §. 157.—*ὅτῳ βούλοιο θεῶν*. Sic pro *βούλει* Cod. Par. Tum in verbis *ᾔδη γάρ, ὅτι* etc. ibid. scriptum *ᾔδει*, unde Atticam formam *ᾔδη* reposui loco vulgatæ *ᾔδειν*. V. not. ad §. 2. Heind.

II. i. 453. [§. 72.] Καὶ ὅς, εἰρωνικῶς πάνυ ἐπισχὼν ὥς τι μέγα σκοπούμενος, Εἰπέ μοι, ἔφη, ὦ Σώκρατες, ἔστι σοι Ζεὺς πατρῷος;[h] Καὶ ἐγὼ ὑποπτεύσας[i] ἥξειν τὸν λόγον ᾗ περ ἐτελεύτησεν, ἄπορόν τινα στροφὴν ἔφευγόν τε καὶ[j] ἐστρεφόμην ἤδη, ὥς περ ἐν δικτύῳ εἰλημμένος· Οὐκ ἔστιν, ἦν δ' ἐγώ, ὦ Διονυσόδωρε. Ταλαίπωρος ἄρα τις[k] σύ γε ἄνθρωπος εἶ καὶ οὐδὲ[l] Ἀθηναῖος, ᾧ μήτε θεοὶ πατρῷοί εἰσιν μήτε ἱερὰ μήτε ἄλλο μηδὲν καλὸν καὶ ἀγαθόν. Ἔα, ἦν δ' ἐγώ, ὦ Διονυσόδωρε, εὐφήμει τε[m] καὶ μὴ χαλεπῶς με προδίδασκε. ἔστι γὰρ ἔμοιγε καὶ βωμοὶ[n] καὶ ἱερὰ οἰκεῖα καὶ πατρῷα καὶ τἆλλα ὅσα περ τοῖς ἄλλοις Ἀθηναίοις τῶν τοιούτων. Εἶτα τοῖς ἄλλοις, ἔφη, Ἀθηναίοις οὐκ ἔστι Ζεὺς ὁ πατρῷος; Οὐκ ἔστιν, ἦν δ' ἐγώ, αὕτη ἡ ἐπωνυμία Ἰώνων οὐδενί, οὔθ'[o] ὅσοι ἐκ τῆς[p] πόλεως ἀπῳκισ-

Ξ.—[e] τὰ Σ.—[f] εἶναι μόνα y.—[g] ἐγὼ om Σ.—[h] πατρώϊος 𝔄, qui et mox πατρώϊοι, πατρώϊα.—[i] ὑποπτ. post λόγον ponit Γ.—[j] ἐκφεύγοντες καὶ Θ.—[k] τε 𝔄Θ.—[l] σὺ δὲ 𝔯.—[m] τε om 𝔣.—[n] καὶ βωμοὶ om 𝔄Θ : καὶ βωμὸς E𝔣.—[o] οὔθ'...οὔθ'] libri οὐδ'...

§. 72. ἥξειν τὸν λόγον ἧπερ ἐτελεύτησεν] §. 70. extr. verbis Δῆλον τοίνυν—ὅτι, ἄν τις σφάξας τὸν μάγειρον καὶ κατακόψας ἑψήσῃ καὶ ὀπτήσῃ, τὰ προσήκοντα ποιήσει etc. HEIND.

ἄπορόν τινα στροφὴν ἐφ.] *Fallaciam, unde exitus nullus erat, effugere tentabam meque torquebam velut reti quodam captus.*—ἐν δικτύῳ εἰλημμένος dictum, ut ἐν δικτύῳ δεδεμένος Aristoph. Av. 1083. HEIND.

ἔα] *Missum hoc fac,* ut sæpius ἐᾶν sine accusativo adhibetur; nisi quis h. l. interjectionem illam agnoscere velit, quæ est in Protag. p. 314. D. Ἔα, ἔφη, σοφισταί τινες. Conf. Hesych. v. ἔα δή. Sed prius potius arbitror. HEIND.

προδίδασκε] Valet vox ista, *procœmia doctrinæ tradere,* et *quasi experimentum discipuli capere.* Vide Aristoph. Nub. 476. ROUTH.

προδίδασκε] I. e. δίδασκε. V. not. ad Gorg. §. 98. HEIND.

ἔστι γὰρ ἔμοιγε καὶ βωμοὶ] Utrum εἰσί? STEPH. Ἔστι retinendum propter nomina neutrius generis, quæ sequuntur. ROUTH.

ἔστι] Miror Stephanum εἰσὶ conjectantem pro ἔστι. de Rep. ii. p. 363. A. ἵνα δοκοῦντι δικαίῳ εἶναι γίγνηται ἀπὸ τῆς δόξης ἀρχαί τε καὶ γάμοι καὶ ὁσάπερ Γλαύκων διῆλθεν ἄρτι. Ibid. v. p. 462. E. Τί οὖν; ἔστι μέν που καὶ ἐν ταῖς ἄλλαις πόλεσιν ἄρχοντές τε καὶ δῆμος, ἔστι δὲ καὶ ἐν αὐτῇ; Similis, non eadem est ratio de Legg. v. p. 732. E. Ἔστι δὴ φύσει ἀνθρώπειον μάλιστα ἡδοναὶ καὶ λῦπαι καὶ ἐπιθυμίαι, aut Isocrat. Paneg. p. 54. B. Steph. Ἔστι γὰρ ἀρχικώτατα μὲν τῶν ἐθνῶν καὶ μεγίστας δυναστείας ἔχοντα Σκύθαι καὶ Θρᾷκες καὶ Πέρσαι, itemque illa, cujus exempla dedit Dorvill. ad Charit. p. 487. Neque multum distat vetustum illud Hesiodi Τῆς δ' ἦν τρεῖς κεφαλαί, de quo vid. Valcken. ad Herodot. v. 12. HEIND.

οὐκ ἔστιν—αὕτη ἡ ἐπωνυμία Ἰώνων] Obstare his videntur, quæ leguntur apud Aristoph. Nub. 1468., ubi Strepsiades ille filio obedientiam detrectanti Ναί, ναί, inquit, καταιδέσθητι πατρῷον Δία, ad quem locum v. Schol. Qui unus locus si Platonico huic adversaretur, quis non disertum adeo hujus testimonium præferret injectæ obiter apud Comicum Jovis Πατρῴου mentioni, præsertim quum videri is possit spectatorum risum captasse hac ipsa stolidi senis inscitia et filium de Jove Πατρῴῳ admonentis, quasi is esset parentum in filios ultor, et deum omnino advocantis Atheniensibus inauditum? Sed plura veterum loca attulit ad Hesych. v.

μένοι εἰσὶν οὐθ' ἡμῖν, ἀλλὰ Ἀπόλλων πατρῷος διὰ τὴν τοῦ Ἴωνος γένεσιν· Ζεὺς δ' ἡμῖν πατρῷος μὲν οὐ καλεῖται, ἕρκειος[q] δὲ καὶ[r] Φράτριος,[s] καὶ Ἀθηνᾶ Φρατρία. [§. 73.] Ἀλλ' ἀρκεῖ γε,[t] ἔφη ὁ Διονυσόδωρος· ἔστι γάρ σοι, ὡς ἔοικεν, Ἀπόλλων τε[u] καὶ Ζεὺς[v] καὶ Ἀθηνᾶ. Πάνυ, ἦν δ' ἐγώ. Οὐκοῦν καὶ οὗτοι σοὶ[w] θεοὶ ἂν εἶεν; ἔφη. Πρόγονοι, ἦν δ' ἐγώ, καὶ δεσπόται. Ἀλλ' οὖν σοί γε,[x] ἔφη. II. i. 451.
ἢ οὐ σοὺς ὡμολόγηκας αὐτοὺς[y] εἶναι; Ὡμολόγηκα, ἔφην· τί γὰρ πάθω; Οὐκοῦν, ἔφη, καὶ ζῶά εἰσιν οὗτοι οἱ θεοί;

οὐδ'.—[p] ἐκ τῆσδε om e.—[q] ἕρκτος mei omnes.—[r] δὲ ὁ C.—[s] φάτριος Cy. φατρία Cyf.—[t] γε om Γ, γ' wyefr.—[u] τι f.—[v] καὶ ὁ ζεὺς f.—[w] σοὶ r : ς σοι.—[x] γ' f.—[y] αὐτοὺς ὡμολόγηκας f, ὡμολόγησας (κ) αὐτοὺς r.—[z] εἶναι...ζῶα om f.—[a] ὡ (ἡ) Σ, om fr.

Πατρῷος Ζεὺς Albertius, ubi indubitata est mentio Jovis hujus tanquam Atheniensium dei, ut Soph. Trach. 764. Eurip. Electr. 675. Æschyl. apud Strab. xii. p. 580. aliaque. Nam ipsius Platonis locum illum de Legg. ix. p. 881. D. ubi Δία Ὁμόγνιον καὶ Πατρῷον memorat, aut Xenoph. Cyrop. viii. 45. equidem huc non traxerim. Nimirum, quæ est egregia Porsoni ad Eurip. Med. v. 1314. animadversio, quum aliæ gentes Δία πατρῷον colerent idque aptissimum esset deorum atque hominum parenti epitheton, ut jure mireris, pios Athenienses plurimis Jovem aliis titulis ornasse, hoc abstinuisse: hanc omissionem Tragici corrigere cupientes Δία πατρῷον sæpe ingessere. Sic sua huic Platonis testimonio auctoritas constat. HEIND.

Ἰώνων οὐδενὶ, οὐδ' ὅσοι—οὐδ' ἡμῖν] Athenienses, ut omnibus fere notum est, quique ab iis orti alias regiones incolebant, antea dicti erant Iones; postea vero duodecim tantum in Asia Minore collocatis urbibus id erat nomen. οἱ μέν νυν ἄλλοι Ἴωνες (refert Herodotus) καὶ Ἀθηναῖοι ἔφυγον τοὔνομα, οὐ βουλόμενοι Ἴωνες κεκλῆσθαι. i. 143. ROUTH.

Ἀπόλλων πατρῷος] Schol. Φασί τινες, Ἀθηναίους αὐτόχθονας φῦναι καὶ τούτων γονέας ἔχειν Γῆν καὶ Ἥλιον, ὃς ὁ αὐτός ἐστιν Ἀπόλλωνι. Οἱ δὲ ὅτι Κρεούσῃ τῇ Ἐρεχθέως μιγεὶς Ἀπόλλων Ἴωνα ἐγέννησεν· ἀφ' οὗ καὶ τοὺς Ἀθηναίους ποτὲ Ἴωνας κληθῆναι, καὶ διὰ ταῦτα Πατρῷον αὐτοὺς Ἀπόλλωνα ἔχειν. Conf. Brunck. ad Aristoph. Av. 1527. Bergler. ad Alciphr. Ep. l. ii. 4. Wernsdorf. ad Himer. Or. x. 4. p. 568. HEIND.

τῷ[l] ἰῶτα καὶ τῷ δέλτα εὖ μάλα ἐχρῶντο, καὶ οὐχ ἥκιστα[m]
αἱ γυναῖκες, αἵ περ μάλιστα τὴν ἀρχαίαν φωνὴν σώζουσι.
II. ii. 75. νῦν δὲ ἀντὶ μὲν[n] τοῦ[o] ἰῶτα ἢ εἶ[p] ἢ ἦτα μεταστρέφουσιν,
ἀντὶ δὲ[q] τοῦ[r] δέλτα ζῆτα, ὡς δὴ μεγαλοπρεπέστερα ὄντα.

ΕΡΜ. Πῶς δή;

ΣΩ. Οἷον[s] οἱ μὲν ἀρχαιότατοι ἱμέραν τὴν ἡμέραν ἐκάλουν, οἱ δὲ ἑμέραν,[t] οἱ δὲ νῦν ἡμέραν.

βουλαπτόρουν corr Γ, βουλαπτερὸν I.—[v] ἔγωγε 𝔄ΔΞΠΣΥ : ἐγὼ *ς.—[w] τούνομα G.—[x] δὴ καὶ τὸ Γ.—[y] τί...ζημιῶδες om Γ.—[z] τί δ' ἂν εἴη om G.—[a] τἀληθῆ Ξς.—[b] προστιθέντες ἔνιοι γρ G et rc Π.—[c] γράμμα Π.—[d] ποιεῖ G.—[e] σημαίνει m.—[f] ἡμᾶς I.—[g] ἡμῖν om ΛΥΙ.—[h] αὕτηι 𝔄. περιέστρεψε ΣΥm.—[i] μηνύει Δ.—[j] καὶ om E.—[k] ἡμέτεροι πρόγονοι m.—[l] τῷ ..τῷ] τὸ...τὸ 𝔄ΣΥm.—[m] ἥκιστά γε αἱ G.—[n] μὲν om E.—[o] τοῦ om G.—[p] ει 𝔄ΔΣΥ et pr ΞΠ.—[q] δὲ om I.—[r] τοῦ add 𝔄ΓΔΞΣ

§. 74. τὸ ζημιῶδες] Restitui art. τὸ ex Cod. Gud. Interrogandi autem notam post ζημιῶδες apposui, ut Hermogenis quæstio repetatur a Socrate, more apud Platonem et Aristophanem satis usitato. V. Brunck. ad Aristoph. Thesm. 630. et nostra ad Plat. Hipp. Maj. §. 28. HEIND.

ὡς ἐγὼ ἀληθῆ] Ita Cod. Gud. Vulgo ταληθῆ. In eodem libro statim deinde post προστιθέντες insertum est ἔνιοι incommode, neque h. l. opus est nominativo, quum intelligantur, quos supra dixit §. 67., οἱ βουλόμενοι τραγῳδεῖν τὰ ὀνόματα περιτιθέντες γράμματα καὶ ἐξαιροῦντες εὐστομίας ἕνεκα. HEIND.

καὶ ἐξαιροῦντες] Cod. Gud. ἢ ἐξαιρ., et paullo post οἷόν τι καί. HEIND.

ἡ καλὴ αὕτη] I. e. ἡ καλλωπιζομένη. Nam ironice hoc dici apparet. καὶ τοὐναντίον, vel contrarium. καὶ h. l. est ἐπιτατικόν. HEIND.

αἱ γυναῖκες, αἵπερ μάλιστα] Cic. de Orat. iii. 12. 'Equidem quum audio socrum meam Læliam (facilius enim mulieres incorruptam antiquitatem conservant, quod multorum sermonis expertes ea tenent semper, quæ prima didicerunt,) sed eam sic audio, ut Plautum mihi aut Nævium videar audire.' Cod. Gud. σώζουσαι. Ex eod. libro dedi ε ἢ ἦτα, omisso ἢ priore ante ε. HEIND.

ἀντὶ δὲ τοῦ δέλτα] Sic Cod. Gud. Vulgo τοῦ deest. HEIND.

οἱ δὲ ἑμέραν] Vellem οἱ δὲ ὕστερον:

§. 75. ΕΡΜ. Ἔστι ταῦτα.

ΣΩ. Οἶσθα οὖν ὅτι μόνον τοῦτο[u] δηλοῖ τὸ ἀρχαῖον ὄνομα τὴν διάνοιαν τοῦ θεμένου; ὅτι γὰρ ἀσμένοις τοῖς ἀνθρώποις καὶ ἱμείρουσιν ἐκ τοῦ σκότους τὸ φῶς ἐγίγνετο, ταύτῃ[v] ὠνόμασαν ἱμέραν.[w]

ΕΡΜ. Φαίνεται.

ΣΩ. Νῦν δέ γε[x] τετραγῳδημένον[y] οὐδ᾽[z] ἂν κατανοήσαις ὅ τι βούλεται ἡ ἡμέρα. καί τοί[a] τινες οἴονται, ὡς δὴ ἡ[b] ἡμέρα[c] ἥμερα[d] ποιεῖ, διὰ ταῦτα ὠνομάσθαι[e] αὐτὴν οὕτως.

ΕΡΜ. Δοκεῖ μοι.[f]

ΣΩ. Καὶ τό[g] γε[h] ζυγὸν οἶσθα ὅτι[i] δυογὸν οἱ παλαιοὶ ἐκάλουν;

ΕΡΜ. Πάνυ γε.

ΣΩ. Καὶ τὸ μέν γε ζυγὸν οὐδὲν δηλοῖ, τὸ δὲ τοῖν δυεῖν[j] ἕνεκα[k] τῆς δέσεως[l] ἐς τὴν ἀγωγὴν ἐπωνόμασται[m] δυογὸν[n] δικαίως· νῦν δὲ ζυγόν. καὶ ἄλλα[o] πάμπολλα οὕτως ἔχει.[p]

ΕΡΜ. Φαίνεται. II. ii. 76.

ΣΩ. Κατὰ ταῦτα τοίνυν πρῶτον μὲν τὸ δέον[q] οὕτω λεγόμενον τοὐναντίον[r] σημαίνει πᾶσι τοῖς περὶ τὸ ἀγαθὸν ὀνό-

ΥBCEFGIXlm.—[s] οἷον om I.—[t] οἱ δὲ ἑμέραν om G.—[u] τούτων ΛBCEFHIXlm.—[v] ταύτῃ 𝔄ΔΠΣBCEFGIlm: ταύτην *ς.—[w] ἡμέραν 𝔄.—[x] γε om ΔGm.—[y] τετραγῳδημένον...καί τοι om I.—[z] οὐκ pr Π.—[a] που Γ.—[b] ἡ add 𝔄ΓΔΠΥBCEFHIlm: ἣ (accentu rc) Λ.—[c] ἡμέρα om X.—[d] ἡ ἥμερα GX, om HI.—[e] ὠνομάσαι H.—[f] ἔμοιγε δοκεῖ m, ἔστι ταῦτα G.—[g] τόν corr ΓΠ, τὸν μέν G.—[h] γε om I.—[i] ὅτι om Σ.—[j] δυεῖν Eς: ceteri δυοῖν.—[k] ἕνεκε G.—[l] δεήσεως CI.—[m] ἐπωνόμασθαι X.—[n] δυογὸν μὲν δικαίως G et rc Π.—[o] πολλὰ X.—[p] ἔχειν corr G.—[q] δεῖν Γ.—[r] τοὐναντίον

certe ὕστερον intelligendum esse liquet ex præcedd. νῦν δὲ ἀντὶ μὲν τοῦ ἰῶτα ε ἢ ἦτα μεταστρέφουσι. Idemque videtur legisse Proclus, cujus scholion est in Excerpt. Mss. τὸ ὄνομα τῆς ἡμέρας ἐτυμολογῶν (Πλάτων) ἐρεῖ τοὺς μὲν παλαιοὺς ἱμέραν λέγειν διὰ τοῦ ι, τοὺς δὲ ὑστέρους διὰ τοῦ ε λέγοντας ἑμέραν, ὡς τοῦ ε στοιχείου καὶ τὴν δίφθογγον σημαίνοντος. Heind.

At in Schol. τοὺς ὑστέρους Grammatici interpretamentum est, idque ne verum quidem, nam antiquior fuit usus literæ ε pro η. Itaque οἱ δὲ (*nonnulli*) et ipsi antiquissimis temporibus fuerunt. Beck.

§. 75. ὠνόμασεν ἱμέραν] Ita correxi propter prægressum τοῦ θεμένου. Vulgo ὠνόμασαν. Pro ἱμέραν Cod. Gud. τὴν ἱμέραν, unde probabiliter aliquis conjectet ταύτῃ ὠνόμασεν τὴν ἡμέραν ἱμέραν. Heind.

νῦν δέ γε τετραγῳδημένον] Cf. not. ad §. 67.—ὡς δὴ ἥμερα ἡ ἡμέρα ποιεῖ. Sic recte Cod. Gud. Vulgo ὡς δὴ ἡμέρα ἥμερα ποιεῖ. Ibidem deinde scriptum Ἔστι ταῦτα pro Δοκεῖ μοι, et τόν γε ζυγὸν pro τό γε ζυγ. Heind.

τοῖν δυεῖν] Cod. Gud. δυοῖν, minus Attice ex Heraclidis præcepto apud Eustath. in Odyss. Φ. p. 1907. V. Duker. ad Thucyd. iv. 8. et Wasse ad eund. iv. 23. Conf. Hermann. ad Eurip. Hec. 45. et Brunck. ad Æsch. Prom. 784. Heind.

ἐπωνόμ. δυογὸν δικ.] Cod. Gud. ἐπωνόμασαν δυογὸν μὲν δικαίως.—Κατὰ ταυτὰ τοίνυν. Ita cum Buttmanno scripsi pro κατὰ ταῦτα. Heind.

μασιν· ἀγαθοῦ γὰρ ἰδέα οὖσα τὸ δέον φαίνεται δεσμὸς εἶναι καὶ κώλυμα φορᾶς, ὥς περ ἀδελφὸν ὂν[s] τοῦ βλαβεροῦ.[t]

§. 76. ΕΡΜ. Καὶ μάλα, ὦ Σώκρατες, οὕτω φαίνεται.

ΣΩ. Ἀλλ' οὐκ ἐὰν[u] τῷ ἀρχαίῳ ὀνόματι χρῇ,[v] ὃ[w] πο-
I. 419. λὺ μᾶλλον εἰκός ἐστιν ὀρθῶς κεῖσθαι ἢ τὸ[x] νῦν, ἀλλ' ὁμολογήσει τοῖς πρόσθεν ἀγαθοῖς, ἐὰν ἀντὶ τοῦ εἶ[y] τὸ ἰῶτα ἀποδιδῷς,[z] ὥς περ τὸ παλαιόν· διὸν[a] γὰρ αὖ[b] σημαίνει ἀλλ' οὐ δέον τἀγαθόν, ὅ περ[c] ἀεὶ[d] ἐπαινεῖ. καὶ οὕτως οὐκ ἐναντιοῦται αὐτὸς αὑτῷ[e] ὁ[f] τὰ ὀνόματα τιθέμενος, ἀλλὰ δέον καὶ[g] ὠφέλιμον καὶ λυσιτελοῦν καὶ κερδαλέον καὶ ἀγαθὸν καὶ ξυμφέρον[h] καὶ εὔπορον τὸ αὐτὸ φαίνεται, ἑτέροις ὀνόμασι σημαῖνον[i] τὸ διακοσμοῦν[j] καὶ ἰὸν[k] πανταχοῦ, ἐγκεκωμιασμένον, τὸ δὲ ἴσχον καὶ δοῦν ψεγόμενον. καὶ δὴ καὶ τὸ ζημιῶδες, ἐὰν κατὰ τὴν ἀρχαίαν φωνὴν ἀποδῷς ἀντὶ τοῦ ζῆτα δέλτα, φανεῖταί[l] σοι κεῖσθαι τὸ ὄνομα ἐπὶ τῷ δοῦντι[m] τὸ[n] ἰόν, ἐπονομασθὲν δημιῶδες.[o]

II. ii. 77. §. 77. ΕΡΜ. Τί δαὶ[p] δὴ[q] ἡδονὴ καὶ λύπη καὶ ἐπιθυμία καὶ τὰ τοιαῦτα, ὦ Σώκρατες;

om G.—[s] ὂν om 𝔄ΔΠΣΥ et pr Ξ.—[t] πονηροῦ G.—[u] ἐν ΛBCEFHIX*lm* et pr Γ.—[v] χρὴ ΛBCEFHIX*lm* et pr Γ, χρήσῃ G.—[w] ὃ om G.—[x] τῶ G.—[y] ει 𝔄ΔΥ et pr Σ.—[z] ἀποδιδῶ G.—[a] διάϊον ΔΣΥ et pr 𝔄Π, διαιὸν corr 𝔄, δάϊον G et rc Π, διὸν mg 𝔄, διῶν Λ, διὸ *l*: vulgatam corr Ξ.—[b] αὖ om ΓΛBCEFHIX.—[c] ὥσπερ ΣΥ.—[d] δὴ 𝔄ΔΠΣΥ et fortasse pr Ξ.—[e] ἑαυτῶ Ξ.—[f] ὁ om *l*.—[g] δέον καὶ om ΣΥ et pr Ξ.—[h] ξ.
ον
ΔΞΣΥ.—[i] σημαῖνων *m*.—[j] διακοσμοῦ G.—[k] οἷον G, ὂν ceteri: διϊὸν *s*.—[l] φαίνεται ΔΠΣΥ et pr 𝔄Ξ.—[m] δοῦν *m*.—[n] τὸν I.—[o] ζημιῶδες ΞΣGI.—[p] δὲ ΛΞΠΣGIX.—

ἀγαθοῦ γὰρ ἰδέα οὖσα τὸ δέον] De Rep. i. extr. ὁπότε γὰρ τὸ δίκαιον μὴ οἶδα ὅ ἐστι, σχολῇ εἴσομαι, εἴτε ἀρετή τις οὖσα τυγχάνει, εἴτε καὶ οὔ. de Legg. v. p. 735. E. Τοὺς γὰρ μέγιστα ἐξημαρτηκότας, ἀνιάτους δὲ ὄντας, μεγίστην δὲ οὖσαν βλάβην πόλεως, ἀπαλλάττειν εἴωθε. Et vid. not. nostr. ad Hipp. Maj. §. 43. Heind.

§. 76. ἀλλ' ὁμολογήσει] Sc. τὸ ἀρχαῖον ὄνομα, ne quis ὁμολογήσεις corrigat e Ficino, qui vertit: *nempe cum superioribus bonis consenties*. διὸν γὰρ αὖ σημ. *Nam* διὸν (i. e. διϊὸν), *non* δέον (*vinciens*) *esse bonum illud, quod semper laudat, significat nominum conditor, atque ita non repugnat sibi ipse* etc. Pro διὸν Cod. Gud. δαίον. Fortasse scribendum διϊόν. Heind.

ὅπερ ἀεὶ ἐπαινεῖ] Bas. 2. δὴ pro ἀεί. Sed similiter in eadem sententia supra §. 70. διὰ παντός. §. 73. πανταχοῦ. In seqq. autem corrigendum vel σημαίνων vel, quæ verior videtur Buttmanni conjectura, σημαινόμενον. Heind.

διϊὸν πανταχοῦ] Ficinus: *aliquid per omnia penetrans omniaque perornans, idque ubique laudatum*, ut legisse videatur καὶ διϊὸν πάντα πανταχοῦ ἐγκεκ., non male. Jam verba, τὸ δὲ ἴσχον καὶ δοῦν ψεγόμενον, vix aliter cum structura præcedentium coibunt, nisi paullo ante pro σημαῖνον rescripseris σημαινόμενον, ut h. l. apud animum repeti possit prægressum φαίνεται.—ἀποδῷς. Cod. Gud. ἀποδιδῷς, ut paullo ante. Cf. §. 102. Heind.

§. 77. τί δαὶ δὴ] Cod. Gud. Τί δὲ δή. Structuram hanc explicui ad Gorg. §.

ΣΩ. Οὐ πάνυ χαλεπά μοι φαίνεται, ὦ Ἑρμόγενες. ἥ τε γὰρ ἡδονή,[r] ἡ[s] πρὸς τὴν ὄνησιν ἔοικε τείνουσα πρᾶξις τοῦτο ἔχειν[t] τοὔνομα,[u]—τὸ δέλτα δὲ ἔγκειται, ὥστε ἡδονὴ ἀντὶ ἡονῆς[v] καλεῖται—· ἥ τε λύπη ἀπὸ τῆς διαλύσεως τοῦ σώματος ἔοικεν ἐπονομασθῆναι,[w] ἣν ἐν τούτῳ τῷ πάθει ἴσχει τὸ σῶμα. καὶ ἥ γε ἀνία τὸ ἐμποδίζον τοῦ ἰέναι. ἡ δὲ ἀλγηδὼν ξενικόν τι φαίνεταί μοι, ἀπὸ τοῦ ἀλγεινοῦ[x] ὠνομασμένον. ὀδύνη δὲ ἀπὸ τῆς ἐνδύσεως τῆς λύπης κεκλημένη ἔοικεν.[y] ἀχθηδὼν δέ, καὶ παντὶ δῆλον ἀπεικασμένον τὸ ὄνομα τῷ τῆς φορᾶς βάρει. χαρὰ δὲ τῇ διαχύσει καὶ εὐπορίᾳ[z] τῆς ῥοῆς τῆς ψυχῆς ἔοικε κεκλημένη. τέρψις δὲ ἀπὸ τοῦ τερπνοῦ· τὸ δὲ τερπνὸν ἀπὸ τῆς διὰ τῆς ψυχῆς ἕρψεως[a] πνοῇ[b] ἀπεικασθὲν κέκληται, ἐν δίκῃ μὲν ἂν ἕρπνουν[c] καλούμενον, ὑπὸ χρόνου δὲ τερπνὸν παρηγμένον. [§. 78.] Εὐφροσύνη δὲ οὐδὲν προσδεῖται τοῦ διότι ῥηθῆναι· παντὶ γὰρ δῆλον ὅτι ἀπὸ τοῦ εὖ τοῖς πράγμασι τὴν II. ii. 78. ψυχὴν ξυμφέρεσθαι[d] τοῦτο ἔλαβε τὸ ὄνομα, εὐφεροσύνην,[e] τό γε[f] δίκαιον· ὅμως δὲ αὐτὸ[g] καλοῦμεν εὐφροσύνην.[h] οὐδ'[i] ἐπιθυμία χαλεπόν· τῇ γὰρ ἐπὶ τὸν θυμὸν ἰούσῃ δυνάμει δῆλον ὅτι τοῦτο ἐκλήθη τὸ ὄνομα. θυμὸς δὲ ἀπὸ τῆς θύ-

[q] δὴ om ΞΣG.—[r] ὅτε γὰρ ἡ ἡδονὴ *m*.—[s] ἡ om G.—[t] ἔχειν τοῦτο *l*.—[u] τοῦνομα G.—[v] ἡ ὄνησις ΛBCEHX*lm*, ἡονῆς 𝔄, ὄνησις I, τοῦ ἡ ὄνησις ΓEF et mg 𝔄.—[w] ἐπωνομάσθαι ΓΛBCFGHIX*lm*, ἐπωνομασθῆναι 𝔄.—[x] ἀλεγεινοῦ G.—[y] ἔοικεν Socrati tribui cum ΞΣΥ.—[z] ἀπορία I.—[a] τέρψεωσ ΓΛCEHIX*lm* et (ς in mg posita) F.—[b] πνοιῇ 𝔄ΛΣΥBCHX*lm*, πνοῆς (eraso ι) Γ.—[c] ἑρπνὸν G, ἔμπνουν C.—[d] ξ. ΔΞΣΥG.—[e] εὐφροσύνην ΔΣΥ et pr 𝔄Π, εὐφρυσύνη GX et pr Λ, εὐφεροσύνη ΞH et rc ΛΠ: εὐφερωσύνη *ς.—[f] γε om *lm*.—[g] αὐτὸ δ' ὅμως Γ.—[h] εὐφρυσύνη G.—[i] ὃν δὲ G.—[j] φυ-

123. Mox ἥτε γὰρ ἡδονὴ instar nominativi soluti habendum. Tum Cod. Gud. τοῦτ' ἔχειν τοὔνομα. Ibidemque deinde ἡ δὲ λύπη, ut non raro post τε infertur δέ. Ad hæc ἥ τε λύπη ἀπὸ τῆς διαλύσ. conf. Wyttenbach. ad Plutarch. de S. N. V. p. 103. Mox id. Cod. ἐπωνομάσθαι pro ἐπονομασθῆναι et ἔχει pro ἴσχει. Heind. ἐπωνομασθῆναι Ald. Bas. 1. 2. Fisch.

ὀδύνη δὲ—κεκλημένη ἔοικεν] Hic quoque, ut §. 72., de certa Heusdii conjectura verbum ἔοικεν, quod vulgo Hermogeni tribuitur, ad prægressa Socratis verba retraxi. Nam reliqua hæc omnia a verbis superioribus Ἥ τε γὰρ ἡδονὴ usque ad illa §. 79. Δόξα καὶ τὰ τοιαῦτα etc. Socrates tacente Hermogene explicat, ut inepte h. l. semel ab Hermogene probandi hæc formula inferretur. Structuræ autem hujus ἔοικε κεκλημένη par est ratio in proximis χαρὰ—ἔοικε κεκλημένη, ni utrobique aliquis scribere maluerit κεκλημένῃ, casu tertio. Heind.

χαρὰ δὲ τῇ διαχύσει] *Vocabulum* χαρὰ *videtur impositum* τῇ διαχύσει. V. not. ad §. 6. τῇ διαχύσει, ut communis veterum fuit sententia, *animam voluptate diffundi*, διαχεῖσθαι: *tristitia contrahi*, συστέλλεσθαι. V. Wyttenbach. l. l. χαρὰν igitur ductum vult ἀπὸ τοῦ χεῖν καὶ τῆς ῥοῆς. Mox Cod. Gud. τέρψεως et πνοιῇ et ἄρ' ἕρπνουν, vitiose. Heind.

§. 78. τοῦ διότι ῥηθῆναι] Hæc sic jungenda: τοῦ ῥηθῆναι, διότι. Cod. Gud. εὐφροσύνη pro εὐφερωσύνη. Heind.

σεως[j] καὶ ζέσεως τῆς ψυχῆς ἔχοι ἂν τοῦτο τοὔνομα.[k] ἀλλὰ μὴν[l] ἵμερός γε τῷ μάλιστα[m] ἕλκοντι τὴν ψυχὴν ῥῷ
I. 420. ἐπωνομάσθη· ὅτι γὰρ ἱέμενος[n] ῥεῖ καὶ ἐφιέμενος τῶν πραγμάτων, καὶ οὕτω δὴ ἐπισπᾷ σφόδρα τὴν ψυχὴν διὰ τὴν ἕσιν[o] τῆς ῥοῆς, ἀπὸ ταύτης οὖν πάσης τῆς δυνάμεως ἵμερος ἐκλήθη.[p] καὶ μὴν πόθος αὖ καλεῖται σημαίνων[q] οὐ τοῦ παρόντος εἶναι ἱμέρου[r] τε καὶ ῥεύματος, ἀλλὰ τοῦ ἄλλοθί που ὄντος καὶ ἀπόντος,[s] ὅθεν πόθος ἐπωνόμασται,[t] ὃς τότε ὅταν παρῇ οὗ τις ἐφίετο,[u] ἵμερος ἐκαλεῖτο· ἀπογενομένου δὲ ὁ[v] αὐτὸς οὗτος πόθος ἐκλήθη. [§. 79.] Ἔρως δέ,[w] ὅτι ἐσρεῖ[x] ἔξωθεν καὶ οὐκ οἰκεία ἐστὶν ἡ ῥοὴ αὕτη[y] τῷ ἔχοντι ἀλλ' ἐπείσακτος[z] διὰ[a] τῶν ὀμμάτων,[b] διὰ ταῦτα[c] ἀπὸ τοῦ ἐσρεῖν ἔσρος[d] τό γε[e] παλαιὸν ἐκαλεῖτο—τῷ γὰρ οὖ[f] ἀντὶ τοῦ ὦ[g] ἐχρώμεθα—, νῦν δ' ἔρως κέκληται διὰ[h] τὴν
II. ii. 79. τοῦ ὦ[i] ἀντὶ τοῦ[j] οὖ[f] μεταλλαγήν. Ἀλλὰ τί ἔτι οὐ[k] λέγεις ὅ τι[l] σκοπῶμεν;

ΕΡΜ. Δόξα καὶ τὰ τοιαῦτα πῇ σοι φαίνεται;

ΣΩ. Δόξα μὲν[m] ἤτοι τῇ[n] διώξει ἐπωνόμασται, ἣν ἡ ψυχὴ διώκουσα τὸ[o] εἰδέναι ὅπῃ ἔχει τὰ πράγματα πορεύεται,

σήσεως G.—[k] τοὔνομα Γ.—[l] μὴν καὶ l.—[m] μάλα Γ: om l.—[n] ἰέμενος CIX.—[o] ἔσιν
ὀνόματος
ΛCEFGIX.—[p] ἐκλήθη om l.—[q] σημαίνων om G.—[r] ἵμερός G.—[s] καὶ ἀπόντος 𝔄, ὀνόματος pr Γ, ὄνομα corr Γ, καὶ ἀπότος corr X.—[t] ὠνόμασται ΞΣ.—[u] ἐφίεται G.—[v] ὁ om Γ.—[w] καὶ l.—[x] ἐσρεῖ 𝔄ΔΞΠΣΥ: εἰspεῖ *ς.—[y] αὐτὴ G.—[z] ἐπίσακτος Ilm
ει
et pr Λ, ἐπισακτος F.—[a] δὴ I.—[b] ὀνομάτων G.—[c] τοῦτο l.—[d] ἔσρους ΔΣΥ et corr
ος
fortasse 𝔄 (qui pr videtur habuisse ἔσρος), ἔσρους Ξ, ἔσρως m, ἔειρος I.—[e] γε om G.—[f] ου 𝔄ΔΞΠΣΥ, σ H.—[g] βῆτα G.—[h] δὴ I.—[i] β G.—[j] ἀντὶ τοῦ ο ante διὰ ponit Γ.—[k] οὐ om H.—[l] ἔτι X.—[m] μὲν δὴ Ξ, μὲν ς.—[n] τῇ om ΣΥ.—[o] τὸ 𝔄ΔΠG:

οὐ τοῦ παρόντος εἶναι ἱμέρου] In his nisi ἵμερος sonet *id quod desideratur* vel certe *fructum voluptatemque*, hæreo in hoc ἱμέρου. Heind. Schleiermach. legi jubet ῥοῦ, non tamen docuit, quomodo ῥοῦς et ῥεῦμα differant. Voc. ἱμέρου certe alienum est ab h. l. Beck.

ὅθεν] Sc. ab illo ποῦ, cujus antiqua forma fuit ποθί. Heind.

§. 79. ἐπείσακτος διὰ τῶν ὀμμάτων] Velut in Phædro §. 67. dicit eum, qui amore inceditur, δέχεσθαι τοῦ κάλλους τὴν ἀποῤῥοὴν διὰ τῶν ὀμμάτων, de quo dicto vid. Wyttenbach. Bibl. Crit. V. I. P. ii. p. 60. Heind.

ἔρος] Sic Cod. Gud. Vulgo ἔσρος.—τῷ γὰρ ο ἀντὶ τοῦ ω ἐχρ. V. Valcken. ad Euripid. Phœniss. p. 260. et 688. Heind. Locus non videtur integer. Nam dicendum erat, primum ἔσρος, dein ἔρος, hinc tandem ἔρως nomen fuisse. Beck.

ἀλλὰ τί ἔτι οὐ μέγ.] Ficinus: *Verum quid deinceps considerandum præcipis?* Scribendum Τί ἔτι σὺ λέγ. vel τί ἔτι αὖ λ.—διώκουσα τὸ εἰδέναι. Sic recte Cod. Gud. pro τοῦ εἰδ.—ἔοικε δὲ τοῦτο μᾶλλον. Corrigendum videtur τούτῳ, sc. τῇ ἀπὸ τοῦ τόξου βολῇ. Heind.

ἢ τῇ ἀπὸ τοῦ[p] τόξου βολῇ. ἔοικε δὲ τούτῳ[q] μᾶλλον.[r] ἡ γοῦν οἴησις τούτῳ[s] ξυμφωνεῖ.[t] οἶσιν[u] γὰρ τῆς ψυχῆς ἐπὶ πᾶν[v] πρᾶγμα οἷόν ἐστιν ἕκαστον τῶν ὄντων δηλούσῃ[w] προσέοικεν, ὥς πέρ γε καὶ ἡ βουλὴ πρὸς τὴν βολὴν,[x] καὶ τὸ βούλεσθαι[y] τὸ ἐφίεσθαι σημαίνει, καὶ βουλεύεσθαι· πάντα ταῦτα δόξῃ[z] ἑπόμεν' ἄττα φαίνεται τῆς βολῆς[a] ἀπεικάσματα,[b] ὥς περ αὖ[c] καὶ τοὐναντίον ἡ ἀβουλία ἀτυχία δοκεῖ εἶναι, ὡς οὐ βαλόντος[d] οὐδὲ τυχόντος[e] οὗ[f][g] ἔβαλλέ τε[h] καὶ ὃ[i] ἐβούλετο καὶ περὶ οὗ ἐβουλεύετο[j] καὶ οὗ ἐφίετο.

§. 80. ΕΡΜ. Ταῦτα ἤδη μοι δοκεῖς,[k] ὦ Σώκρατες,

τοῦ *ς.—[p] τοῦ om Σ et pr Ξ.—[q] τούτῳ ΓBCEFGHIXlm et corr ΛΠ : τοῦτο *ς.—
ει οἶ
[r] μάλιστα Δ.—[s] τοῦτο l.—[t] ξ. ΔΞΣΥ.—[u] οἶσιν Γl et γρ B, οἶσιν m, εἶσιν E, οἶ' εἰσιν F, εἶσιν BCH, εἶσι ΛIX, ἴσῃ G, οἴσειν ἴσως 𝔄 et pr Π, ἴσως ΔΞΣΥ et rc Π, εἶσιν ἴσως tertia manus Π : οἴσει *ς.—[v] τὸ 𝔄ΔΞΣΥG.—[w] δηλοῦσι ΞΣΥF.—[x] βουλὴν H.—[y] καὶ τὸ βουλεύεσθαι G.—[z] ταῦτα τῇ δόξῃ G.—[a] βουλῆς 𝔄ΔΞΣΥG.—[b] ἀπεικάσματι ΛIX.—[c] οὖν FH.—[d] βαλλόντος Ξ, βάλλοντος FG.—[e] τυγχάνοντος G.—[f] ὦ G, om m.—[g] post οὗ omisi τ' cum ΓΛCGHIXm —[h] ἔβαλέ τε G, ἐβάλετο X, om m : ἐβάλλετο *ς.—[i] οὗ ΓΛBCEHXlm.—[j] καὶ περὶ οὗ...ἐβουλεύετο] hæc post

οἶσιν γὰρ τῆς ψυχῆς] Sic pro vulgato *οἴσει* scripsi ex Cod. Gud. et Ficino, qui vertit hæc ita : *Ostendit quippe οἶσιν, id est, ingressum animæ in unumquodque considerandum, οἷον, id est, quale sit.* *οἶσιν* hoc ductum apparet a Platone *ἀπὸ τοῦ φέρειν*, unde sunt illa *ὀϊστὸς*, *οἶστρος* etc. In Codice tamen Gud. huic *οἶσιν* adscriptum est *ἴσως*, ex quo suspicio nobis oboritur, Platonem scripsisse *ἵεσιν*, quod propius sane ad illam *ἀπὸ τοῦ τόξου βολὴν* accedit, ut vocabulum *οἴησις* compositum intelligatur ex *ἵεσις* (*ἀπὸ τοῦ ἱέναι* i. e. *βάλλειν*) et *οἷον*. Hoc *ἵεσις* autem formatum fuerit *ἀπὸ τοῦ ἱέναι*, velut *ἕσις* §. 78. *ἀπὸ τοῦ ἵεσθαι* vel *ἕσθαι*, et *ἵεσις ἀπὸ τοῦ ἱέναι* §. 91. Heind.

ἐπὶ πᾶν πρᾶγμα] Cod. Gud. *ἐπὶ τὸ πρᾶγμα*.—*πρὸς τὴν βολὴν* sc. *σημαίνει*. Cf. §. 68. Heind.

πάντα ταῦτα τῇ δόξῃ ἑπόμεν' ἄττα] *Hæc omnia, quæ δόξαν sequuntur, videntur aliqua τῆς βολῆς imitamenta.* Articulum *τῇ* revocavi e Cod. Gud. qui itidem restituendus videtur ante *βουλεύεσθαι*, post *βουλεύεσθαι* autem additam vellem voculam *καὶ*, et pro seq. *ταῦτα* scriptum *τὰ τοιαῦτα*, nisi quis verba hæc sic jungenda putet : *ὥσπερ γε—καὶ τὸ βούλεσθαι καὶ βουλεύεσθαι τὸ ἐφίεσθαι σημαίνει, πάντα ταῦτα* etc., ut solent hujusmodi epexegeses *ἀσυνδέτως* inferri. Heind.

τῆς βολῆς] Cod. Gud. *τῆς ψυχῆς*. Platonis fortasse fuerat : *τῆς βολῆς τῆς ψυχῆς ἀπεικ.*—Tum Cod. Gud. *ὡς οὐ βάλλοντος οὐδὲ τυγχάνοντος*, et statim post *οὗ ᾧ ἐβάλλετο*. [et sane Ald. Bas. 1. 2. *βάλλοντος*] Scripserim *οὗ ἔβαλλε καὶ ὃ ἐβούλ.* Heind.

§. 80. *τέλος γὰρ κ. τ. λ.*] In Ald. edit. hæc a Socrate, sicut et sequentia, dicuntur : et ita legi posse videtur *θεῶν*, id est, nominum deorum. Aliis placet scribere *σὺν θεῷ*. Steph. qui sic in notis : ‘ Majus aliquod mendum subest huic loco, *τέλος γὰρ ἤδη θεῷ*, quam primo aspectu subesse videatur. Ejus tamen emendationem conjectura mihi videor assequi : quam proferam ubi quid alii de illo sentiant declaravero. Fic. igitur ita interpretatur, *quare finis jam sit favente Deo.* Quidam vero ita, *finem enim jam video.* Quæ posterior interpretatio nullo admitti modo potest : quum inauditum sit (ut opinor) *θεῶ* a *θεάω*, pro *θεῶμαι* a *θεάομαι*. Prior autem illa usum dat dativo, quem dubito an habere comperiatur absque particula *σύν*. fortasse igitur illam præfigendam esse censuit. Quod vero attinet ad lectionem *θεῶν*, ideo minus placet quod longo intervallo præcesserit dissertatio

πυκνότερον[l] ἐπάγειν· τέλος γὰρ ἤδη θεῷ.[m] ἀνάγκην[n] δ' οὖν ἔτι[o] βούλομαι διαπερᾶναι, ὅ τι τούτοις ἑξῆς ἐστί, καὶ τὸ ἑκούσιον.

II. ii. 80. ΣΩ. Τὸ μὲν οὖν ἑκούσιον,[p] τὸ εἶκον[q] καὶ μὴ ἀντιτυποῦν ἀλλ', ὥς περ[r] λέγω, εἶκον[s] τῷ ἰόντι δεδηλωμένον[t] ἂν εἴη

ἐφίετο ponit *m*.—[k] δοκεῖ I.—[l] πυκνότερα 𝔄.—[m] ἤδη σὺν θεῷ rc F.—[n] ἀνάγκη Flm et pr Ξ (εἶ).—[o] καὶ F.—[p] τὸ μὲν οὖν ἑκούσιον om Γ.—[q] ἧκον F, εἶκος X.—[r] περ add 𝔄ΓΔΛΠBCEFGHIX*lm*.—[s] ἧκον F.—[t] δεδηλωμένως HI.—[u] ἀντιτυποῦν 𝔄ΔΞΣΥ.—

de nominibus deorum: præterea etiam quod non satis apte hæc ratio addi videatur, finem jam esse impositum nominibus deorum. Tandem igitur ad illam meam conjecturam venio, quam lectori probatum iri spero. Primum in eo sequor Aldinam editionem, quod hæc verba, τέλος γὰρ ἤδη, et proxime sequentia, Socrati adscribit, non Hermogeni: deinde præpositionem εἰς nomini τέλος præfigo, et pro θεῷ, servatis iisdem literis scribo θέω: adeo ut non multum lectionem alteram immutem, quod ad ipsa literarum elementa attinet, et sensum tamen valde diversum efficiam: sed aptum, ni fallor: ut Hermogeni, dicenti Socratem vocabula quorum etyma afferebat, nimis alia aliis addensare (quasi non satis in singulorum explicatione immorantem) respondeat Socrates, *ad finem enim propero*. Q. d. 'Mirum tibi videri non debet quod illa sic addenso, quum ad finem properem.' Quibus addit, se, quamvis festinantem, velle tamen operam impendere enarrationi nominis ἀνάγκη, quod etiam facit. At vero ut collocatæ sunt in omnibus editionibus personarum notæ (id est, literæ quæ personas indicant) non Socrates sed Hermogenes se id velle facere dicit, quod tamen non ipse facit, sed Socrates.'

τέλος γὰρ ἤδη θεῷ] Certe particula εἰς facile potuit excidere, ob magnam præcedentis syllabæ similitudinem. At vehementer dubito, an sic recte dicatur θέω εἰς τέλος *propero ad finem*, et an ordo verborum ferat istam correctionem. Neque tamen assentior ei quem idem Stephanus memorat legisse τέλος γὰρ ἤδη θεῷ *finem enim jam video*. nam θεῶ pro θεῶμαι novum est et inauditum. Probo igitur lectionem vulgatam, ita ut verba τέλος γὰρ—existimem esse verba Socratis, eaque cum Ficino interpreter, *In eo enim jam sum ut finem disserendi faciam, favente deo*. nam θεῷ dictum arbitror, ut τύχῃ et ἀγαθῇ τύχῃ, ut non necesse sit suspicari cum Stephano, Ficinum legisse σὺν θεῷ, quod non possit simpliciter dici θεῷ. In alia omnia Abreschius discedit Auctar. Thucyd. p. 306. Nam legi jubet θεῶ, ut sit imperativus verbi θεᾶσθαι, hoc sensu, *finem quæso jam respice*, aut *impone*. Judicent docti linguæque Græcæ periti. Fisch.

ταῦτα ἤδη μοι δοκεῖς—ἤδη θεῷ] Gravis hunc locum corruptela invasit, qua vix possit sine librorum ope Platonis oratio liberari. In Ald. ante τέλος Socratis nomen præfigitur, et Socratis manifesto hæc sunt, Ἀνάγκην δ' οὖν ἔτι—ἑκούσιον. Stephanus conjecit parum Græce, opinor: neque magis Græca et absurdior multo est ratio Abreschii: Fischerus denique in vulgata scriptura, ut solet, acquiescens et verba Socrati tribuens, cum Ficino ea interpretatur usquequaque absona. Scilicet, ne quid dicam de grammatica horum τέλος γὰρ ἤδη θεῷ ratione, unde non modo illa, sed ne ulla quidem sententia extundi potest, lepida sane hæc fuerit Socratis minatio in medio fere sermone, cui non conveniunt proxima illa ejusdem: ἕως δὲ πάρεστιν ἡ ῥώμη, μὴ ἀνιῶμεν αὐτήν, ἀλλὰ καὶ σὺ μὴ ἀνίει, ἀλλ' ἐρώτα. Luce clarius est, mutilatam hic esse orationem uno vel pluribus adeo versibus prætermissis, quæ donec meliorum librorum ope redintegretur, tolerabili fortasse et sensu et sermone lacunam hanc ita expleas: Ἑρμ. Ταῦτα ἤδη μοι δοκεῖς, ὦ Σώκρατες, πυκνότερον ἐπάγειν, τέλος γὰρ ἤδη ἐπιθεῖναι βούλεσθαι. Σω. Ἀλλ' οὔπω, πρὶν ἀποκαμεῖν. Ἀλλὰ τοῦτο μὲν μελήσει τῷ θεῷ. Ἀνάγκην δ' οὖν. Heind.

πυκνότερον ἐπάγειν] *Confertius quam priora, afferre, ita ut alterum alteri addas in singulis nihil immorans.* Heind.

τούτῳ τῷ ὀνόματι, τῷ κατὰ τὴν βούλησιν γιγνομένῳ· τὸ δὲ ἀναγκαῖον καὶ ἀντίτυπον,[u] παρὰ τὴν βούλησιν ὄν, τὸ περὶ τὴν[v] ἁμαρτίαν ἂν[w] εἴη καὶ ἀμαθίαν,[x] ἀπείκασται δὲ τῇ κατὰ τὰ ἄγκη[y] πορείᾳ, ὅτι δύσπορα καὶ τραχέα καὶ λάσια ὄντα ἴσχει τοῦ ἰέναι. ἐντεῦθεν οὖν ἴσως ἐκλήθη ἀναγκαῖον, τῇ διὰ τοῦ ἄγκους[z] ἀπεικασθὲν πορείᾳ. Ἕως[a] δὲ πάρεστιν ἡ ῥώμη, μὴ ἀνιῶμεν[b] αὐτήν. ἀλλὰ[c] καὶ[d] σὺ μὴ ἀνίῃ,[e] ἀλλὰ ἐρώτα.

ΕΡΜ. Ἐρωτῶ δὴ τὰ μέγιστα καὶ τὰ[f] κάλλιστα, τήν I. 421.
τε ἀλήθειαν καὶ τὸ ψεῦδος καὶ τὸ ὂν[g] καὶ αὐτὸ τοῦτο περὶ οὗ[h] νῦν ὁ λόγος ἡμῖν ἐστίν, ὄνομα, διότι τὸ ὄνομα ἔχει.

ΣΩ. Μαίεσθαι[i] οὖν καλεῖς τι;

ΕΡΜ. Ἔγωγε,[j] τό γε[k] ζητεῖν.

§. 81. ΣΩ. Ἔοικε τοίνυν ἐκ λόγου ὀνόματι συγκεκρο-

[v] περὶ τὴν om pr Ξ.—[w] ἂν om G.—[x] τὴν ἀμαθίαν G.—[y] κατ' ἀνάγκη Σ, κατ' ἀνάγκην ΓΛΞΠBCEFGHIXlm : κατὰ τὰ ἄγκη cum *ς corr 𝔄.—[z] ἄκους I, ἔγκους H.—[a] ὡς G.—[b] ἀνίωμεν ΓΛBCEFIXlm.—[c] ἀλλὰ καὶ...δὴ] ἀλλὰ καὶ ἀλήθειαν καὶ τὸ ψεῦδος. ἐρωτᾶ (ει) δὴ I.—[d] καὶ om ΞΣΥ.—[e] ἀνίῃ ΞΣΥm et pr Π, ἀνιῇ Δ, ἀνίηι 𝔄, ἀνίης Ξ : ἀνίει *ς.—[f] alterum τὸ add 𝔄ΓΔΛΠBCEFGXl.—[g] καὶ τὸ ὂν om Δ et pr 𝔄ΠΣ.—[h] ὧν 𝔄ΓΞΣΥHIm et pr Π, ὧν (οὗ) ὃ l, ὧν Λ, οὗ ὧν X, ὧν (in mg posito οὗ) F.—[i] μαί-

ἑκούσιον—ὀνόματι] Apposui hic ὑποστιγμὴν, ne ad hoc ὀνόματι traheretur subsequens illud γιγνομένῳ. Neque enim ipsum ὄνομα dici potuit a Platone γίγνεσθαι κατὰ τὴν βούλησιν, sed continent potius hæc τῷ κατὰ τὴν βούλ. γιγνομένῳ epexegesin præcedd. τούτῳ τῷ ὀνόματι, perinde ac si scripsisset τούτῳ τῷ ὀνόματι, τῷ εἴκοντι. Multo tamen planius dixisset τούτῳ τῷ ὀνόματι τοῦ κατὰ τὴν βούλησιν γιγνομένου. Heind.

ἀντίτυπον] Cod. Gud. ἀντιτυποῦν. Magis tamen h. l. post ἀναγκαῖον placet adjectivum ἀντίτυπον, quod et in Theæt. legitur §. 33. Heind.

τὸ περὶ τὴν ἁμαρ.] Scribendum censeo, τῷ περὶ τὴν ἁμαρτίαν etc. subaudiendo δεδηλωμένον: ut modo dixit δεδηλωμένον ἂν εἴη τούτῳ τῷ ὀνόματι τῷ κατὰ τὴν βούλησιν γιγνομένῳ. Steph.

τῇ κατὰ τὰ ἄγκη πορείᾳ] In præced. edit. scriptum est τῇ κατὰ ἀνάγκην πορείᾳ, quam mendosam lectionem in illis esse non miror: sed Ficinum eam agnoscere, id certe valde miror. Steph.

τῇ κατὰ τὰ ἄγκη] Ita recte edidit Stephanus e Bas. 2., eamque scripturam Schol. quoque servavit: γράφεται καὶ τῇ κατὰ τὰ ἄγκη πορείᾳ. Nam in Cod. Gud. et Ald. ac Bas. 1. legitur τῇ κατ' ἀνάγκην, idque Ficinus etiam expressit. Heind.

ὅτι δύσπορα] Sc. ταῦτα τὰ ἄγκη.—διὰ τοῦ ἄγκους. An διά του (τινὸς) ἄγκους? Sed vid. nostra ad Plat. Charmid. §. 7.—Cod. Gud. καὶ τὰ κάλλιστα, et statim post vitiose αὐτῶν τούτων περὶ ὧν. Heind.

ἔγωγε, τό γε ζητεῖν] Alterum γε restitui, ut Theæt. §. 154. Νῦν δῆτα—παντάπασί γε ἔγωγε—ξυνίημι οὐδὲ σμικρόν. Hæc autem quum Ficinus ita verterit: *An aliquid vocas μαίεσθαι? Herm. Ego sane, inquirere illud voco*, Heusdius correxit Μαίεσθαι οὖν καλεῖς τί; quæ correctio Platonis consuetudini repugnat. Formula hac καλεῖς τι τοῦτο; nihil apud hunc frequentius est. Supra §. 4. καλεῖς τι ἀληθῆ λέγειν καὶ ψευδῆ. ΈΡΜ. Ἔγωγε. Conf. not. nostr. ad Gorg. §. 109. Heind.

τημένῳ, λέγοντος ὅτι τοῦτ' ἐστὶν ὄν, οὗ τυγχάνει ζήτημα, τὸ ὄνομα. μᾶλλον δὲ[l] ἂν αὐτὸ γνοίης ἐν ᾧ λέγομεν τὸ ὀνομαστόν· ἐνταῦθα γὰρ σαφῶς λέγει τοῦτο εἶναι ὄν,[m] οὗ μάσμα ἐστίν. ἡ δ' ἀλήθεια, καὶ τοῦτο τοῖς ἄλλοις ἔοικε
II. ii. 81. συγκεκροτῆσθαι·[n] ἡ γὰρ θεία τοῦ ὄντος φορὰ ἔοικε προσει-

νεσθαι m.—[j] ἔγω I.—[k] τό γε add 𝔄ΔΠΥG : τὸ *ς.—[l] δ' αὖ m.—[m] ὄν, οὗ μάσμα Buttmannus : libri ὀνόμασμα.—[n] συγκεκρυτεῖσθαι F, συγκροτῆσθαι H.—[o] τῇ om F.

§. 81. *ἐν ᾧ λέγομεν τὸ ὀνομαστὸν*] I. e. *ἐν τούτῳ, ὃ λέγ. ὀνομαστόν*. Heind.

τοῦτο εἶναι ὀνόμασμα] For. *τοῦτο εἶναι ὀνόμασμα. ἡ δ' ἀλήθεια καὶ ἐκ τοῦ τῆς ἄλης ἔοικε συγ.* ut subaud. *ὀνόματος*. Steph. qui sic in notis: 'Emendationem confirmat quod sequitur, *ὡς θεία οὖσα ἄλη*.'

τοῦτο εἶναι, ὀνόμασμα ἐστὶν] De Stephani conjectura nobis quidem ita videbatur. Verbum *ἐστὶν* quum non habeat quo referatur, haud dubie deleri debet, translatum fortassis huc e superioribus: nisi malis contendere, *ἀνακολουθίαν* esse. Reliqua vero non ausim attingere: nam ut *τοῖς ἄλλοις* recte defendi et vindicari potest: quidni enim intelligi possit præpositio *σὺν*, ut etiam Ficinus accepit verba? ita non solum ellipsin illam vocabuli *ὄνομα* duram esse apparet, sed nec verbum *συγκεκροτῆσθαι* addicere: hoc enim non unum, sed duo illa vocabula poni jubet, e quibus conflatum sit nomen *ἀλήθεια*. Neque vero video, quomodo sequentia verba confirment conjecturam Stephanianam, ut ejus auctor putabat. Socrates enim primo dicit, *τὸ ἀλήθεια* esse vocabulum compositum, non simplex: deinde affert et laudat ipsa vocabula, e quibus compositum esse videatur. Fisch.

ἐνταῦθα γὰρ σαφῶς λέγει τοῦτο εἶναι, ὀνόμασμα ἐστὶν] Stephani quidem opinionem probat Fischerus. At vero vel ita nihil luminis accedit huic loco, et *μαίεσθαι* illud, de quo rogavit Socrates, nullum omnino usum habet. Sed, quid multis? Pro *ἐνταῦθα γὰρ σαφῶς λέγει τοῦτο εἶναι, ὀνόμασμα ἐστίν*, legendum videtur:—*τοῦτο εἶναι ὂν, οὗ μαῖσμα ἐστίν*. Cæterum post *ζήτημα* distinguendum, ut *τὸ ὄνομα* ad *ὅτι τοῦτ' ἐστὶν ὂν* referatur. Ut sententiam loci quam brevissimo compendio complectamur, hoc ait Socrates: *ὄνομα dici ab ὂν et μαίεσθαι i. e. ζητεῖν*, quærere: *esse enim ὄνομα illud ὂν, cujus est μαῖσμα i. e. ζήτημα*, quæstio *sive* disquisitio. Heusd.

τοῦτο εἶναι ὂν οὗ μάσμα ἐστίν] Sic ausus sum de conjectura edere, quum in eandem mecum et Buttmannus inciderit et, ut nunc video, Heusdius, nisi quod hic *μαῖσμα* reponi voluit. Vulgo—*λέγει τοῦτο εἶναι, ὀνόμασμά ἐστιν*, sine sensu ullo. Jam hæc exactissime respondent prægressis illis, *ὅτι τοῦτ' ἔστιν ὄν, οὗ τυγχάνει ζήτημα, τὸ ὄνομα*. A *μάω, μαίομαι* ductum reperitur *μάστωρ* aliaque; *μάσμα* quamvis nusquam alibi adhibitum reperias, recte tamen formatum est a Platone, velut *ἕσις* §. 78. *ἵεσις* §. 91. et plura in hoc libro alia. Illud igitur *ὀνομαστὸν* idem esse vult quod *ὂν μαστὸν, res investigata*. In Cod. Gud. ante vulgatum *ὀνόμασμα* a correctore insertum *ὅ*. Heind.

ἡ δ' ἀλήθεια, καὶ τοῦτο τοῖς ἄλλοις ἔοικε συγκεκροτῆσθαι] Recte Ficinus: *'Αλήθεια vero, sicut et alia (cetera) contrahi conflarique videtur*. Nam *συγκεκροτῆσθαι* h. l. eadem vi adhibitum esse oportet, qua paullo ante in verbis, *ἔοικε τοίνυν ἐκ λόγου ὀνόματι συγκεκροτημένῳ*. Sed dativus *τοῖς ἄλλοις* nihil habet unde pendeat, in quo nemo præter Fischerum *σὺν* suppleri posse opinabitur, Stephani autem commentum conjectantis, *καὶ ἐκ τοῦ τῆς ἄλης ἔοικε συρκεκρ.*, refutare non attinet. Platonem scripsisse suspicor: *ἡ δ' ἀλήθεια κατὰ ταυτὰ τοῖς ἄλλ.* etc. Scilicet vocabulum *ὄνομα* ex *λόγῳ* quodam conflatum docuit; vocabulum *ἀλήθειαν eodem modo, quo cetera, conflatum videri* dicit, non ex *λόγῳ* s. *propositione aliqua*, sed ex singulis his verbis, *ἄλης* et *θείας*. Heind.

φορᾷ ἔοικε] Plutarchus de Isid. et Osir. t. ii. p. 375. D. *οὕτω δὲ καὶ Πλάτων φησὶ τὴν ὁσίαν δηλοῦν τοὺς παλαιοὺς, 'Ισίαν καλοῦντας· οὕτω καὶ τὴν νόησιν καὶ τὴν φρόνησιν, ὡς νοῦ φορὰν καὶ κίνησιν οὖσαν, ἱεμένου καὶ φερομένου, καὶ τοῦ συνιέναι καὶ τἀγαθὸν ὅλως, καὶ ἀρετὴν ἐπὶ*

ρῆσθαι τούτῳ τῷ ῥήματι, τῇ[o] ἀληθείᾳ, ὡς θεία[p] οὖσα ἄλη.[q] τὸ δὲ[r] ψεῦδος τοὐναντίον τῇ φορᾷ· πάλιν γὰρ[s] αὖ λοιδορούμενον ἥκει τὸ[t] ἰσχόμενον καὶ τὸ ἀναγκαζόμενον ἡσυχάζειν, ἀπείκασται δὲ τοῖς καθεύδουσι· τὸ ψῖ δὲ προσγενόμενον[v] ἐπικρύπτει τὴν βούλησιν τοῦ ὀνόματος. τὸ δὲ ὂν καὶ ἡ οὐσία ὁμολογεῖ τῷ ἀληθεῖ, τὸ ἰῶτα ἀπολαβόν·[w] ἰὸν γὰρ σημαίνει, καὶ τὸ οὐκ ὂν αὖ, ὥς τινες[x] καὶ ὀνομάζουσιν αὐτὸ[y] οὐκὶ ὄν.[z]

ΕΡΜ. Ταῦτα μέν μοι δοκεῖς,[a] ὦ Σώκρατες, ἀνδρείως πάνυ διακεκροτηκέναι. εἰ δέ τίς σε[b] ἔροιτο τοῦτο[c] τὸ ἰὸν καὶ τὸ ῥέον καὶ τὸ δοῦν, τίνα ἔχει ὀρθότητα ταῦτα τὰ ὀνόματα.[d]

ΣΩ. Τί[e] ἂν αὐτῷ ἀποκριναίμεθα[f] λέγεις; ἦ γάρ;

—[p] ὡς θεία om I.—[q] ἄλη 𝔄ΞΣ, ἄλλη EF*l*, τουτέστι πλάνη ἄλλη G.—[r] δὲ om 𝔄.—[s] γὰρ om E.—[t] τὸ om ΞΣΥ.—[v] προσγινόμενον Π.—[w] ἀποβαλόν Ξ*s*.—[x] τινὲς ὀνόματι Γ et rc 𝔄.—[y] καὶ τὸ I.—[z] libri οὐκ ἰόν.—[a] δοκεῖ G.—[b] σε om 𝔄Δ.—[c] ἔροιτο αὖ τοῦτο G.—[d] τὰ ὀνόματα ταῦτα Γ, om EFH.—[e] τί 𝔄ΓΔΛΞΠΣΥBCGHIX

τοῖς εὑροῦσι καὶ θεοῦσι θέσθαι. Fisch.

πάλιν γὰρ αὖ] Cod. Gud. vitiose ἄλλην γὰρ αὖ. Particularum πάλιν αὖ junctura nihil apud Platonem est tritius. V. not. ad Gorg. §. 37. Heind.

τῷ ἀληθεῖ] Τὸ ἀληθὲς hoc loco est universi hujus conditio, ut omnia perpetuo eant, moveantur, mutentur. Cui conditioni ὂν et οὐσία convenire dicitur, τὸ ἰῶτα ἀποβαλόν. Atque ὂν et οὐσία, ut rerum naturæ conveniant et motum significent, mutanda sunt in ἰὸν et ἰουσία, assumere ἰῶτα debent, non abjicere. Sed facile tolli repugnantia potest. Simpliciter enim ἀποβαλὸν in ἀπολαβὸν mutandum. Quod ad posteriorem loci partem attinet, apparet quidem, hanc ejus esse vim et sententiam, τὸ ὂν et τὸ οὐκ ὂν significare ἰὸν et οὐκ ἰὸν, sed quid sibi vult illud: ὥς τινες καὶ ὀνομάζουσιν αὐτό? Nemo enim pro οὐκ ὂν dicat οὐκ ἰόν. Forte hoc voluit Plato, pro οὐκ ὂν nonnullos dicere οὐχὶ ὂν, atque adeo ita illud pronunciari nonnunquam ac si dicatur οὐν ἰόν. Quæ si Platonis mens est, pro οὐκ ἰὸν scribendum est οὐχὶ ὄν. Heusd.

τὸ ἰῶτα ἀπολαβὸν] Sic Cod. Gud. cum Ficino: *si ι apponatur*, ut corrigendum Heusdius viderat. Vulgo ἀποβαλόν.—καὶ τὸ οὐκ ὂν—οὐκ ἰόν. *Et verba item οὐκ ὂν significant οὐκ ἰὸν, uti et loquuntur nonnulli.* Ingeniose monet Buttmannus, videri fuisse in plebe vocabulum οὔκιον (*nichtig*), nisi forte, quæ est Heusdii conjectura, scribendum est οὐχὶ ὂν pro οὐκ ὂν, ut Plato voluerit, pro οὐκ ὂν nonnullos dicere οὐχὶ ὂν, atque ita illud pronuntiari nonnunquam ac si dicatur οὐκ ἰόν. Heind.

εἰ δέ τίς σε ἔροιτο] Abest σε a Cod. Gud., bene, opinor. Alioquin enim in verbis subseqq. ἀποκριναίμην potius inferretur quam ἀποκριναίμεθα. Heind.

ἀποκριν. λέγ.] Inter ἀποκριναίμεθα et λέγεις, quædam deesse suspicor. Volui autem lectionem Ald. editionis repræsentare, ideoque post λέγεις notam interrogationis non posui. Steph.

ἀπ. λεγ.] Sana omnia atque integra esse apparebit, modo verba sic distinguantur, τίνα ἂν αὐτῷ ἀποκριναίμεθα; λέγεις; aut λέγεις ἦ γάρ; ΣΩ. Πάνυ μὲν οὖν. Ἓν μέντοι —. Post verbum λέγεις; intelligi debent e superioribus verba ἔχειν ὀρθότητα ταῦτα τὰ ὀνόματα. Cæterum quid Ficinus habuerit in suis libris, non satis apparet. vertit, *quid illi potissimum respondebimus? habesne?* Fisch.

τίνα ἂν αὐτῷ ἀποκριναίμεθα, λέγεις; ἦ γάρ;] Quæ vulgo ad Hermogenis orationem trahuntur, Socrati assignavi, a quo Hermogenis sermonem interrumpi liquet his verbis: *quid ei respondeamus, quæris? Nonne?* Phileb. p. 49. A. Σ. Τοῦτο τοίνυν ἔτι διαιρετέον, ὦ Πρώταρχε, δίχα, εἰ μέλλομεν τὸν παιδικὸν ἰδόντες φθόνον ἄτοπον ἡδονῆς καὶ λύπης ὄψεσθαι μίξιν. ΠΡ. Πῶς οὖν τέμνωμεν δίχα, λέ-

ΕΡΜ. Πάνυ μὲν οὖν.

§. 82. ΣΩ. Ἕν[g] μὲν τοίνυν[h] ἄρτι που ἐπορισάμεθα, ὥστε δοκεῖν τι λέγειν ἀποκρινόμενοι.[i]

ΕΡΜ. Τὸ ποῖον τοῦτο;

ΣΩ. Φάναι, ὃ ἂν[j] μὴ γιγνώσκωμεν,[k] βαρβαρικόν τι[l] τοῦτ' εἶναι. εἴη μὲν οὖν[m] ἴσως ἄν τι τῇ ἀληθείᾳ καὶ τοιοῦτον[n] αὐτῶν, εἴη δὲ κἂν ὑπὸ παλαιότητος τὰ πρῶτα τῶν
ii. ii. 82. ὀνομάτων[o] ἀνεύρετα[p] εἶναι· διὰ γὰρ[q] τὸ πανταχῇ στρέφεσθαι[r] τὰ ὀνόματα οὐδὲν θαυμαστὸν ἂν εἴη εἰ[s] ἡ παλαιὰ φωνὴ πρὸς τὴν[t] νυνὶ βαρβαρικῆς μηδὲν διαφέροι.[u]

ΕΡΜ. Καὶ[v] οὐδέν γε[w] ἀπὸ τρόπου λέγεις.[x]

ΣΩ. Λέγω γὰρ οὖν εἰκότα. οὐ μέντοι μοι[y] δοκεῖ προ-

lm : *τίνα* *ς.—[f] *ἀποκρινάμεθα* I.—[g] *ὃ* X.—[h] *μὲν τοίνυν* ΓΔΠBCEFGHIX*lm* : *μέντοι νῦν* *ς.—[i] *ἀποκρινόμενον* *l*.—[j] *ἂν* ΓΛBCEGHIX*lm* : *ἐὰν* *ς.—[k] *γιγνώσκοιμεν* G. —[l] *τι* om ΓBEFHIX*lm*.—[m] *οὖν* om BCEFHIX*lm* et pr ΓΛ : *γὰρ* rc Γ.—[n] *τοιούτων* Σ.—[o] *πρῶτα τῶν ὀνομάτων*] *τοιαῦτα* F.—[p] *ἀνερεύνητα* corr Π : *ἀνεύρετα...ὀνόματα* om *l*.—[q] *γὰρ* om Δ.—[r] *φέρεσθαι* G.—[s] *εἰ* om 𝔄ΔΣΥBCGHI et pr ΞΠEF.—[t] *τῇ* pr

ει οι

G.—[u] *διαφέρει* ΓΞΣΥX*m* et corr Λ, *διαφερειν* 𝔄, *διαφέρειν* F, *διαφέρειν* ΔΠBCGHI*l*. —[v] *καὶ* om H.—[w] *γε* om G.—[x] *φέρεις* 𝔄Δ.—[y] *οὐδέν τοι* pr Λ, *ὅμως οὐδέν τοι* X.

γεις; Σ. Ναί. De Legg. iii. p. 687. D. A. Καὶ μὴν ὧν γε ὁ παῖς εὔχεται ἑαυτῷ γίγνεσθαι, πολλὰ ὁ πατὴρ ἀπεύξαιτ' ἂν τοῖς θεοῖς μηδαμῶς κατὰ τὰς τοῦ υἱέως εὐχὰς γίγνεσθαι. M. Ὅταν ἀνόητος ὢν καὶ ἔτι νέος εὔχηται, λέγεις; ΑΘ. Καὶ ὅταν. Interrupti autem sermonis similis ratio supra fuit §. 20. Σ. Ὧδε δὴ σκόπει· εἴ τις ἔροιτό σε, πότερον οἴει ὀρθότερον καλεῖν τὰ ὀνόματα τοὺς φρονιμωτέρους ἢ τοὺς ἀφρονεστέρους. ΕΡΜ. Δῆλον δὴ ὅτι τοὺς φρονιμωτέρους φαίην ἄν, ubi vid. not. Jam verba Πάνυ μὲν οὖν manifesto Hermogeni tribuenda sunt, cui tribuuntur in Ed. Ald., quum contra in Bas. utraque Socrati tribuantur. Vulgata personarum distinctio ferri posset, si pro λέγεις scriptum legeremus ἔχεις λέγειν; vel certe λέγοις ἄν; — Pro τίνα ἂν Cod. Gud. τί ἄν. Statim post vulgo Ἓν μέντοι, νῦν ἄρτ. Heind.

§. 82. ὃ ἂν] Sic Cod. Gud. Vulgo ὃ ἐὰν. Ante φάναι autem inserendus est art. τό. Tum male id. lib. γιγνώσκοιμεν. Ex eodem deinde libro scripsi ἀνερεύνητα pro ἀνεύρετα. Ficinus: *prima nomina inscrutabilia sunt.* Hipp. Maj. §. 41. ὃς ἐμοὶ οὐδὲν ἂν μᾶλλον ταῦτα ἐπιτρέποι ἀνερεύνητα ὄντα ῥᾳδίως λέγειν etc. Mox idem διαφέρειν pro διαφέροι, quod mutandum puto in διαφέρει. Vid. not. ad Gorg. §. 15. Heind.

οὐδέν γε ἀπὸ τρόπου] Male a Cod. Gud. abest γε. Theæt. §. 4. καὶ οὐδέν γε ἀπὸ τρόπου, et sic sæpe. Heind.

οὐ μέντοι μοι δοκεῖ] Cod. Gud. οὐ μέντοι μοι δοκεῖν προφάσεις ἀγὼν δέχεσθαι. Schol. Ἀγὼν πρόφασιν οὐκ ἀναμένει, ἐπὶ τῶν φύσει ῥαθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. Μέμνηται δὲ αὐτῆς Πλάτων ἐνταῦθα οὕτως· οὐ μέντοι μοι δοκεῖ προφάσεις ἀγὼν δέχεσθαι. Καὶ ἐν Νόμων ἕκτῳ· (p. 751. D.) ἀλλὰ γὰρ ἀγῶνα προφάσεις (φασὶν ?) οὐ πάνυ δέχεσθαι. Αἰσχύλος δέ φησι Γλαύκῳ Ποτνιεῖ· Ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους. Καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'. Conf. Leopard. Emend. xiii. 7. et Bergler. ad Alciphr. i. Ep. 39. Ejusdemque generis sunt illa apud Chariton. Aphrod. viii. 2. πόλεμος ἀναβολὴν οὐ περιμένει, ubi apte Dorvillius attulit Eurip. Heracl. 721. Ὡς ἐγγὺς ἀγών, καὶ μάλιστ' Ἄρης στυγεῖ Μέλλοντας. Articulum ὁ ante ἀγὼν recte fortasse h. l. omisit Cod. Gud. et Schol. quanquam ὁ ἀγὼν h. l. accipi potest pro ἀγὼν οὗτος, ut Aristoph. Acharn. 392. Ὡς σκῆψιν ἂν ἀγὼν οὗτος οὐκ ἐσδέξεται. Heind.

φάσεις[z] ἀγὼν εἰσδέχεσθαι,[a] ἀλλὰ προθυμητέον αὐτὰ[b] δια-
σκέψασθαι. ἐνθυμηθῶμεν δέ, εἴ τις ἀεί, δι' ὧν[c] ἂν λέγηται
τοὔνομα,[d] ἐκεῖνα ἀνερήσεται[e] τὰ ῥήματα, καὶ αὖθις αὖ
δι' ὧν ἂν[f] τὰ ῥήματα λεχθῇ, ἐκεῖνα πεύσεται, καὶ τοῦτο
μὴ παύσεται ποιῶν, ἆρ' οὐκ ἀνάγκη τελευτῶντα[g] ἀπειπεῖν
τὸν[h] ἀποκρινόμενον;

ΕΡΜ. Ἔμοιγε δοκεῖ.

§. 83. ΣΩ. Πότε[i] οὖν ἀπειπὼν ὁ ἀπαγορεύων δικαίως I. 422.
παύοιτ' ἄν;[j] ἆρ' οὐκ[k] ἐπειδὰν ἐπ' ἐκείνοις γένηται τοῖς ὀνό-
μασιν, ἃ ὡσπερεὶ στοιχεῖα τῶν ἄλλων ἐστὶ καὶ λόγων καὶ
ὀνομάτων; ταῦτα γάρ που οὐκέτι δίκαιον φανῆναι ἐξ ἄλ-
λων ὀνομάτων ξυγκείμενα,[l] ἂν οὕτως ἔχῃ. οἷον νῦν δὴ τἀ-
γαθὸν[m] ἔφαμεν ἐκ τοῦ ἀγαστοῦ καὶ ἐκ τοῦ θοοῦ[n] ξυγκεῖσ-
θαι·[o] τὸ δὲ θοὸν[p] ἴσως φαῖμεν ἂν[q] ἐξ ἑτέρων, ἐκεῖνα δὲ ἐξ
ἄλλων. ἀλλ' ἐάν ποτέ γε[r] λάβωμεν ὃ οὐκέτι[s] ἔκ τινων
ἑτέρων ξύγκειται[t] ὀνομάτων, δικαίως ἂν φαῖμεν ἐπὶ στοι- II. ii. 83.
χείῳ τε[u] ἤδη εἶναι καὶ οὐκέτι τοῦτο ἡμᾶς δεῖν εἰς ἄλλα
ὀνόματα ἀναφέρειν.

ΕΡΜ. Ἔμοιγε[v] δοκεῖς[w] ὀρθῶς[x] λέγειν.

ΣΩ. Ἆρ' οὖν καὶ[y] νῦν ἃ ἐρωτᾷς[z] τὰ ὀνόματα, στοιχεῖα ὄντα τυγχάνει, καὶ δεῖ αὐτῶν ἄλλῳ τινὶ τρόπῳ ἤδη τὴν ὀρθότητα ἐπισκέψασθαι ἥ τις ἔστιν;

ΕΡΜ. Εἰκός γε.

—[z] ante ἀγὼν omisi ὁ cum 𝔄ΔΛΠΣΥBCEFGHIXlm et pr Γ.—[a] scribe δέχεσθαι cum 𝔄ΓΛBCEFGHIXm.—[b] ταῦτα 𝔄ΔΞΠΣΥ, αὐτοὺς I.—[c] ὃν l.—[d] τοὔνομα Γ.—
αὖ
[e] ἀνερήσεται ΛBX, ἂν ἐρήσεται E, ἐρήσεται 𝔄ΔΣΥG et pr Ξ, ἂν εὑρήσεται I: ἂν ἐρήσεται *ς.—[f] ἂν om G.—[g] τελευτῶντα om ΣΥ et pr Ξ.—[h] τὸ Δ et pr 𝔄Υ.—[i] τότε l.—[j] ἂν παύοιτο G.—[k] ἆρ' οὖν οὐκ Γ.—[l] ξ. ΔΣΥ.—[m] τἀγαθὸν Γ.—[n] θεοῦ l.—[o] ξ. ΔΞΣΥ.—[p] θεὸν l.—[q] φῶμεν ἂν Π.—[r] γε om ΓΛBCEFGHIXlm.—[s] οὐκ m.—[t] ξ. ΔΞ ΣΥ.—[u] τε...ἀναφέρειν om H.—[v] ἔτι μοι γε H.—[w] δοκεῖ ΥΙls.—[x] ὁρᾷς I.—[y] οὖν γε καὶ m.—[z] ἀγρώταις γρ B, ἀγρόταις 𝔄ΔΠG: ἐρωτᾷς cum *ς corr Υ.—[a] ὦ ὁ Π.—

εἴτις ἀεὶ—ἀνερήσεται] In his τὸ ὄνομα positum est pro τὶ ὄνομα (vid. not. ad Charmid. §. 7.) ἀνερήσεται autem rescripsi pro ἂν ἐρήσεται. Cod. Gud. ἀνευρήσεται, quod natum suspicetur aliquis ex ἀνερευνήσεται. Heind.

§. 83. παύοιτ' ἂν] Cod. Gud. ἂν παύοιτο;—ἂν οὕτως ἔχῃ, si sunt τῶν ἄλλων ὡσπερεὶ στοιχεῖα. Hæc tamen si abessent, nemo requireret; magis certe placeret ἃ ἂν οὕτ. ἔχῃ.—οἷον νῦν δή. §. 63. Porro in his, ἀλλ' ἐάν ποτέ γε λαβ. in Cod. Gud. omissum γε. Heind.

δοκεῖς] Sic Cod. Gud. Vulgo vitiose δοκεῖ.—νῦν ἃ ἐρωτᾷς pro ἃ νῦν ἐρ. Hipp. Maj. §. 3. νῦν εἰ γενόμενος τοιαῦτ' ἐργάζοιτο etc. Quanquam hoc obvium est. Intelligenda autem sunt vocabula τὸ ἰὸν καὶ τὸ ῥέον καὶ τὸ δοῦν, ab Hermogene Socrati proposita §. 81. extr. Heind.

ΣΩ. Εἰκὸς δῆτα, ὦ[a] Ἑρμόγενες· πάντα γοῦν φαίνεται τὰ ἔμπροσθεν εἰς ταῦτ᾽ ἀνεληλυθέναι. εἰ δὲ τοῦτο οὕτως ἔχει ὡς ἐμοὶ[b] δοκεῖ ἔχειν, δεῦρο αὖ[c] συνεπίσκεψαι μετ᾽ ἐμοῦ, μή τι παραληρήσω λέγων οἵαν δεῖ τὴν τῶν πρώτων ὀνομάτων[d] ὀρθότητα εἶναι.

§. 84. ΕΡΜ. Λέγε μόνον, ὡς ὅσον γε[e] δυνάμεως παρ᾽ ἐμοί[f] ἐστι, συνεπισκέψομαι.[g]

ΣΩ. Ὅτι μὲν τοίνυν μία γέ τις ἡ[h] ὀρθότης παντὸς ὀνόματος καὶ πρώτου καὶ ὑστάτου, καὶ οὐδὲν διαφέρει τῷ[i] ὄνομα εἶναι οὐδὲν αὐτῶν, οἶμαι καὶ σοὶ ξυνδοκεῖν.[j]

ΕΡΜ. Πάνυ γε.

ΣΩ. Ἀλλὰ μὴν ὧν γε νῦν[k] διεληλύθαμεν τῶν[l] ὀονμάτων ἡ[m] ὀρθότης τοιαύτη τις ἐβούλετο εἶναι, οἵα δηλοῦν οἷον ἕκαστόν ἐστι τῶν ὄντων.

II. ii. 84. ΕΡΜ. Πῶς γὰρ οὔ;

ΣΩ. Τοῦτο μὲν ἄρα οὐδὲν ἧττον καὶ τὰ πρῶτα δεῖ ἔχειν καὶ τὰ ὕστερα,[n] εἴ περ ὀνόματα ἔσται.

ΕΡΜ. Πάνυ γε.

ΣΩ. Ἀλλὰ δὴ[o] τὰ μὲν ὕστερα, ὡς ἔοικε, διὰ τῶν προτέρων οἷά τε ἦν τοῦτο ἀπεργάζεσθαι.

ΕΡΜ. Φαίνεται.

ΣΩ. Εἶεν. τὰ δὲ[p] δὴ πρῶτα, οἷς οὔ πω ἕτερα[q] ὑπόκειται, τίνι τρόπῳ κατὰ τὸ δυνατὸν ὅτι μάλιστα φανερὰ ἡμῖν ποιήσει τὰ ὄντα,[r] εἴ περ μέλλει[s] ὀνόματα εἶναι; Ἀπόκριναι δέ μοι τόδε· εἰ φωνὴν μὴ εἴχομεν μηδὲ γλῶτταν, ἐβουλόμεθα δὲ δηλοῦν ἀλλήλοις τὰ πράγματα, ἆρ᾽ οὐκ ἄν, ὡς

[b] ἐμοὶ G, μὴ Δ: μοι *ς.—[c] ἂν ΓΣΥFG*lm*, οὖν X.—[d] ὀνομάτων om Γ.—[e] γε om EF.—[f] ἐμοί 𝔄ΓΔΛBCEFGHIX*lm*, ἔμοιγ᾽ ς.—[g] ἐπισκέψομαι F.—[h] ἡ om FG.—[i] τῷ 𝔄ΓΔΛΠBCEFGHX*lm*: τὸ *ς.—[j] ξυνδοκεῖν ΔΞ, ξυνδοκεῖ 𝔄ΣΥ, συνδοκεῖ ΓΛBCEFGH X*l*.—[k] lacuna in G.—[l] τῶν om E.—[m] ἡ om F.—[n] κατὰ ὕστερα Δ: καὶ τὰ ὕστερα post ἔσται ponit G.—[o] δὴ add G.—[p] μὲν Σ ει corr Υ.—[q] πρότερα F.—[r] ὀνόματα

§. 84. *οὐδὲν διαφέρει τὸ ὄνομα εἶναι*] Ut Theæt. §. 90. *τοῦτό γε—ὑπισχνεῖτο πάντων διαφέρειν αὐτὸς*, ubi vid. not. Ne quis corrigat *τῷ ὄνομ. εἶναι*. Heind.

συνδοκεῖν] Cod. Gud. *συνδοκεῖ*. Mox scripserim *ὧν γε νῦν δὴ διεληλύθ*. V. not. ad Plat. Phædr. §. 130.—*καὶ τὰ πρῶτα δεῖ ἔχειν, εἴπερ* etc. Cod. Gud. *καὶ τὰ πρ. δεῖ ἔχειν, εἴπερ ὀνόματα ἔσται, καὶ τὰ ὕστερα*. Tum in verbis *Ἀλλὰ δὴ τὰ μὲν ὕστ.* ex eod. lib. voculam *δὴ* recepi. de Rep. ii. 365. D. *Ἀλλὰ δὴ θεοὺς οὔτε λανθάνειν οὔτε βιάσασθαι δυνατόν*. Paulloque inferius in his *ταῖς χερσὶ καὶ τῇ κεφαλῇ* etc. art. *τῇ* e Cod. Gud. revocavi. Heind.

περ νῦν οἱ ἐνεοί, ἐπεχειροῦμεν[t] ἂν σημαίνειν ταῖς χερσὶ καὶ τῇ[u] κεφαλῇ καὶ τῷ ἄλλῳ[v] σώματι;

§. 85. ΕΡΜ. Πῶς γὰρ ἂν ἄλλως, ὦ Σώκρατες; I. 423.

ΣΩ. Εἰ μὲν γ',[w] οἶμαι, τὸ ἄνω καὶ τὸ κοῦφον ἐβουλόμεθα δηλοῦν, ᾔρομεν ἂν πρὸς τὸν οὐρανὸν τὴν χεῖρα, μιμούμενοι αὐτὴν τὴν φύσιν τοῦ πράγματος· εἰ δὲ τὰ[x] κάτω καὶ τὰ[y] βαρέα, πρὸς τὴν γῆν. καὶ εἰ[z] ἵππον θέοντα ἤ τι[a] ἄλλο τῶν ζώων ἐβουλόμεθα δηλοῦν, οἶσθα ὅτι[b] ὡς ὁμοιότατ'[c] ἂν τὰ ἡμέτερα[d] αὐτῶν σώματα καὶ σχήματα[e] ἐποιοῦμεν ἐκείνοις;

ΕΡΜ. Ἀνάγκη μοι[f] δοκεῖ ὡς λέγεις ἔχειν. II. ii. 85.

ΣΩ. Οὕτω γὰρ[g] ἄν, οἶμαι, δήλωμά[h] του τῷ σώματι[i] γίγνετο,[j] μιμησαμένου,[k] ὡς ἔοικε, τοῦ σώματος ἐκεῖνο ὃ βούλετο δηλῶσαι.

ΕΡΜ. Ναί.

ΣΩ. Ἐπειδὴ δὲ φωνῇ τε καὶ γλώττῃ καὶ στόματι βουλόμεθα δηλοῦν, ἆρ' οὐ[l] τότε[m] ἑκάστου δήλωμα[n] ἡμῖν ἔσται

ί.—[s] μέλλει post εἶναι ponit G.—[t] ἐπιχειροῦμεν Ξ.—[u] τῇ add G.—[v] ἑτέρῳ, γρ λλῳ, X.—[w] γὰρ G.—[x] τὸ Γ, om 𝔄ΔΣΥm et pr Ξ.—[y] τὰ om I et pr Λ.—[z] εἰ om .—[a] ἤτοι I, ὅτι X.—[b] ὅτι om l.—[c] ὁμοιότητ' l.—[d] τήμετε G.—[e] σώματι καὶ σχήατι G.—[f] ἀνάγκη δή μοι m.—[g] τὸ I.—[h] δήλωμα 𝔄ΓΔΛΠBCEFGHIXlm : δηλώατα *ς.—[i] του τῷ σώματι Heindorfius, τούτω τῶ σώματι γρ BC, τούτου τῶ σώατι G et corr Π, διὰ τοῦ σώματος ιc E : τοῦ σώματος *ς.—[j] ἐγίγνετο...σώματος m Γ.—[k] μιμησαμένους fortasse 𝔄.—[l] ἆρ' οὖν οὐ Δ.—[m] τόγε Ξς.—[n] ἑκάστου τότε

§. 85. εἰ μὲν γὰρ] Edidi γὰρ pro γε x Cod. Gud. Heind.

καὶ ἵππον] Stephanus emendabat καὶ ἰ ἵππον—. Certe particula εἰ facile pouit a librariis omitti ob similitudinem equentis syllabæ. At per se non neesse est, ut quidquam mutetur: immo ἰ repeti e superioribus debet. Quam ationem non novam esse in utriusque nguæ scriptorum libris, quis est, qui esciat? Fisch.

καὶ εἰ ἵππον θέοντα] Vocula εἰ vulgo mittitur, de quo vitio jam Steph. mouerat.—οἶσθ' ὅτι. Cod. Gud. οἶσθ' οὖν. f. not. ad Gorg. §. 91. Heind.

δήλωμά του τῷ σώματι] Vulgo δηλώατα τοῦ σώματος, post quæ in verbis ubsequentibus, μιμησαμένου, ὡς ἔοικε, οῦ σώματος ἐκεῖνο etc. Plato scripsisset ὐτοῦ, non iterum τοῦ σώματος. Bas. 2. et Steph. pro v. l.] δήλωμα τούτῳ τῷ σώματι, Cod. Gud. δήλωμα τούτου σώματι, unde facile Platonis manum restituimus. δήλωμα τῷ σώματι dictum, ut §. 105. δήλωμα συλλαβαῖς καὶ γράμμασι. §. 47. αἱ τοῖς ἰατρικοῖς φαρμάκοις καὶ αἱ τοῖς μαντικοῖς περιθειώσεις. Phileb. p. 46. A. τὰς τῆς ψώρας ἰάσεις τῷ τρίβειν. de Rep. iii. p. 397. A. διὰ μιμήσεως φωναῖς τε καὶ σχήμασι. de Legg. i. p. 633. B. ἐν ταῖς πρὸς ἀλλήλους ταῖς χερσὶ μάχαις. Ibid. vii. p. 824. A. ἡ τῶν τετραπόδων ἵπποις καὶ κυσὶ καὶ τοῖς ἑαυτῶν θήρα σώμασιν, et plurima hujus generis alia. Heind.

τότε ἑκάστου] Ita Cod. Gud. Vulgo τό γε ἑκάστου τότε. Heind.

Sed vulg. valet, *nonne cujusque rei ea quidem significatio, quæ his membris efficitur, tum eam rem certo indicabit etc.* Antea malim legi: βουλόμεθά τι δηλοῦν. Beck.

τὸ ἀπὸ τούτων γιγνόμενον, ὅταν μίμημα γένηται διὰ τούτων περὶ ὁτιοῦν;[o]

ΕΡΜ. Ἀνάγκη μοι δοκεῖ.

ΣΩ. Ὄνομ' ἄρ' ἐστίν, ὡς ἔοικε, μίμημα φωνῆς[p] ἐκείνου[q] ὃ[r] μιμεῖται καὶ ὀνομάζει ὁ μιμούμενος τῇ φωνῇ ὃ[s] ἂν μιμῆται.

ΕΡΜ. Δοκεῖ μοι.

ΣΩ. Μὰ Δί' ἀλλ' οὐκ[t] ἐμοί πω[u] δοκεῖ καλῶς λέγεσθαι, ὦ ἑταῖρε.

ΕΡΜ. Τί δή;[v]

ΣΩ. Τοὺς τὰ πρόβατα μιμουμένους τούτους[w] καὶ τοὺς ἀλεκτρυόνας καὶ τἆλλα ζῶα ἀναγκαζοίμεθ' ἂν ὁμολογεῖν ὀνομάζειν ταῦτα ἅ περ μιμοῦνται.

ΕΡΜ. Ἀληθῆ λέγεις.

ΣΩ. Καλῶς οὖν ἔχειν δοκεῖ σοι;

ΕΡΜ. Οὐκ ἔμοιγε.[x] ἀλλὰ τίς ἄν, ὦ Σώκρατες, μίμησις εἴη[y] τοὔνομα;[z]

II. ii. 86. §. 86. ΣΩ. Πρῶτον μέν, ὡς ἐμοὶ δοκεῖ, οὐκ ἐὰν καθά περ τῇ μουσικῇ μιμούμεθα[a] τὰ πράγματα, οὕτω μιμώμεθα,[b] καί τοι φωνῇ[c] γε καὶ τότε μιμούμεθα·[d] ἔπειτα οὐκ ἐὰν ἅ περ ἡ μουσικὴ μιμεῖται,[e] καὶ ἡμεῖς μιμώμεθα, οὔ μοι δοκοῦμεν ὀνομάσειν. λέγω δὲ τί[f] τοῦτο; ἔστι[g] τοῖς[h] πράγμασι φωνὴ καὶ σχῆμα ἑκάστῳ, καὶ χρῶμά γε πολλοῖς;

δήλωμα ΞΣΥς.—[o] ὁτουοῦν F.—[p] φωνῆ ΔΥ, φωνῆι 𝔄.—[q] ἐκεῖνο ΓΛBCEFHI*lm*, ἐκεῖ(ῆς) X.—[r] ὃ E.—[s] ἣ X.—[t] οὐκ ἀλλ' ΓΔΛΞΠΣΥCEFHIX et mg 𝔄, οὐκ ἄλλ' 𝔄 et corr B cum ς.—[u] οὔπω ΓΛEFHIX*m*, πάνυ γρ B.—[v] δέ X.—[w] τούς τε *l*.—[x] οὐκ ἔμοιγε om I.—[y] ἔσται F.—[z] τοὔνομα Γ.—[a] μιμούμεθα Γ*lm* et corr 𝔄E: μιμώμεθα *ς.—[b] μιμούμεθα ΛBCEFGIX.—[c] τοι τῇ φωνῇ G.—[d] μιμώμεθα Δ.—[e] μιμῆται 𝔄ΓΞΣΥI, μεμίμηται G.—[f] τί ΓΠΥG, τοι I: τι *ς.—[g] ὅτι ἔστι G.—[h] τις Eς.—[i] ἡ post τέχνη

ὄνομα ἄρα ἐστὶν] Scripsi pro ὄνομ' ἄρ' ἐστίν. Mox in verbis ὃ ἂν μιμῆται abest ὃ a Cod. Gud. Sed pro ὃ ἂν malim ὅταν. Heind.

τοὺς τὰ πρόβατα μιμουμένους τούτους] Omissum est hoc τούτους in eodem libro, sed significari videtur a Socrate certum aliquod notumque genus hominum voces has artificiose imitantium. Heind.

§. 86. οὐκ ἐὰν] Iteratur hoc οὐκ in verbis deinceps illatis οὔ μοι δοκοῦμεν etc.—καθάπερ τῇ μουσικῇ μιμούμεθα. Vitiose vulgo μιμώμεθα.—καίτοι τῇ φωνῇ. Articulum τῇ addidi e Cod. Gud. Mox in his, οὔ μοι δοκοῦμεν ὀνομάσειν scribendum videtur aut ὀνομάζειν aut ὀνομάσαι. Heind.

τοῦτο· ἔστι] Cod. Gud. τοῦτο; ὅτι ἐστὶ etc. ut Protag. p. 343. B. Τοῦ δὴ ἕνεκα ταῦτα λέγω; ὅτι οὗτος ὁ τρόπος ἦν

ΕΡΜ. Πάνυ γε.

ΣΩ. Ἔοικε τοίνυν οὐκ ἐάν τις ταῦτα μιμῆται, οὐδὲ περὶ ταύτας τὰς μιμήσεις ἡ τέχνη ἡ[i] ὀνομαστικὴ εἶναι. αὗται μὲν γάρ[j] εἰσιν ἡ μὲν μουσική, ἡ δὲ γραφική. ἦ γάρ;

ΕΡΜ. Ναί.

ΣΩ. Τί δαὶ[k] δὴ τόδε;[l] οὐ καὶ οὐσία δοκεῖ σοι εἶναι ἑκάστῳ, ὥς περ καὶ χρῶμα καὶ ἃ νῦν δὴ ἐλέγομεν; πρῶτον αὐτῷ τῷ χρώματι καὶ τῇ φωνῇ οὐκ ἔστιν οὐσία τις ἑκατέρῳ[m] αὐτῶν[n] καὶ τοῖς ἄλλοις πᾶσιν,[o] ὅσα ἠξίωται ταύτης τῆς προσρήσεως[p] τοῦ[q] εἶναι;

ΕΡΜ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Τί οὖν; εἴ τις αὐτὸ[r] τοῦτο μιμεῖσθαι δύναιτο ἑκάστου, τὴν οὐσίαν,[s] γράμμασί τε καὶ συλλαβαῖς, ἆρ' οὐκ ἂν δηλοῖ ἕκαστον ὃ ἔστιν; ἢ οὔ;

ΕΡΜ. Πάνυ μὲν οὖν. II. ii. 87. I. 424.

ΣΩ. Καὶ τί ἂν φαίης τὸν τοῦτο[t] δυνάμενον, ὥς περ τοὺς προτέρους τὸν μὲν μουσικὸν ἔφησθα, τὸν δὲ γραφικόν; τοῦτον[u] δὲ τίνα;

§. 87. ΕΡΜ. Τοῦτο ἔμοιγε δοκεῖ,[v] ὦ Σώκρατες, ὅ περ[w] πάλαι ζητοῦμεν,[x] οὗτος ἂν εἶναι ὁ[y] ὀνομαστικός.[z]

om 𝔄ΔΠΣΥΙ.—[j] γὰρ om pr Ξ.—[k] δαὶ 𝔄ΔΣΥ.—[l] τότε 𝔄ΔΛΠΣΥΙ*lm* et pr Ξ.—[m] ἑτέρω Σ.—[n] τούτων G.—[o] πᾶσιν om Fs.—[p] προρρήσεως ΣΥ, προρήσεως X, προγρήσεως *m*.—[q] τοῦ om ΛΧ.—[r] αὐτῷ G.—[s] τὴν οὐσίαν ἑκάστου Γ.—[t] τοῦτον H.—[u] τοῦτο *m*.—[v] δοκεῖν HI.—[w] ὥσπερ I.—[x] ἐζητοῦμεν ΓΔΛΠBCGHIX*lm* et corr Ξ.—

τῶν παλαιῶν etc. et sæpe alibi. (V. nostr. ad Plat. Phædr. §. 30.) Atque τί scriptum in Ald. quoque, idque Stephanus præferebat. Nihilominus ego a Platone scriptum fuisse puto: λέγω δέ τι τοιοῦτο· ἔστι—πολλοῖς; quibus commode additur ab Hermogene illud Πάνυ γε, quod, recepta illa libri Gudiani scriptura, melius haud dubie abfuerit. Vulgatam scripturam τι τοῦτο defendit Heusdius Spec. Crit. p. 87. comparans illa §. 101. τοῦτο δὴ λέγω· ἆρ' οὐκ ἂν εἴη αὐτῷ εἰπεῖν —; et §. 107. Ὧδε δὲ λέγω· ἆρά ποτ' ἄν τις —; In hac tamen formula, τοῦτο δὲ λέγω s. λέγω δὲ τοῦτο, vix alias a Platone interpositam reperias voculam τι. Heind.

ἔστι τις τοῖς πράγμασι] Vulgo ἔστι τις πράγμασι φωνή. Cod. Gud. ἔστι τοῖς πράγμ. φωνή, unde inserui articulum, quem flagitabat h. l. Græci sermonis ratio. Heind.

τούτων—πᾶσιν] τούτων hoc edidi e Cod. Gud. pro αὐτῶν, et πᾶσιν, quo carent Edd. recepi e Bas. 2. et Ficini versione: *et aliis omnibus, quæcunque* etc. Mox id. Cod. εἴ τις αὐτῶν τοῦτο μιμ. Heind.

καὶ τί ἂν φαίης τὸν τοῦτο δυνάμ.] *Quo tu nomine appellabis* etc.? ut Gorg. §. 4. Τί ἂν αὐτὸν ὠνομάζομεν δικαίως; οὐχ ὅπερ ἐκεῖνον, quemadmodum ibi scribendum docuit Buttmannus. Hoc autem loco post illata hæc personarum nomina, μουσικὸν, γραφικὸν, commode ad masc. τίνα sermo deflectit. Heind.

§. 87. *ζητοῦμεν*] Cod. Gud. ἐζητοῦμεν. Sed alterum nemo non præferet. ὁ ὀνομαστικὸς, *onomastikos ille*. Explicatur hoc nomine prægressum τοῦτο. de

ΣΩ. Εἰ ἄρα τοῦτο ἀληθές, ἤδη, ὡς[a] ἔοικεν, ἐπισκεπτέον περὶ ἐκείνων τῶν ὀνομάτων ὧν σὺ ἤρου, περὶ ῥοῆς τε[b] καὶ τοῦ ἰέναι καὶ σχέσεως, εἰ[c] τοῖς γράμμασι καὶ ταῖς συλλαβαῖς τοῦ ὄντος[d] ἐπιλαμβάνεται[e] αὐτῶν, ὥστε[f] ἀπομιμεῖσθαι τὴν οὐσίαν, εἴτε καὶ οὔ.

ΕΡΜ. Πάνυ μὲν οὖν.

ΣΩ. Φέρε δή,[g] ἴδωμεν[h] πότερον ἄρα ταῦτα μόνα ἐστὶ τῶν πρώτων ὀνομάτων ἢ καὶ ἄλλα πολλά.

ΕΡΜ. Οἶμαι ἔγωγε[i] καὶ ἄλλα.

ΣΩ. Εἰκὸς γάρ.[j] ἀλλὰ τίς ἂν εἴη ὁ τρόπος τῆς διαιρέσεως, ὅθεν ἄρχεται μιμεῖσθαι ὁ μιμούμενος; ἆρα οὐκ ἐπεί περ[k] συλλαβαῖς τε καὶ γράμμασιν ἡ μίμησις τυγχάνει οὖσα τῆς οὐσίας, ὀρθότατόν ἐστι διελέσθαι τὰ στοιχεῖα πρῶτον, ὥς περ οἱ[l] ἐπιχειροῦντες τοῖς ῥυθμοῖς τῶν στοιχείων πρῶτον τὰς δυνάμεις διείλοντο, ἔπειτα τῶν συλλαβῶν, καὶ οὕτως ἤδη[m] ἔρχονται ἐπὶ τοὺς ῥυθμοὺς σκεψόμενοι, πρότερον[n] δ' οὔ;

II. ii. 88. ΕΡΜ. Ναί.

§. 88. ΣΩ. Ἆρ' οὖν καὶ ἡμᾶς οὕτω δεῖ[o] πρῶτον μὲν τὰ φωνήεντα διελέσθαι, ἔπειτα τῶν ἑτέρων κατὰ[p] εἴδη τά τε ἄφωνα καὶ ἄφθογγα[q]—οὑτωσὶ γάρ που λέγουσιν οἱ

[y] ὁ om Γl et pr Ξ.—[z] μουσικός I.—[a] ὡς om 𝔄Δ et pr Π.—[b] τε om ΞG.—[c] ἐν I.—[d] τῷ ὄντι mg F.—[e] ὄντος εἴτε ἐπιλαμβάνεται G.—[f] ὥσγε H, ὥσπερ G, om 𝔄Δ et pr Π.—[g] δὲ X.—[h] εἰδῶμεν 𝔄, εἰδῶμεν ΔΠ, ἴωμεν G...πότερα C, πρότερον l.—[i] γε G.—[j] γε G.—[k] εἴπερ G.—[l] ὃν I.—[m] δὴ G.—[n] πότερον Δ.—[o] δὴ 𝔄I, om Γ.—[p] καὶ τὰ ΣΥΕFIl.—[q] καὶ τὰ ἄφθυγγα G.—[r] αὖ E, οὐ ς.—[s] οὔ add 𝔄G.—[t] γε om

Rep. ix. p. 583. D. Τοῦτο γὰρ τότε ἡδὺ ἴσως καὶ ἀγαπητὸν γίγνεται, ἡσυχία. Ibid. iii. p. 407. A. πότερον μελετητέον τοῦτο τῷ πλουσίῳ καὶ ἀβίωτον τῷ μὴ μελετῶντι, ἡ νοσοτροφία. Hipp. Maj. §. 54. Τοῦτ' ἄρα, φήσει, λέγετε δὴ τὸ καλὸν εἶναι, ἡδονὴν ὠφέλιμον. Heind.

σχέσεως] Idem enim hoc est quod τὸ δοῦν in illa Hermogenis quæstione §. 81. εἰ δέ τίς σε ἔροιτο τοῦτο τὸ ἰὸν καὶ τὸ ῥέον καὶ τὸ δοῦν, τίνα ἔχει ὀρθότητα ταῦτα τὰ ὀνόματα; quam h. l. respicit Socrates. Heind.

τοῦ ὄντος ἐπιλαμβ.] Cod. Gud. τοῦ ὄντος εἴ τε ἐπιλ. Ad ἐπιλαμβάνεται autem subaudiendum est ὁ ὀνομαστικός, atque αὐτῶν pertinet ad τοῖς γράμμασι καὶ ταῖς συλλαβαῖς. Heind.

ἢ καὶ ἄλλα] Cod. Gud. vitiose ἢ καὶ τὰ ἄλλα et Οἶμαί γε καὶ ἄλ. neque rectius deinde Εἰκός γε et εἴπερ pro ἐπείπερ.—τῆς διαιρέσεως, ὅθεν ἄρχεται etc. i. e. τῆς διαιρεσέως τούτων, ὅθεν ἄρχ. Heind.

οἱ ἐπιχειροῦντες τοῖς ῥυθμοῖς] Conf. de Rep. iii. p. 400. B. Mox διείλοντο est διελέσθαι εἰώθασι, usu aoristi pervulgato. Heind.

§. 88. κατὰ εἴδη] Imo κατὰ τὰ εἴδη. Heind.

§. 63. παντόθεν] Cornarius in Eclogis legi hos Parmenidis versiculos atque constitui sic jubebat, Πάντοθεν εὐκ. σφαίρας ἐναλ. ὄγκῳ, Μεσσόθεν ἰσοπ. πάντῃ, τῷ γ' οὔτε τι μεῖζον Οὔτε βεβαιότερον πέλει. nam in Ald. Bas. 1. 2. est τὸ γὰρ—βεβαιότερος πέλειν. Sed Ficinus quoque βεβαιότερον πέλει legit, quum reddiderit *neque potentius est*: et Stephanus has lectiones recte recepit. At pro τὸ γὰρ haud dubie reponendum est τοῦ γ', aut certe τῷ γ', et orationis sententia, et legibus grammatices postulantibus. Ficinus vertit, *eo namque majus* —. Cæterum transtulit hos versus in Poësin Philosophicam Stephanus p. 44. sed male legit πέλειν, et, quod multo majus peccatum est, conjunxit hoc verbum cum verbis χρεὼν ἐστι, ita ut putarit, verba χρεὼν ἐστι—ἔσχατον ἔχειν esse ipsa quoque Parmenidis verba, atque adeo versiculos. unde etiam μέσσον scripsit pro μέσον. At sunt verba Hospitis, et quum ἔχει, ut legitur in Ald. Bas. 1. 2. cohæreat cum verbis χρεὼν ἐστι, Cornarius illud recte mutandum in ἔχειν vidit: quam ejus auctoritatem Stephanum hic secutum apparet. Jam Ficin. *necessarium est—ipsum ens medium extremave habere.* Fisch.

σφαίρης] Sic pro σφαίρας Simpl. qui l. l. itidemque fol. 12. in tertio horum versu veram præbet scripturam. Vulgo enim is ita legitur Οὔτε βεβαιότερον πέλει, χρεὼν ἐστι τῇ ἢ τῇ. Pro πελέμεν, quod ibi legitur fol. 12. ibid. fol. 19. scriptum est πελέναι. In secundo versu id. Simpl. f. 19. Τῷ γὰρ οὔτε, f. 12. omisso γὰρ, τὸ οὔτε τ. μ.—τοιοῦτόν γε ὄν. Simpl. f. 12. τοιοῦτο δὲ ὄν. Statim post recte idem utroque loco cum Edd. Ald. et Bass. ἔχει, pro quo Steph. Cornarii jussu dedit ἔχειν. Heind.

τό γε μεμερισμένον] Unum si totum est, partes habere necesse est. Jam etiamsi partes habeat, potest tamen, quando partes omnes in unum collectæ intelliguntur (ἐπὶ τοῖς μέρεσι πᾶσι), pro uno haberi, atque ita πάθος ἔχειν τοῦ ἑνός. At vero quod nonnisi τὸ πάθος τοῦ ἑνὸς habet, id non potest esse ipsum unum (αὐτὸ τὸ ἕν); huic enim *accidere* non potest, ut sit unum, sed est semper et per se unum.—In his Ἀλλὰ μὴν—πάθος μὲν τοῦ ἑνὸς ἔχειν, post ἑνὸς in Ald. et Bass. insertum τοῖς Simplicius f. 12. et f. 19. recte omittit. Heind. Sed jam Cornarius vidit articulum τοῖς tollendum esse. Fisch.

ἑνὸς ἔχειν ἐπὶ τοῖς μέρεσι πᾶσιν οὐδὲν ἀποκωλύει, καὶ ταύτῃ[k] δὴ πᾶν τε ὂν καὶ ὅλον ἓν εἶναι.

ΘΕΑΙ. Τί δ' οὔ;

ΞΕ. Τὸ δὲ πεπονθὸς ταῦτα[l] ἆρ' οὐκ ἀδύνατον αὐτό γε τὸ ἓν αὐτὸ εἶναι;

ΘΕΑΙ. Πῶς;

ΞΕ. Ἀμερὲς δή που δεῖ[m] παντελῶς τό γε ἀληθῶς ἓν κατὰ τὸν ὀρθὸν λόγον εἰρῆσθαι.

ΘΕΑΙ. Δεῖ γὰρ οὖν.

ΞΕ. Τὸ δέ γε τοιοῦτον ἐκ πολλῶν μερῶν ὂν οὐ συμφωνήσει τῷ λόγῳ.[n]

ΘΕΑΙ. Μανθάνω.

ΞΕ. Πότερον δὴ πάθος ἔχον τὸ ὂν[o] τοῦ ἑνὸς οὕτως ἕν τε ἔσται καὶ ὅλον, ἢ[p] παντάπασι μὴ λέγωμεν ὅλον εἶναι τὸ ὄν;[q] II. ii. 188.

ΘΕΑΙ. Χαλεπὴν προβέβληκας αἵρεσιν.

ΞΕ. Ἀληθέστατα μέντοι λέγεις. πεπονθός τε γὰρ τὸ ὂν ἓν εἶναί πως,[r] οὐ ταὐτὸν ὂν τῷ ἑνὶ φαίνεται, καὶ πλέονα[s] δὴ τὰ πάντα ἑνὸς ἔσται;

ΘΕΑΙ. Ναί.

§. 64. ΞΕ. Καὶ μὴν ἐάν γε τὸ ὂν ᾖ μὴ ὅλον διὰ τὸ πεπονθέναι τὸ ὑπ' ἐκείνου πάθος, ᾖ δὲ αὐτὸ τὸ ὅλον, ἐνδεὲς[t] τὸ ὂν ἑαυτοῦ[u] ξυμβαίνει.

[i] ἀνάγκην Λ.—[j] οὕτως 𝔄ΓΥ.—[k] πάντη Λ.—[l] τοιαῦτα ΣΥ.—[m] δεῖ om pr Π, qui rc δή.—[n] ὅλῳ λόγῳ 𝔄ΔΠ, λόγῳ ὅλῳ ceteri: ὅλῳ ς.—[o] ὂν Schleiermacherus: libri ὅλον.—[p] ἦ Υ.—[q] ἓν CH et mg F.—[r] πῶς ΓΔΛΞΠΒCEFH.—[s] πλέον ἃ 𝔄.—[t] ἐν δὲ

οὐ συμφων. τῷ λόγῳ] Vulgo τῷ ὅλῳ. Simpl. τῷ λόγῳ ὅλῳ, idque reddidit Ficinus: *cum universa ratione minime consonabit*, quam scripturam ex διττογραφίᾳ profectam apparet. Unice verum est τῷ λόγῳ, quod refertur ad proxime prægressa illa κατὰ τὸν ὀρθὸν λόγον. Verbum τοιοῦτον statim, ut sæpe, explicatur additis his ἐκ πολλῶν μερῶν ὄν. V. not. ad Phædon. §. 71. Heind.

ἔχον τὸ ὂν] Hic quoque non cunctanter, quod ratio flagitabat, τὸ ὂν pro τὸ ὅλον cum Schleiermachero reposui. Nam qui quæri hic denuo possit, quod satis jam demonstratum est, *an totum eo sit unum totumque quod* πάθος *habeat* τοῦ ἑνός? Agi potius hic oportet de *eo, quod est* (περὶ τοῦ ὄντος), non de *toto*. Sed rem conficiunt seqq. quibus manifesto hæc repetuntur: πεπονθός τε γὰρ τὸ ὂν ἓν εἶναί πως etc. ac deinde §. seq. Καὶ μὴν ἐάν γε τὸ ὂν μὴ ᾖ ὅλον. Heind.

εἶναί πως] *Aliquo modo*, quatenus cunctæ partes in unum coëunt.—φανεῖται. Sic Simpl. Vulgo φαίνεται. Heind.

§. 64. μὴ ᾖ ὅλον] Ita Simpl. Edd. ᾖ μὴ ὅλ.—διὰ τὸ πεπονθέναι τὸ ὑπ' ἐκείνου πάθ. *quoniam tum non esset ipsum per se unum, sed tantum* τὸ πάθος τοῦ ἓν εἶναι *haberet*; hoc enim est τὸ ὑπ' ἐκείνου (sc. τοῦ ἑνὸς) πάθος. Cf. not. ad Phædon. §. 110. Omissæ autem in his voculæ ἂν exempla sæpius occurrunt. Heind.

ᾗ δὲ αὐτὸ τὸ ὅλον] *Si autem ipsum per se* ὅλον *extat*. Quod mox simplici-

ΘΕΑΙ. Πάνυ γε.

ΞΕ. Καὶ κατὰ τοῦτον δὴ τὸν λόγον ἑαυτοῦ στερόμενον οὐκ ὂν ἔσται τὸ ὄν.

ΘΕΑΙ. Οὕτως.[v]

ΞΕ. Καὶ ἑνός γε αὖ πλείω τὰ πάντα γίγνεται, τοῦ τε ὄντος καὶ τοῦ ὅλου χωρὶς[w] ἰδίαν ἑκατέρου φύσιν εἰληφότος.

ΘΕΑΙ. Ναί.

ΞΕ. Μὴ ὄντος δέ γε τὸ παράπαν τοῦ ὅλου, ταὐτά τε ταῦτα[x] ὑπάρχει τῷ ὄντι καὶ πρὸς τῷ[y] μὴ εἶναι μηδ' ἂν γενέσθαι ποτὲ ὄν.

ΘΕΑΙ. Τί δή;

II. ii. 189. ΞΕ. Τὸ γενόμενον ἀεὶ γέγονεν ὅλον, ὥστε οὔτε οὐσίαν οὔτε γένεσιν ὡς οὖσαν δεῖ προσαγορεύειν [τὸ ἓν ἢ] τὸ ὅλον ἐν τοῖς οὖσι μὴ τιθέντα.

ΘΕΑΙ. Παντάπασιν ἔοικε ταῦθ' οὕτως ἔχειν.

ΞΕ. Καὶ μὴν οὐδ' ὁποσονοῦν τι δεῖ τὸ μὴ ὅλον εἶναι·

Λ.—[u] ἐξ αὐτοῦ F.—[v] οὕτως 𝔄ΓΥFH.—[w] χωρὶς...ὅλου om H.—[x] ταυτά τε ταῦτα ΓΛΞΣΥBCFH: ταῦτά τε ταυτὰ s.—[y] πρὸς τὸ 𝔄H.—[z] ποσόν. τί γὰρ ΓΔΛΠΣΥBC

ter dicitur τὸ ὅλον, non αὐτὸ τὸ ὅλον, dubito an idonea sit causa, cur h. l. scribendum putemus ᾗ δὲ αὖ τὸ ὅλον. Pro στερόμενον deinde Simpl. στερούμενον. HEIND.

ταῦτά τε ταυτὰ ὑπάρχει τῷ ὄντι] Sc. τὸ ἐνδεὲς εἶναι ἑαυτοῦ καὶ τὸ οὐκ ὂν εἶναι. —μηδ' ἂν γεν. ποτὲ ὄν. Simpl. addito articulo, ποτὲ τὸ ὄν. Sed ad γενέσθαι subaudiendum αὐτὸ, recteque hic abest articulus, ut ante in verbis οὐκ ὂν ἔσται τὸ ὄν. HEIND.

τὸ γενόμενον ἀεὶ γέγ. ὅλον] *Ubi peracta est γένεσις, totum aliquid semper prodiisse et extare necesse est.* HEIND.

ὥστε οὔτε οὐσίαν—τιθέντα] In his, quod primus notavit Schleierm. gravem oratio corruptelam suscepit. Quippe quæritur h. l. quid consequi necesse sit, si quis τὸ ὅλον omnino esse neget (μὴ ὄντος τοπαράπαν τοῦ ὅλου); si quis τὸ ἓν non ponat ἐν τοῖς οὖσι, de eo ne verbo quidem mentio facta in præcedd. neque vero fieri potuit, quum tota hæc disputatio pertineat ad eos ipsos, qui τὸ ὂν unum (ἓν) esse statuant. Apertum itaque est, ista τὸ ἓν ἢ a Platone scribi non potuisse; unde tamen quid exsculpas, non perinde facile est ad inveniendum. Quam enim perspicacissimus ille Platonis interpres medelam suasit, ut corrigatur τῷ ἑνὶ, etsi lenissima est, tamen dicendi hoc genus προσαγορεύειν τινι οὐσίαν non est *attribuere, assignare alicui essentiam* (hoc foret προσάπτειν, ἐπιφέρειν τινὶ οὐσίαν), sed *appellare aliquid essentiam* (v. not. ad Cratyl. §. 6.) Adde quod, etsi in hac disputatione τὸ ὂν prorsus æquale idemque τῷ ἑνὶ ponitur, causæ tamen nihil apparet, cur non potius τῷ ὄντι quam τῷ ἑνὶ hic scripserit Plato, quum in proximis sæpius τὸ ὂν usurparit, non τὸ ἕν. His adducor, ut corrigendum suspicer—δεῖ προσαγορεύειν τὸν τὸ ὅλον ἐν τοῖς οὖσι μὴ τιθέντα. Nimirum ex eo, quod in universum, non de uno ὄντι, dictum est, τὸ γενόμενον ἀεὶ γεγονέναι ὅλον, sequitur, ut, qui τὸ ὅλον esse neget, ei nulla omnino in re neque οὐσίαν neque γένεσιν ullam ponere liceat. Hoc igitur, quod in universum de omni omnino οὐσίᾳ et γενέσει dicitur h. l. nemo non statim ad id ipsum referat, de quo agitur h. l. τὸ ὄν. Eodemque modo universe dicuntur, quæ subjiciuntur his, Καὶ μὴν οὐδ' ὁποσονοῦν τι δεῖ τὸ μὴ ὅλον εἶναι. HEIND.

ποσόν τι γὰρ[z] ὄν,[a] ὁπόσον ἂν ᾖ,[b] τοσοῦτον ὅλον ἀναγκαῖον αὐτὸ[c] εἶναι.

§. 65. ΘΕΑΙ. Κομιδῇ γε.

ΞΕ. Καὶ τοίνυν ἄλλα μυρία ἀπεράντους ἀπορίας ἕκαστον εἰληφὸς φανεῖται[d] τῷ[e] τὸ[f] ὂν[g] εἴτε δύο τινὲ εἴτε ἓν μόνον εἶναι λέγοντι.

ΘΕΑΙ. Δηλοῖ σχεδὸν[h] καὶ τὰ νῦν ὑποφαίνοντα· συνάπτεται γὰρ ἕτερον ἐξ ἄλλου, μείζω καὶ χαλεπωτέραν φέρον περὶ τῶν ἔμπροσθεν ἀεὶ ῥηθέντων πλάνην.

ΞΕ. Τοὺς μὲν τοίνυν διακριβολογουμένους ὄντος τε πέρι καὶ μὴ πάνυ μὲν οὐ διεληλύθαμεν, ὅμως δὲ ἱκανῶς ἐχέτω· τοὺς δὲ ἄλλως λέγοντας αὖ θεατέον, ἵν᾿ ἐκ πάντων εἰδῶμεν ὅτι τὸ ὂν τοῦ μὴ ὄντος οὐδὲν εὐπορώτερον εἰπεῖν ὅ τί ποτ᾿ ἔστιν. I. 246.

ΘΕΑΙ. Οὐκοῦν πορεύεσθαι χρὴ καὶ ἐπὶ τούτους.

ΞΕ. Καὶ μὴν ἔοικέ γε ἐν αὐτοῖς οἷον γιγαντομαχία τις

α εἶ FH.—[a] οὖν F.—[b] ᾗ mg H.—[c] αὐτὸ om 𝔄Δ et pr Π, post εἶναι ponit Γ.—[d] φαινεται Ξ.—[e] τῷ om Δ.—[f] τὸ om 𝔄.—[g] ἓν ΣΥ.—[h] δηλοῖ δὲ σχεδὸν F.—[i] τί add CH et rc

§. 65. *ἄλλας μυρίας*] Sic pro vulgato *ἄλλα μυρία* Cod. Par. Tum pro *φανεῖται* Bas. 2. *φαίνεται*: [unde in Steph. pro v. l.] Illud etiam Simpl. habet. HEIND.

ὑποφαίνοντα] Simpl. *ὑπεμφαίνοντα*. Quod proprie de die illucescente aut vere adventante usurpatur, *ὑποφαίνειν*, uti h. l. ita et in Epist. vii. p. 347. B. adhibuit Plato: *ἂν δ᾿ οὖν γίγνηται τὰ νῦν ὑποφαίνοντα, οἷα εἰκὸς αὐτὰ γίγνεσθαι, ἀπορῶ ὅ,τι χρήσομαι ἐμαυτῷ*. HEIND.

διακριβολ.] *οἱ διακριβολογούμενοι περὶ τοῦ ὄντος* sunt, quos supra §. 58. dixit *ὁρμῆσαι ἐπὶ κρίσιν τοῦ τὰ ὄντα διορίσασθαι πόσα τε καὶ ποῖά ἐστι*, ex quo genere citantur ibi Ionici, Eleatæ, Heraclitus et Empedocles; *οἱ περὶ τοῦ μὴ ὄντος διακριβολογούμενοι* ii sunt, quorum in eo versatur disputatio, ut *τὸ μὴ ὂν* ne cogitari quidem posse contendant §. 47. sq. Protagorei imprimis, deinde Antisthenes (v. not. ad Euthyd. §. 36.) HEIND.

πάντας μὲν οὐ διελ.] Ita Euseb. Præp. Evang. xiv. p. 725. C. ubi hæc leguntur *Τοὺς μὲν τοίνυν διακριβ.* Vulgo *πάνυ μὲν οὐ δ.* Sed *πάνυ διέρχεσθαι* pro *πάντως διέρχ.* *rem penitus pertractare*, dubito an Græce dicatur; *πάνυ* autem si quis trahi velit ad *οὐ*, ut sit *πάνυ οὐ* positum pro *οὐ πάνυ*, *plane non*, hoc vereor ne magis etiam Hellenismo repugnet. HEIND.

τοὺς δὲ ἄλλως λέγοντας] *ἄλλως*, *non ἀκριβῶς*, non certo numero definientes, sitne unum *τὸ ὂν* an plura. Dio Chrysost. Or. iii. p. 116. Reisk. *Τούτων μὲν οὖν ὁ λόγος ἄλλως ἐπεμνήσθη, πολλὰ παθήματα καὶ συμφορὰς ἑκάστης αὐτῶν ἐκ τοῦ προτέρου χρόνου δεῖξαι δυνάμενος· περὶ δὲ τῆς εὐδαίμονός τε καὶ θείας καταστάσεως τῆς νῦν ἐπικρατούσης χρὴ διελθεῖν ἐπιμελέστερον*. HEIND.

εἰδῶμεν] Apud Eusebium scriptum est *ἴδωμεν ὅτι* etc. quam scripturam malo. STEPH.

ἴδωμεν] Eusebii hoc *ἴδωμεν* vulgato *εἰδῶμεν* prætuli tum propter præcedens *θεατέον*, tum quod non *sciendi*, sed *cognoscendi discendique* vi præditum vocabulum requiritur h. l. HEIND.

καὶ μὴν ἔοικέ γε] Hæc verba usque ad

εἶναι διὰ τὴν ἀμφισβήτησιν περὶ τῆς οὐσίας πρὸς ἀλλήλους.

ΘΕΑΙ. Πῶς;

ΞΕ. Οἱ μὲν εἰς γῆν ἐξ οὐρανοῦ καὶ τοῦ ἀοράτου πάντα
II. ii. 190. ἕλκουσι, ταῖς χερσὶν ἀτεχνῶς πέτρας καὶ δρῦς περιλαμβάνοντες. τῶν γὰρ τοιούτων ἐφαπτόμενοι πάντων δυσχυρίζονται τοῦτο εἶναι μόνον ὃ παρέχει προσβολὴν καὶ ἐπαφήν τινα, ταὐτὸν σῶμα καὶ οὐσίαν ὁριζόμενοι, τῶν δὲ ἄλλων εἴ τίς τί[i] φησι[j] μὴ σῶμα ἔχον εἶναι, καταφρονοῦντες τὸ παράπαν καὶ οὐδὲν ἐθέλοντες ἄλλο ἀκούειν.

ΘΕΑΙ. Ἦ δεινοὺς[k] εἴρηκας ἄνδρας· ἤδη γὰρ[l] καὶ[m] ἐγὼ τούτων[n] συχνοῖς προσέτυχον.[o]

§. 66. ΞΕ. Τοιγαροῦν οἱ[p] πρὸς αὐτοὺς ἀμφισβητοῦν-

B.—[j] φήσει 𝔄ΔΠ.—[k] ᾔδειν οὓς ΛBCEFH.—[l] γὰρ (δὲ) Π.—[m] καὶ om Γ.—[n] τούτω Λ.—

ταυτὸν σῶμα καὶ οὐσίαν ὁριζόμενοι protulit Theodoret. Gr. Aff. Cur. ii. p. 732. ubi legitur τὰς ἐν χερσὶν—δρῦς λαβόντες, deinde πάντων σφόδρα διϊσχυρίζονται et μόνον ὅπερ ἔχει προσβολήν. Heind.

ὃ παρέχει προσβολὴν καὶ ἐπαφήν τινα] Ficinus, *quod quoquo modo percipitur atque tangitur*; προσλαβὴν pro προσβολὴν legendum esse, τοῦτο κἂν παῖς γνοίη. Sententia præterea philosopho illo magno est dignissima. Cf. Theæt. i. p. 155. E. οἱ οὐδὲν ἄλλο οἰόμενοι εἶναι ἢ οὗ ἂν δύνωνται ἀπρὶξ τοῖν χεροῖν λαβέσθαι. Faehse.

εἴτις φησι] Disputat adversus illos qui corpus statuebat esse οὐσίαν, quos ait rejicere eos omnes qui contra sentiunt. Idcirco vertendum fuisse videtur ut ego verti, testibus et judicibus eruditis, *alios autem, qui existimant illud esse quod corpus non habeat, plane contemnunt*. Serran.

Existimant aliquid esse quod etc. nam τὶ post φησὶ videtur subaudiendum: vel post τις: nisi deesse dicatur. Steph.

εἴ τις φησι] Imo εἴ τί τίς φησι, uti jam Steph. monuit. Euseb. φήσει. Heind.

ἤδη] Vitiose Cod. Par. Ἤιδειν οὓς εἴρ. quod etiam Ficinus vertit, *Novi equidem quos viros dixeris*. Non ᾔδειν, sed οἶδα hoc sensu scribi debuerat. Tangi autem h. l. illos, qui nihil præter atomos et inane esse statuerent, Leucippum Democritumque, nemo dubitet; præter quos Aristippi quoque significationem agnoscit Schleiermach. In Theæteto §. 33. de eodem genere philosophus: Σ. Ἄθρει δὴ περισκοπῶν, μή τις τῶν ἀμυήτων ἐπακούῃ. Εἰσὶ δὲ οὗτοι οἱ οὐδὲν ἄλλο οἰόμενοι εἶναι ἢ οὗ ἂν δύνωνται ἀπρὶξ ταῖν χεροῖν λαβέσθαι, πράξεις δὲ καὶ γενέσεις καὶ πᾶν τὸ ἀόρατον οὐκ ἀποδεχόμενοι ὡς ἐν οὐσίας μέρει. Heind.

τούτων συχνοῖς] Euseb. τούτων πλέον συχνοῖς προσέτυχον. Hesych. Περιέτυχον· συνέτυχον. de Rep. viii. p. 566. D. προσγελᾷ τε καὶ ἀσπάζεται πάντας ᾧ ἂν περιτυγχάνῃ. de Legg. iii. p. 683. E. ὀλίγον ἔμπροσθεν τούτοις περιτυχόντες τοῖς λόγοις οὕτω ταῦτ' ἐτίθεμεν, ac deinde περιτυχόντες ἔργοις γενομένοις—ἐπὶ τὸν αὐτὸν λόγον ἐληλύθαμεν. Xenoph. Mem. S. iii. 10. 2. Οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν ἄμεμπτα πάντα ἔχοντι. Ibid. xiii. 1. γελοῖον τὸ εἰ μὲν τὸ σῶμα κάκιον ἔχοντι ἀπήντησάς τῳ, μὴ ἂν ὀργίζεσθαι, ὅτι δὲ τὴν ψυχὴν ἀγροικοτέρως διακειμένῳ περιέτυχες, τοῦτό σε λυπεῖ; Alterius προστυχεῖν hoc significatu apud Platonem unum adhuc exemplum reperi in Epist. vii. p. 327. A. Δίων—πρὸς τοὺς τότε ὑπ' ἐμοῦ λόγους λεγομένους οὕτως ὀξέως ὑπήκουσε καὶ σφόδρα ὡς οὐδεὶς πώποτε ὧν ἐγὼ προσέτυχον νέων. Pro quo ἐντυχεῖν in Theæteto posuit §. 5. Εὖ γὰρ ἴσθ' ὅτι, ὧν δὴ πώποτ' ἐνέτυχον, καὶ πάνυ πολλοῖς πεπλησίακα, οὐδένα πω ᾐσθόμην οὕτω θαυμαστῶς εὖ πεφυκότα, alias plerumque ἐπιτυχεῖν. Heind.

τες μάλα εὐλαβῶς ἄνωθεν ἐξ ἀοράτου ποθὲν ἀμύνονται, νοητὰ ἄττα καὶ ἀσώματα εἴδη[q] βιαζόμενοι τὴν ἀληθινὴν οὐσίαν εἶναι· τὰ δὲ ἐκείνων σώματα καὶ τὴν λεγομένην ὑπ' αὐτῶν ἀλήθειαν κατὰ σμικρὰ διαθραύοντες ἐν τοῖς λόγοις γένεσιν ἀντ'[r] οὐσίας φερομένην τινὰ προσαγορεύουσιν. ἐν[s] μέσῳ δὲ περὶ ταῦτα ἄπλετος ἀμφοτέρων μάχη τις, ὦ Θεαίτητε, ἀεὶ ξυνέστηκεν.

ΘΕΑΙ. Ἀληθῆ.

ΞΕ. Παρ' ἀμφοῖν τοίνυν τοῖν γενοῖν κατὰ μέρος λάβωμεν λόγον ὑπὲρ ἧς τίθενται[t] τῆς οὐσίας.

ΘΕΑΙ. Πῶς οὖν δὴ[u] ληψόμεθα;

ΞΕ. Παρὰ μὲν τῶν ἐν εἴδεσιν αὐτὴν τιθεμένων ῥᾷον· ἡμερώτεροι γάρ· παρὰ δὲ τῶν εἰς σῶμα πάντα ἑλκόντων II. ii. 191.
βίᾳ χαλεπώτερον,[v] ἴσως δὲ καὶ[w] σχεδὸν ἀδύνατον. ἀλλ' ὧδέ μοι δεῖν δοκεῖ περὶ αὐτῶν δρᾷν.

ΘΕΑΙ. Πῶς;

ΞΕ. Μάλιστα μέν, εἴ πῃ δυνατὸν ἦν, ἔργῳ βελτίους[x] αὐτοὺς ποιεῖν· εἰ δὲ τοῦτο μὴ ἐγχωρεῖ,[y] λόγῳ ποιῶμεν, ὑποτιθέμενοι νομιμώτερον αὐτοὺς ἢ νῦν[z] ἐθέλοντας ἂν ἀποκρίνασθαι. τὸ γὰρ ὁμολογηθὲν παρὰ[a] βελτιόνων που κυ-

[o] προσέτυχον 𝔄ΔΠ : περιέτυχον *ς.—[p] οἱ om pr Π.—[q] εἴδη om pr Π.—[r] ἀντ'... προσαγορεύουσιν om Λ.—[s] ἐν δὲ Λ.—[t] τίθεται Λ.—[u] δὴ om Λ.—[v] βίᾳ. χαλεπώτερον γὰρ (particula rc addita) Γ.—[w] καὶ om ς.—[x] βελτίονας F.—[y] μὴ ἐγχωρεῖ τοῦτο Γ, τοῦτο μὴ ἐγχωρῆι 𝔄.—[z] ἡμῖν H.—[a] περὶ ς.—[b] τὸ om ΣΥ.—[c] βελτίστους

μάλα εὐλαβῶς ἄνωθεν] Ficinus, *caute admodum atque pie superne* —. Unde minime sequitur, quod quis forte putaverit, Ficinum legisse post εὐλαβῶς, καὶ εὐσεβῶς : interpretatus est enim, quamquam minus recte, unam eandemque rem duobus verbis, et *caute* et *pie*, quo sensu posteriore hæc vox quoque occurrit Act. Apost. ii. 5. Sic vox ὑγιὴς vertitur *solidus et simplex* p. 304. Faehse.

§. 66. *νοητὰ ἄττα καὶ ἀσώματα εἴδη*] Non suam ipsius de ideis doctrinam describi h. l. a Platone, sed Megaricos potissimum philosophos, ab Eleatica profectos disciplina, facile quisque concedet Schleiermachero in Vers. V. ii. p. 134. De Euclide Diog. Laert. ii. 106. οὗτος ἓν τὸ ἀγαθὸν ἀπεφαίνετο πολλοῖς ὀνόμασι καλούμενον· ὁτὲ μὲν γὰρ φρόνησιν, ὁτὲ δὲ θεὸν καὶ ἄλλοτε νοῦν καὶ τὰ λοιπά· τὰ δ' ἀντικείμενα τῷ ἀγαθῷ ἀνῄρει, μὴ εἶναι φάσκων. Heind.

ὑπ' αὐτῶν] Euseb. ὑπὸ τούτων. Mox idem ἀντὶ οὐσίας. Heind.

φερομένην] *Quæ continua agitatur mutatione.*—ἐν μέσῳ, quasi ἐν τῷ μεταιχμίῳ, *spatio inter duas acies.* Iliad. v. 8. Ὦρσε δέ μιν κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο. vi. 120. Ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι. Heind.

ἄπλετος] Euseb. ἄπλητος, quod veterum est poetarum, ut Hesiod. Theog. 709. V. Ruhnken. ad hymn. in Cerer. v. 83. De voce ἄπλετος, *vastus, immanis*, Platoni usurpata etiam de Legg. iii. p. 683. A. ἐν χρόνου τινὸς μήκεσιν ἀπλέτοις, vid. intpp. ad Mœrin p. 24. Heind.

παρὰ βελτιόνων] Sic Cod. Par. cum Ald. et Bas. 1. Ex Bas. 2. ubi prostat περὶ βελτιόνων, mendum hoc fluxit in

ριώτερον ἢ τὸ[b] παρὰ χειρόνων· ἡμεῖς δὲ οὐ τούτων φροντίζομεν, ἀλλὰ τἀληθὲς ζητοῦμεν.

ΘΕΑΙ. Ὀρθότατα.

§. 67. ΞΕ. Κέλευε δὴ τοὺς βελτίους[c] γεγονότας ἀποκρίνασθαί σοι, καὶ τὸ λεχθὲν παρ' αὐτῶν ἀφερμήνευε.[d]

ΘΕΑΙ. Ταῦτ' ἔσται.

ΞΕ. Λεγόντων δὴ θνητὸν ζῶον εἰ φασὶν εἶναί τι.

ΘΕΑΙ. Πῶς δ' οὔ;

ΞΕ. Τοῦτο δὲ οὐ σῶμα ἔμψυχον ὁμολογοῦσιν;

ΘΕΑΙ. Πάνυ γε.

ΞΕ. Τιθέντες τι τῶν ὄντων ψυχήν;

I. 247. ΘΕΑΙ. Ναί.

ΞΕ. Τί δαί;[e] ψυχὴν οὐ τὴν μὲν δικαίαν, τὴν δὲ ἄδικόν φασιν εἶναι, καὶ τὴν μὲν φρόνιμον,[f] τὴν δὲ ἄφρονα;

ΘΕΑΙ. Τί μήν;

ΞΕ. Ἀλλ' οὐ δικαιοσύνης ἕξει καὶ παρουσίᾳ τοιαύτην
II. ii. 192. αὐτῶν ἑκάστην γίγνεσθαι, καὶ τῶν ἐναντίων[g] ἐναντίαν.

ΘΕΑΙ. Ναί,[h] καὶ ταῦτα ξύμφασιν.

ΞΕ. Ἀλλὰ μὴν τό γε[i] δυνατόν τῳ[j] παραγίγνεσθαι καὶ ἀπογίγνεσθαι πάντως εἶναί τι φήσουσιν.

ΘΕΑΙ. Φασὶ μὲν οὖν.[k]

ΞΕ. Οὔσης οὖν[l] δικαιοσύνης καὶ φρονήσεως καὶ τῆς ἄλλης ἀρετῆς καὶ[m] τῶν ἐναντίων, καὶ δὴ καὶ ψυχῆς ἐν ᾗ ταῦτα ἐγγίγνεται, πότερον[n] ὁρατὸν καὶ ἁπτὸν εἶναί φασί τι αὐτῶν ἢ πάντα ἀόρατα;

ΘΕΑΙ. Σχεδὸν οὐδὲν τούτων γε ὁρατόν.

E.—[d] ἀφερμήνευε 𝔄ΓΔΛΠΕ et pr B: ἐφερμήμευε *ς.—[e] δὲ 𝔄ΓΔΛΞΠΣΥBCH.—[f] φρόνιμον Ξ, φρονίμην (ην) ΓΛΣΥBCEFH.—[g] τὴν ἐναντίαν 𝔄ΓΔΛBCEFH et pr Π: pr enim om ἐναντίαν.—[h] ναὶ om ΞΣ.—[i] τὸ δὲ F.—[j] τὸ ΛΣΥ.—[k] φαμὲν οὖν F.—[l] αὖ

Stephanianam. Heind.

§. 67. καὶ τὸ λεχθὲν—ἀφερμήνευε] *Quodque ab iis dictum fuerit, ipsorum quasi nomine et verbis proloquere.* Nam pro illis respondendi vices in seqq. sustinet Theætetus. In his quod vulgo legitur ἐφερμήνευε, audacter mutavi in ἀφερμήνευε, quod idem mox §. 70. in Ald. et Bass. comparet, σὺ δ' ἡμῖν καὶ τὰ παρὰ τούτων ἀφερμήνευε, ubi unus Steph. edidit ἐφερμήνευε. Præterea ἀφερμηνεύειν, *clare proloqui* s. *explicare*, sæpius legitur apud Platonem, ut de Legg. ii. 660. C. ὡς σὺ κατ' Αἴγυπτον ἀφερμηνεύεις. vii. p. 809. B. δεῖ δὲ—πάντα—λόγον ἀφερμηνεύειν. ἐφερμηνεύειν si usquam reperitur, vix aliud sonet quam ἐπεκδιηγεῖσθαι, qua potestate voc. ἐφερμηνευτικὸς apud grammaticos legitur. Heind.

§. 68. ΞΕ. Τί δαί;[o] τῶν τοιούτων μῶν σῶμά τι λέγουσιν ἴσχειν;

ΘΕΑΙ. Τοῦτο οὐκέτι κατὰ ταὐτὰ[p] ἀποκρίνονται πᾶν, ἀλλὰ τὴν μὲν ψυχὴν αὐτὴν δοκεῖν[q] σφίσι σῶμά τι κεκτῆσθαι, φρόνησιν δὲ καὶ τῶν ἄλλων ἕκαστον ὧν ἠρώτηκας, αἰσχύνονται τὸ τολμᾶν ἢ μηδὲν τῶν ὄντων αὐτὰ ὁμολογεῖν ἢ πάντ' εἶναι σώματα διισχυρίζεσθαι.

ΞΕ. Σαφῶς γὰρ ἡμῖν, ὦ Θεαίτητε, βελτίους γεγόνασιν ἄνδρες,[r] ἐπεὶ τούτων οὐδ' ἂν ἓν[s] ἐπαισχυνθεῖεν οἵ γε αὐτῶν σπαρτοί τε καὶ αὐτόχθονες,[t] ἀλλὰ διατείνοιντ' ἂν πᾶν[u] ὃ μὴ δυνατοὶ ταῖς χερσὶ ξυμπιέζειν[v] εἰσίν, ὡς ἄρα[w] τοῦτο[x] οὐδὲν τὸ παράπαν ἐστίν.

ΘΕΑΙ. Σχεδὸν οἷα[y] διανοοῦνται λέγεις.

ΞΕ. Πάλιν τοίνυν ἀνερωτῶμεν αὐτούς· εἰ γάρ τι καὶ II. ii. 193. σμικρὸν ἐθέλουσι τῶν ὄντων συγχωρεῖν ἀσώματον, ἐξαρκεῖ. τὸ γὰρ ἐπί τε τούτοις ἅμα καὶ ἐπ' ἐκείνοις ὅσα ἔχει σῶμα ξυμφυὲς γεγονός, εἰς ὃ βλέποντες ἀμφότερα εἶναι λέγουσι, τοῦτο αὐτοῖς ῥητέον. [§. 69.] Τάχ'[z] οὖν ἴσως ἂν ἀποροῖεν, εἰ δή τι τοιοῦτον πεπόνθασι. σκόπει προτεινομένων

Λ.—[m] καὶ post δὴ om EF.—[n] πότε H.—[o] δαὶ F.—[p] ταυτὰ ΞF : ταῦτα *ς.—[q] δοκεῖν om ΣΥ.—[r] libri ἄνδρες : οἱ ἄνδρες ς.—[s] οὐδὲν ἂν Ξ : ἓν om ΣΥΗ.—[t] καὐτόχθονες Ξ.—[u] πᾶν om ΛCH.—[v] ξ. BC.—[w] ἔτι C, om H ; in Λ lacuna.—[x] τούτων

§. 68. *τί δέ; τῶν τοιούτων μῶν σῶμά τι*] Hoc *τι* sine dubio ad *σῶμα* pertinet neque trahi potest ad genit. *τῶν τοιούτων*, ut ex proximis his intelligitur, *ἀλλὰ τὴν μὲν ψυχὴν αὐτὴν δοκεῖν σφισι σῶμά τι κεκτῆσθαι.* Itaque ni Plato scripserit *τῶν τι τοιούτων μῶν σ. τι λ. ἴ.* distinxerim Τί δὲ *τῶν τοιούτων; μῶν σῶμά τι λέγ. ἴσχειν* (sc. *αὐτά*); Ut Phædon. p. 78. Τί δὲ *τῶν πολλῶν καλῶν, οἷον ἀνθρώπων ἢ ἵππων* — ; *ἆρα κατὰ τὰ αὐτὰ ἔχει* etc. Heind.

κατὰ ταυτὰ] *κατὰ ταυτὰ eodem modo.* Ita jam Cornarius legit quum vertit *secundum eadem.* Edd. *κατὰ ταῦτα.* Heind.

αἰσχύνονται τὸ τολμᾷν] Xenoph. Mem. Socr. iii. 14. 1. Οἱ *οὖν τὸ πολὺ φέροντες ᾐσχύνοντο τὸ μὴ κοινωνεῖν τοῦ εἰς τὸ κοινὸν τιθεμένου καὶ τὸ μὴ ἀντιτιθέναι τὸ ἑαυτῶν.* Sic recte illa legebantur ante Ernestium, qui primus sincera corrupit. Eurip. Iph. A. 452. Τὸ *μὴ δακρῦσαι δ' αὖτις αἰδοῦμαι τάλας.* Heind.

οἵ γε αὐτῶν σπαρτοί τε καὶ αὐτόχθ.] *Sparti et ex ipsa terra nati,* terrestres animæ, quibus nihil commune cum *τοῖς ἄνωθεν* et *ἀοράτοις.* *σπαρτοὺς* dictos constat Cadmi socios, a Cadmo satos ac terra procreatos. Pausan. ix. 5. Schol. ad Apollon. Rhod. iii. v. 1178. et 1185. Apollod. iii. 4. Idem mox §. 71. dicuntur *οἱ γηγενεῖς.* V. Valcken. ad Eurip. Phœn. 670. Heind.

§. 69. *τάχ' οὖν ἴσως ἂν ἀπ.*] In Ald. hæc ita distinguuntur : — *τοῦτο αὐτοῖς ῥητέον. τάχ' οὖν ἴσως ἂν ἀποροῖεν εἰ δή τι τοιοῦτον πεπόνθασι, σκόπει προτεινομ. ἡμῶν ἆρ' ἐθέλ.—εἶναι τὸ ὄν.* Θ. *Τὸ ποῖον δή;* etc. In Bas. 2. Θ. *Τάχ' οὖν ἴσως ἂν ἀποροῖεν, εἰ δή τι τοιοῦτον πεπόνθασι.* Ξ. *Σκόπει προτ.—τὸ ὄν.* Θ. *Τὸ ποῖον δή;* Quemadmodum interpungere voluit Steph. in cujus Ed. operarum errore deest Theæteti nomen ante hæc *τάχ' οὖν ἴσως*

ἡμῶν[a] ἆρ' ἐθέλοιεν ἂν δέχεσθαι καὶ ὁμολογεῖν τοιόνδ'[b] εἶναι τὸ ὄν.

ΘΕΑΙ. Τὸ ποῖον δή; λέγε, καὶ τάχα εἰσόμεθα.

ΞΕ. Λέγω δὴ τὸ καὶ ὁποιανοῦν τινα[c] κεκτημένον δύναμιν εἴτ' εἰς[d] τὸ ποιεῖν ἕτερον ὁτιοῦν πεφυκὸς εἴτ' εἰς τὸ παθεῖν καὶ σμικρότατον ὑπὸ τοῦ φαυλοτάτου, κἂν εἰ μόνον εἰσάπαξ, πᾶν τοῦτο[e] ὄντως εἶναι· τίθεμαι γὰρ ὅρον ὁρίζειν τὰ ὄντα, ὡς ἔστιν οὐκ ἄλλο τι πλὴν δύναμις.

ΘΕΑΙ. Ἀλλ' ἐπεί περ αὐτοί γε[f] οὐκ ἔχουσιν ἐν τῷ παρόντι τούτου βέλτιον λέγειν, δέχονται τοῦτο.

ΞΕ. Καλῶς· ἴσως[g] γὰρ ἂν[h] εἰσύστερον ἡμῖν τε καὶ
I. 248. τούτοις ἕτερον ἂν φανείη. πρὸς μὲν οὖν τούτους τοῦτο ἡμῖν ἐνταῦθα μενέτω[i] ξυνομολογηθέν.

ΘΕΑΙ. Μένει.

§. 70. ΞΕ. Πρὸς δὲ[j] τοὺς ἑτέρους ἴωμεν, τοὺς τῶν εἰδῶν φίλους· σὺ δ' ἡμῖν καὶ τὰ[k] παρὰ τούτων ἀφερμήνευε.[l]

ΞΣΥ.—[y] οἷα σχεδὸν Γ.—[z] : τάχ' Ε.—[a] ἡμῶν om Δ. καὶ om Γ.—[b] τοιόνδήτ' Γ.—[c] τινα om 𝔄ΔΠ.—[d] δύν. εἴ τις 𝔄ΛΗ et pr Ε.—[e] τοῦτο πᾶν Γ.—[f] τε F.—[g] ἴσθι pr Γ.—[h] ἂν add ΓΔΛΠBCEFH.—[i] μὲν ἐν τῷ (μένοιεν) H.—[j] δὴ 𝔄ΔΛΠΣΥBCFH et pr Γ.—

—πεπόνθασι. Nos, mutato δὴ in δὲ, veram loci distinctionem restituimus. HEIND.

τάχ' οὖν—εἶναι τὸ ὂν] Hæc tribuuntur Hospiti ab Ald. et Steph. sed Cornarii admonitu, restitui nomina personarum e Bas. 1. 2. et Ficino. FISCH.

εἴτε εἰς τὸ ποιεῖν] Ald. *εἴ τις τὸ ποιεῖν.* Bass. *εἴτε τὸ ποιεῖν.* Nostrum restituit Cornarius. *Ποιεῖν ἕτερον, ὁτιοῦν πεφυκὸς* est *efficere aliud, quidquid est.* HEIND.

κἂν εἰ μόνον εἰσάπαξ] De Legg. i. p. 646. B. *Πῶς δ' οὐκ ἀκουσόμεθα, κἂν εἰ μηδενὸς ἄλλου χάριν, ἀλλὰ τοῦ θαυμαστοῦ τε καὶ ἀτόπου* etc. Menon. p. 72. C. *Οὕτω δὴ καὶ περὶ τῶν ἀρετῶν, κἂν εἰ πολλαὶ καὶ παντοδαπαί εἰσιν, ἕν γέ τι εἶδος ταυτὸν ἅπασαι ἔχουσι* etc. Aristoph. Acharn. 1020. *Μέτρησον εἰρήνης τί μοι κἂν πέντ' ἔτη.* Quibus locis, ut innumeris aliis, *κἂν* per se positum est neque cum reliqua sermonis structura cohæret. HEIND.

τίθεμαι γὰρ ὅρον ὁρίζειν τὰ ὄντα] *Pono enim, definitionem continere ea quæ sunt, ut sint nihil aliud quam vis.* Ita etsi hæc possunt explicari, subblanditur tamen Bœckhii mei conjectura suadentis, *τίθεμαι γὰρ ὅρον ὁρίζων τὰ ὄντα ὡς ἔστιν* etc. HEIND.

ὡς ἔστιν] STEPH. '*γρ. ὅς ἐστιν*' quæ erat conjectura Cornarii non necessaria. FISCH.

τούτου βέλτιον λέγειν] Infra §. 96. *καὶ λεκτέον βέλτιόν τι τῶν νῦν εἰρημένων.* Cratyl. §. 95. *λέγε εἴ τι ἔχεις βέλτιον.* Hic *τι* vel potius *οὐδὲν* omissum ut in eod. Cratyl. §. 90. *οὐ γὰρ ἔχομεν τούτου βέλτιον εἰς ὅ,τι ἐπανενέγκωμεν* etc. Xenoph. Anab. iii. 2. 37. *εἰ μὲν οὖν ἄλλος τις βέλτιον ὁρᾷ*, ubi nulla erat mutandi necessitas. HEIND.

μένει] Stephanus conj. *μενεῖ.* non male. FISCH.

§. 70. *ἀφερμήνευε*] Cf. not. ad §. 67. HEIND.

ΘΕΑΙ. Ταῦτ' ἔσται. II. ii. 194.

ΞΕ. Γένεσιν, τὴν[m] δὲ[n] οὐσίαν χωρίς που διελόμενοι λέγετε; ἦ γάρ;

ΘΕΑΙ. Ναί.

ΞΕ. Καὶ σώματι μὲν ἡμᾶς γενέσει δι'[o] αἰσθήσεως κοινωνεῖν, διὰ λογισμοῦ δὲ ψυχῇ πρὸς τὴν ὄντως οὐσίαν, ἣν ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχειν φατέ, γένεσιν δὲ ἄλλοτε ἄλλως.

ΘΕΑΙ. Φαμὲν γὰρ οὖν.

ΞΕ. Τὸ δὲ δὴ κοινωνεῖν, ὦ πάντων ἄριστοι, τί[p] τοῦθ' ὑμᾶς[q] ἐπ' ἀμφοῖν λέγειν φῶμεν;[r] ἆρ' οὐ τὸ νῦν δὴ παρ' ἡμῶν ῥηθέν;

ΘΕΑΙ. Τὸ ποῖον;

ΞΕ. Πάθημα ἢ ποίημα ἐκ δυνάμεώς τινος ἀπὸ τῶν πρὸς ἄλληλα ξυνιόντων γιγνόμενον. Τάχ' οὖν, ὦ Θεαίτητε, αὐτῶν τὴν πρὸς ταῦτα ἀπόκρισιν σὺ μὲν οὐ κατακούεις,[s] ἐγὼ δὲ ἴσως διὰ συνήθειαν.

ΘΕΑΙ. Τίν' οὖν δὴ λέγουσι λόγον;

§. 71. ΞΕ. Οὐ συγχωροῦσιν ἡμῖν τὸ νῦν δὴ ῥηθὲν πρὸς τοὺς γηγενεῖς οὐσίας πέρι.

ΘΕΑΙ. Τὸ ποῖον;

ΞΕ. Ἱκανὸν ἔθεμεν ὅρον που τῶν ὄντων, ὅταν τῳ παρῇ II. ii. 195.

[k] τὰ om Δ.—[l] ἐφερμήνευε ς.—[m] τὴν μὲν οὖν γένεσιν ς.—[n] τε corr Γ, δέ γε Ξ et rc ΠΣ, δὲ καὶ BCH.—[o] διὰ...κοινωνεῖν om Υ.—[p] τί om Υ.—[q] ἡμᾶς EF.—[r] λέγειν φῶμεν (σ) 𝔄ΔΠ: φῶμεν λέγειν *ς.—[s] οὐκ ἀκούεις Δ, οὐκ ἀργεῖν ἀκούεις H.—[t] δύναμιν

γένεσιν, τὴν δὲ οὐσίαν—λέγετε] Hæc est lectio Ald. et Bass. quam mutavit Stephanus Cornarii jussu edens *Τὴν μὲν οὖν γένεσιν, τὴν δ' οὐσίαν—λέγετε.* Mutationem peperit ignorantia obvii passim apud scriptores loquendi generis, cujus quæ protuli exempla ad Theætet. §. 96. his facili negotio multo plura ex melioribus imprimis Codd. Mss. accedent. Velut, ut unum hoc proferam, de Rep. v. p. 455. B. in verbis, *ἆρα οὕτως ἔλεγες, τὸν μὲν εὐφυῆ πρός τι εἶναι, τὸν δὲ ἀφυῆ, ἐν ᾧ ὁ μὲν ῥᾳδίως τι μανθάνοι, ὁ δὲ χαλεπῶς;* Codicis Par. auctoritate ista *ὁ μὲν* futurus editor expungere debebit. HEIND.

διὰ λογισμοῦ δὲ ψυχῇ πρὸς τὴν ὄ. ο.] Variatur structura in his *πρὸς τὴν ὄντως οὐσίαν*, ne dativo *ψυχῇ* alius statim *τῇ ὄντως οὐσίᾳ* adderetur. Aperte enim hæc *πρὸς τὴν ὄντως οὐσίαν* precedenti respondent *γενέσει.*—*ἐπ' ἀμφοῖν*, *in utroque*, et *τῇ γενέσει* et *τῇ οὐσίᾳ*. HEIND.

σὺ μὲν οὐ κατακούεις] *Tu non clare et penitus percipis.* Auctor dialogi *Ἐρασ-τῶν* nomine inscripti init. *ἐτυγχανέτην οὖν δύο τῶν μειρακίων ἐρίζοντε, περὶ ὅτου δὲ, οὐ σφόδρα κατήκουον.* Ibid. p. 133. B. *λέγων μέγα τῇ φωνῇ, ἵν' αὐτοῦ κατακούοι τὰ παιδικά.* HEIND.

§. 71. *ἱκανὸν ἔθεμεν ὅρον*] Similiter

ἢ τοῦ πάσχειν ἢ δρᾷν καὶ πρὸς τὸ σμικρότατον δύναμις;[t]

ΘΕΑΙ. Ναί.

ΞΕ. Πρὸς δὴ ταῦτα τόδε λέγουσιν,[u] ὅτι[v] γενέσει μὲν μέτεστι[w] τοῦ πάσχειν καὶ ποιεῖν δυνάμεως, πρὸς δὲ οὐσίαν τούτων οὐδετέρου[x] τὴν δύναμιν ἁρμόττειν[y] φασίν.

ΘΕΑΙ. Οὐκοῦν λέγουσί τι;

ΞΕ. Πρὸς ὅ γε[z] λεκτέον ἡμῖν ὅτι δεόμεθα παρ' αὐτῶν ἔτι πυθέσθαι σαφέστερον, εἰ προσομολογοῦσι τὴν μὲν ψυχὴν γιγνώσκειν, τὴν δ' οὐσίαν γιγνώσκεσθαι.

ΘΕΑΙ. Φασὶ μὴν τοῦτό γε.

ΞΕ. Τί δέ; τὸ γιγνώσκειν ἢ τὸ γιγνώσκεσθαι φατὲ ποίημα ἢ πάθος ἢ ἀμφότερον; ἢ τὸ[a] μὲν πάθημα, τὸ δὲ θάτερον; ἢ παντάπασιν οὐδέτερον οὐδετέρου τούτων μεταλαμβάνειν;

ϊ
H.—[u] φασὶν Γ.—[v] ὅτε H.—[w] τουτέστι Λ.—[x] οὐδέτερον F.—[y] ἁρμόττει Υ.—[z] γε

conformata sermonis structura Hipp. Maj. §. 6. πολλοῖς συνδοκεῖ, ὅτι τὸν σοφὸν αὐτὸν αὑτῷ μάλιστα δεῖ σοφὸν εἶναι· τούτου δ' ὅρος ἐστὶν ἄρα, ὃς ἂν πλεῖστον ἀργύριον ἐργάσηται. Neque multum hinc distat, quæ magis etiam a nostro recedit sermone, illa loquendi ratio Herodot. i. 136. Ἀνδραγαθίη δ' αὕτη ἀποδέδεκται μετὰ τὸ μάχεσθαι εἶναι ἀγαθὸν, ὃς ἂν πολλοὺς ἀποδέξῃ παῖδας. Aristoph. Thesm. 177. Ἀγάθων, σοφοῦ πρὸς ἀνδρὸς, ὅστις ἐν βραχεῖ Πολλοὺς καλῶς οἷόστε συντέμνειν λόγους. Xenoph. Hellen. ii. 3. 51. Ἐγὼ—νομίζω, προστάτου ἔργον εἶναι οἵου δεῖ, ὃς ἂν ὁρῶν τοὺς φίλους ἐξαπατωμένους μὴ ἐπιτρέπῃ. Dio Chrysost. Or. ii. p. 90. ὡς καὶ τοῦτο ἱκανὸν σημεῖον ἀρετῆς ἢ κακίας, οἵτινες ἂν ἐγκρατῶς τὰς εὐτυχίας ἢ τοὐναντίον μεθ' ὕβρεως φέρωσιν. Xenoph. Anab. ii. 6. 6. Ταῦτα οὖν φιλοπολέμου δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις, ἐξὸν—εἰρήνην ἄγειν ἄνευ αἰσχύνης καὶ βλάβης, αἱρεῖται πολεμεῖν. Quæ afferre debebam ad Phædon. §. 35. HEIND.

ἢ τοῦ πάσχειν] *Aut patiendi vel tantillum facultas:* ad verbum, *vel ad minimum.* STEPH.

καὶ πρὸς τὸ σμικρότατον] *Vel ad minimum* faciendum patiendumve. HEIND.

ἢ ἀμφότερον] *An utrumque? an hoc quidem, passionem, illud autem, alterum* (i. e. *actionem*)? *an omnino neutrum?* si quidem retineantur verba illa, ἢ τὸ μὲν, πάθημα, τὸ δὲ, θάτερον. quæ licet nec Fic. agnoverit, et in quibusdam vet. libris [inter quos est Serrani vet. cod.] non extent, convenire videntur. STEPH.

ἢ τὸ μὲν—θάτερον] Hæc verba omissa sunt in Bas. 2. fortassis operarum negligentia, aut potius librariorum, quum præcedat ἀμφότερον. Certe Ficinus quoque ea in suis codicibus invenerat: nam versio ejus, ab Grynæo nondum mutata, habet, *aut aliud quidem pati, aliud autem agere.* Unde Stephanus falsi arguitur. Serranus verba ἢ τὸ μὲν πάθημα, τὸ δὲ θάτερον omisit in sua versione. FISCH.

ἢ τὸ μὲν πάθημα, τὸ δὲ θάτερον] Genuina hæc sunt haud dubie, quamvis desint in Bas. 2. nec Latine legantur in germana Ficini versione. Quippe præterquam quod τὸ γιγνώσκειν per se ipsum esse potest vel πάθημα vel ποίημά τι vel utrumque, itemque τὸ γιγνώσκεσθαι, fieri potest, ut, quum alterum πάθημα sit, alterum sit ποίημα. Non igitur redundant hæc; imo si absint, proxima ἢ παντάπασιν οὐδέτερον οὐδετέρου τούτων μεταλαμβάνειν cum præcedd. non cohærebunt. πάθημα autem hoc miror sic statim post πάθος illatum. An primitus scriptum ποίημα? HEIND.

ΘΕΑΙ. Δῆλον[b] ὡς οὐδέτερον οὐδετέρου· τἀναντία γὰρ ἂν[c] τοῖς ἔμπροσθεν λέγοιεν.

ΞΕ. Μανθάνω,[d] τόδε γε, ὡς[e] τὸ γιγνώσκειν εἴ περ ἔσ-ται ποιεῖν τι, τὸ γιγνωσκόμενον ἀναγκαῖον αὖ ξυμβαίνει πάσχειν. τὴν[f] οὐσίαν δὴ κατὰ τὸν λόγον τοῦτον γιγνωσκο-μένην ὑπὸ τῆς γνώσεως, καθ' ὅσον γιγνώσκεται, κατὰ[g] το-σοῦτον κινεῖσθαι διὰ τὸ πάσχειν, ὃ δή φαμεν οὐκ ἂν γενέσ-θαι περὶ τὸ ἠρεμοῦν.[h]

ΘΕΑΙ. Ὀρθῶς. II. ii. 196.

§. 72. ΞΕ. Τί δαὶ[i] πρὸς Διός; ὡς ἀληθῶς κίνησιν καὶ ζωὴν καὶ ψυχὴν καὶ φρόνησιν ἦ[j] ῥᾳδίως πεισθησόμεθα[k] τῷ παντελῶς ὄντι μὴ παρεῖναι, μηδὲ ζῆν αὐτὸ μηδὲ φρονεῖν, I. 249.
ἀλλὰ σεμνὸν καὶ ἅγιον νοῦν οὐκ ἔχον ἀκίνητον ἑστὸς[l] εἶναι;

ΘΕΑΙ. Δεινὸν μέντ' ἄν, ὦ ξένε, λόγον συγχωροῖμεν.

ΞΕ. Ἀλλὰ νοῦν μὲν ἔχειν, ζωὴν δὲ μὴ φῶμεν;

ΘΕΑΙ. Καὶ πῶς;

ΞΕ. Ἀλλὰ ταῦτα μὲν ἀμφότερα ἐνόντ' αὐτῷ[m] λέγο-μεν,[n] οὐ μὴν ἐν ψυχῇ γε[o] φήσομεν αὐτὸ ἔχειν αὐτά;

m F.—[a] ἢ τὸ...θάτερον om ΓΛBCEFH.—[b] : δῆλον ΓΥCEF.—[c] ἂν om ΔΠ.—[d] μαν-θάνω : τὸ δὲ ὡς 𝔄ΔΠ. μανθάνω : τὸ δέ γε ὡς ΛΣΥBCFH e. pr E.—[e] ὡς...] hæc γρ διὰ
riori continuant etiam ΓΞE.—[f] : τὴν Ξ.—[g] κατὰ Ξ.—[h] ἠρεμεῖν Δ et pr Π, ἠρεμεῖν .—[i] δέ 𝔄ΔΠ.—[j] ἢ 𝔄CF.—[k] πεισόμεθα F.—[l] ἑστὸς 𝔄Δ et pr Π : ἑστὼς *ς.— ἐνὸν ταυτῷ 𝔄, ἓν ὂν ταὐτῷ ΛΥE.—[n] λέγωμεν ΓΗ.—[o] τε ΣΥBCEH et pr F.—

μανθάνω τόδε γε] *Hoc sane intelligo, uod si Cognoscere est facere quid.* ut hæc b eodem dicantur, ut in Ald. sed male eadem edit. quæ sunt post πάσχειν ii adscribuntur, videlicet Ξένῳ. Steph.

δῆλον ὡς οὐδέτερον] In Edd. Bass. et eph. loquentium in his vices ita dis-ibuuntur :—μεταλαμβάνειν; δῆλον ὡς -λέγοιεν. Θ. Μανθάνω τόδε γε. Ξ. ὡς τὸ γιγνώσκειν —. Sed hæc δῆλον —λέγοιεν, interrogationi suæ prorsus æter Platonici dialogi morem subji-ret ipse Eleates, præsertim quum The-teto partes tribuerit illorum hominum rbis ad singula respondendi §. 70. init. orro Eleatæ adsignata hæc sic procul bio adjunxisset Plato : ἢ δῆλον, ὦ εαίτ. In Cod. Par. sic distinctum . Μανθάνω· Ξ. Τόδε γε, ὡς —. In ld. autem Theæteto tribuuntur hæc, ανθάνω τόδε γε ὡς τὸ γιγνώσκειν—ξυμ-βαίνει πάσχειν, Eleatæ et præcedd. illa Τί δὲ τὸ γιγνώσκειν—λέγοιεν et quæ sub-sequuntur, τὴν οὐσίαν—περὶ τὸ ἠρεμοῦν. De vera loci distinctione adeo evidente ut ipsa se oculis ingerat, primus monuit Heusdius. Heind.

§. 72. ἢ ῥᾳδίως πεισθ.] Simplicius in Aristot. Phys. iii. f. 92. ubi hæc profert usque ad verba μηδενὸς εἶναι μηδαμοῦ, omisit hoc ἤ. de Rep. ii. p. 396. B. Τί δέ; ἵππους χρεμετίζοντας καὶ ταύρους μυκωμένους καὶ ποταμοὺς ψοφοῦντας—καὶ πάντα αὖ τὰ τοιαῦτα ἦ μιμήσονται; v. p. 469. C. Τί δέ; σκυλεύειν, ἦν δ' ἐγώ, τοὺς τελευτήσαντας πλὴν ὅπλων, ἐπειδὰν νικήσωσιν, ἦ καλῶς ἔχει ἢ οὔ; Xenoph. Œcon. xii. 15. Τί δὲ, ἔφην ἐγὼ, οἵτινες αὖ ἐρωτικῶς ἔχουσι τοῦ κερδαίνειν, ἦ καὶ οὗτοι ἀδύνατοί εἰσι—παιδεύεσθαι; Mox id. Simpl. λόγ. συγχωροῖμεν ἄν. Heind.

ΘΕΑΙ. Καὶ τίν' ἂν ἕτερον ἔχοι τρόπον;

ΞΕ. Ἀλλὰ δῆτα νοῦν μὲν καὶ ζωὴν καὶ ψυχήν, ἀκίνητον μέντοι τὸ παράπαν ἔμψυχον ὂν[p] ἑστάναι;

ΘΕΑΙ. Πάντα ἔμοιγε ἄλογα ταῦτ' εἶναι φαίνεται.

ΞΕ. Καὶ[q] τὸ κινούμενον δὴ καὶ κίνησιν συγχωρητέον ὡς ὄντα.

ΘΕΑΙ. Πῶς δ' οὔ;

ΞΕ. Ξυμβαίνει δ' οὖν, ὦ Θεαίτητε, ἀκινήτων τε ὄντων νοῦν μηδενὶ περὶ μηδενὸς εἶναι μηδαμοῦ.

§. 73. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν.

II. ii. 197. ΞΕ. Καὶ μὴν ἐὰν αὖ[r] φερόμενα καὶ κινούμενα πάντ' εἶναι συγχωρῶμεν, καὶ τούτῳ τῷ λόγῳ ταὐτὸν τοῦτο ἐκ τῶν ὄντων ἐξαιρήσομεν.

ΘΕΑΙ. Πῶς;

ΞΕ. Τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως καὶ περὶ τὸ αὐτὸ δοκεῖ σοι χωρὶς στάσεως γενέσθαι ποτ'[s] ἄν;

ΘΕΑΙ. Οὐδαμῶς.

ΞΕ. Τί δ'; ἄνευ τούτων νοῦν καθορᾷς[t] ὄντα ἢ γενόμενον ἂν[u] καὶ ὁπουοῦν;[v]

ΘΕΑΙ. Ἥκιστα.

ΞΕ. Καὶ μὴν πρός γε τοῦτον παντὶ λόγῳ μαχετέον,[w] ὃς ἂν ἐπιστήμην ἢ φρόνησιν ἢ νοῦν ἀφανίζων ἰσχυρίζηται περί τινος ὁπῃοῦν.[x]

[p] *μὲν* Υ, *μὲν ὂν* Σ, om ΛΗ.—[q] *καὶ* om ΓΛΣΥΕΗ et pr F.—[r] *αὖ* om Π.—[s] *τότ'* 𝔄Π.—[t] *καθορᾶν* F.—[u] *αὖ* 𝔄ΔΠ.—[v] *ὁπῃοῦν* F.—[w] *μαχετέον* 𝔄ΓΔΛΠΣΥΕΗ et pr BF,

νοῦν μὲν—καὶ ψυχὴν] Sc. *ἔχειν*, quod etsi facile excidere post *ψυχὴν* potuerit, non tamen ego sine Codd. auctoritate intruserim. Tum Simpl. *γελοῖα* pro *ἄλογα*, deinde *ξυγχωρητέον* pro *συγχωρ.* Heind.

ξυμβαίνει δ' οὖν, ὦ Θεαίτ. ἀκινήτων τε ὄντ.] Pro *δ' οὖν* Simpl. *γοῦν*, omisso deinde *τε* post *ἀκινήτων*. Hæc vero ut scripta sunt *ἀκινήτων τε ὄντων*, ne nulla hinc exeat sententia, genitivus hic *ἀκινήτων ὄντων* pendere putandus est a seq. *μηδενί*. Atqui eorum, quæ immobilia sunt, nihil mente præditum esse, id non nunc demum efficitur, sed jam ante dictum fuit vel sumptum potius tanquam clarum per se et apertum verbis Ἀλλὰ δῆτα νοῦν μὲν καὶ—ψυχὴν (ἔχειν), ἀκίνητον μέντοι τοπαράπαν ἔμψυχον ὂν ἑστάναι; Hæc me movent, ut sinceram scripturam fuisse putem *ἀκινήτων τε ὄντων τῶν ὄντων, νοῦν—*. Hæc *νοῦν μηδενὶ—μηδαμοῦ* cum vertit Ficinus, *mentem nulli rerum immobilium nusquam nullo modo de nullo adesse*, post *μηδαμοῦ* insertum videtur legisse *μηδαμῇ*. Non male. Heind.

§. 73. *τί δ', ἄνευ τούτων—ὁπουοῦν;*] Ficin. *Cernis usquam sine his mentem vel fuisse vel esse* (imo *futurum esse*); ut reperisse in suo codice videatur *ἢ ὄντα ἢ γενόμ.* Heind.

καθορᾷς] Cod. Par. *καθορᾷν* et *ὁπῃοῦν* pro *ὁπουοῦν*, mox *τῷ δὴ φιλοπόνῳ* pro *τῷ δὴ φιλοσόφῳ*. Heind.

ΘΕΑΙ. Σφόδρα γε.

ΞΕ. Τῷ δὴ φιλοσόφῳ[y] καὶ ταῦτα μάλιστα τιμῶντι πᾶσα, ὡς ἔοικεν, ἀνάγκη διὰ ταῦτα μήτε τῶν[z] ἓν ἢ καὶ τὰ πολλὰ εἴδη λεγόντων τὸ πᾶν ἑστηκὸς ἀποδέχεσθαι, τῶν τε[a] αὖ[b] πανταχῇ τὸ ὂν κινούντων μηδὲ τὸ παράπαν ἀκούειν, ἀλλὰ κατὰ τὴν τῶν[c] παίδων εὐχήν, ὅσα ἀκίνητα καὶ κεκινημένα, τὸ ὄν τε καὶ τὸ πᾶν,[d] ξυναμφότερα λέγειν.[e]

ΘΕΑΙ. Ἀληθέστατα.

§. 74. ΞΕ. Τί δὴ[f] οὖν;[g] ἆρ' οὐκ ἐπιεικῶς ἤδη[h] φαινόμεθα περιειληφέναι τῷ λόγῳ τὸ ὄν;

ΘΕΑΙ. Πάνυ μὲν οὖν.

ΞΕ. Βαβαὶ[i] μέντ' ἂν[j] ἄρα, ὦ Θεαίτητε, ὥς μοι δοκοῦ- II. ii. 198.
μεν νῦν αὐτοῦ γνώσεσθαι πέρι[k] τὴν ἀπορίαν τῆς σκέψεως.

ΘΕΑΙ. Πῶς αὖ καὶ τί τοῦτ' εἴρηκας;

ΞΕ. Ὦ μακάριε, οὐκ ἐννοεῖς ὅτι νῦν ἐσμὲν ἐν ἀγνοίᾳ τῇ πλείστῃ περὶ αὐτοῦ, φαινόμεθα δέ τι λέγειν ἡμῖν αὐτοῖς;

ΘΕΑΙ. Ἐμοὶ γοῦν· ὅπῃ δ' αὖ λελήθαμεν οὕτως ἔχοντες, οὐ πάνυ ξυνίημι.

μαχητέον *ς.—[x] ἕπη οὖν Λ.—[y] φιλοπόνῳ F.—[z] τὸ 𝔄ΔΠ.—[a] δὲ ς.—[b] αὖ om F.—[c] τῶν om ΣΥ et pr Ξ.—[d] πᾶν ἤδη H.—[e] λέγει 𝔄Δ et pr Π.—[f] δὴ om 𝔄ΔΠ: ἂν Γ.—[g] οὖν οὐκ Λ.—[h] ἤδη om H.—[i] βαβαῖ 𝔄.—[j] μέτ' ἂν, in mg μηδὲν, F.—[k] περὶ 𝔄.

κατὰ τὴν τῶν παίδ. εὐχ.] *Secundum votum puerorum,* ut immobilia moveantur, optantium. Verbum *ξυναμφότερα* non ad *λέγειν*, sed ad præcedd. pertinet *τὸ ὄν τε καὶ τὸ πᾶν. §. 75. Οὐκ ἄρα κίνησις καὶ στάσις ἐστὶ ξυναμφότερον τὸ ὄν, ἀλλ' ἕτερον δή τι τούτων.* Heind.

ὅσα ἀκίνητα καὶ κεκινημένα] Horum neque sensum neque structuram expedio nisi cum Schleiermachero legatur, *ὡς ἀκίνητα καὶ κεκινημένα τὸ ὄν τε καὶ τὸ πᾶν ξυναμφότερα, λέγειν.* Heind.

§. 74. *βάβαι*] Post *βαβαὶ* deesse aliqua videntur. alioqui legendum potius, *βαβαὶ ὥς μοι δοκοῦμεν* etc. absque illis, *μέν τ' ἂν ἄρα.* Steph.

βαβαὶ μέντ' ἂν ἄρα, ὦ Θεαίτ.] Non levem hæc corruptelam subiisse, satis vel ex particulis hisce intelligitur, *μέντ' ἂν ἄρα* post interjectionem *βαβαὶ* absurde inculcatis. Nam *ὡς* ad *βαβαὶ* pertinet manifesto. de Rep. ii. p. 361. D. Βαβαὶ, *ἦν δ' ἐγὼ, ὦ φίλε Γλαύκων, ὡς ἐρρωμένως ἑκάτερον—ἐκκαθαίρεις τοῖν ἀνδροῖν.* Ibid. v. p. 459. B. Βαβαὶ, ὦ φίλε ἑταῖρε, *ὡς ἄρα σφόδρα ἡμῖν δεῖ ἄκρων εἶναι τῶν ἀρχόντων* etc. Atque pro *μέντ' ἂν* in Cod. Par. scriptum extat *μέ τ' ἂν*, cui in margine appositum *μηδὲν ἂν*, ibidemque in marg. pro *περὶ τὴν* legitur *πλὴν τήν.* His si conferatur Ficini hæc versio: *Papæ, o Theætete, quanta nunc in ambiguitate versamur! nihil enim aliud nunc præter difficultatem considerandi nosse mihi videmur,* itemque illa Cornarii ex Cod. Ms. Platonem interpretati, *Papæ, o Theætete, ita mihi nunc videmur nihil de ipso præterquam considerandi ambiguitatem nosse!* vestigia certe germanæ scripturæ referre hæc, quam illinc eruimus, videbitur: Βαβαὶ ἄρα, ὦ Θεαίτητε, *ὥς μοι δοκοῦμεν νῦν αὐτοῦ μηδὲν ἂν γνώσεσθαι πέρι πλὴν τὴν ἀπορίαν τῆς σκέψεως. ἄρα* post *βαβαὶ* eodem modo positum Alcib. i. p. 118. B. Βαβαὶ ἄρα, ὦ Ἀλκιβιάδη, *οἷον πάθος πέπονθας.* Heind.

ἐμοὶ γοῦν] Sc. *φαινόμεθά τι λέγειν.* Scripsi Ἐμοὶ γοῦν pro Ἔμοιγ' οὖν. Mox

ΞΕ. Σκόπει δὴ σαφέστερον, εἰ ταῦτα νῦν[l] ξυνομολογοῦν-
I. 250. τες δικαίως ἂν ἐπερωτηθεῖμεν[m] ἅ περ αὐτοὶ τότε ἠρωτῶμεν τοὺς λέγοντας εἶναι τὸ πᾶν θερμὸν καὶ ψυχρόν.

ΘΕΑΙ. Ποῖα; ὑπόμνησόν με.

ΞΕ. Πάνυ μὲν οὖν·[n] καὶ πειράσομαί γε δρᾶν τοῦτο ἐρωτῶν σὲ καθά περ ἐκείνους τότε, ἵνα ἅμα τι καὶ προΐωμεν.

ΘΕΑΙ. Ὀρθῶς.

§. 75. ΞΕ. Εἶεν δή, κίνησιν καὶ στάσιν ἆρ' οὐκ ἐναντιώτατα λέγεις[o] ἀλλήλοις;

ΘΕΑΙ. Πῶς γὰρ οὔ;

ΞΕ. Καὶ μὴν εἶναί γε ὁμοίως φῂς ἀμφότερα αὐτὰ καὶ ἑκάτερον.[p]

II. ii. 199. ΘΕΑΙ. Φημὶ[q] γὰρ οὖν.

ΞΕ. Ἆρα κινεῖσθαι λέγων ἀμφότερα καὶ ἑκάτερον, ὅταν εἶναι συγχωρῇς;

ΘΕΑΙ. Οὐδαμῶς.

ΞΕ. Ἀλλ' ἑστάναι σημαίνεις λέγων αὐτὰ ἀμφότερα εἶναι;

ΘΕΑΙ. Καὶ πῶς;

ΞΕ. Τρίτον ἄρα τι[r] παρὰ ταῦτα τὸ ὂν ἐν τῇ ψυχῇ τιθείς,[s] ὡς[t] ὑπ' ἐκείνου τήν τε στάσιν καὶ τὴν κίνησιν περιεχομένην, συλλαβὼν καὶ ἀπιδὼν αὐτῶν[u] πρὸς τὴν τῆς οὐσίας κοινωνίαν, οὕτως εἶναι προσεῖπας[v] ἀμφότερα.

ΘΕΑΙ. Κινδυνεύομεν[w] ὡς ἀληθῶς τρίτον ἀπομαντεύεσθαί τι τὸ ὄν, ὅταν κίνησιν καὶ στάσιν εἶναι λέγωμεν.

πλὴν mg F.—[l] εἶτα ΔΠ, εἰ τὰ 𝔄.—[m] ἐπερωτηθεῖμεν 𝔄Δ et pr ΠΒ: ἐπερωτηθείημεν *ς.—[n] μὲν οὖν om F.—[o] λέγειν Λ.—[p] αὐτὰ post ἑκάτερον ponit Δ.—[q] φημὶ...ἑκάτερον om Γ.—[r] ἄρα τι 𝔄ΓΔΞΠΒΕF et corr Σ, ἔστι τι Η, ἔτι ΛC et mg Π: ἄρτι ς.—
ἐς
[s] θεὶς ΣΥ et pr Ξ.—[t] ὡς om Γ.—[u] αὐτὸν 𝔄.—[v] προσεῖπας Λ, προσεῖπες 𝔄ΔΠΒC.—

meliores libri haud dubie dabunt ἐπερωτηθεῖμεν. Heind.

ὅπη δ' αὖ λελ.] Sic verterim, *Sed non satis intelligo qui fiat ut in hac quam non animadvertimus ignorantia versemur.* Male autem ὄντως pro οὕτως, in Ald. Steph. Bas. 2. οὕτως. Fisch.

τότε ἠρωτῶμεν] V. §. 60. Heind.

§. 75. καὶ μὴν εἶναί γε] *Atqui esse similiter* etc. sine interr. vel *Enimvero esse similiter.* Steph.

τρίτον ἄρα τι] Hoc pro vulgato ἄρτι substituendum monuit jam Schleierm. Paullo post in his κατὰ τὴν αὐτοῦ φύσιν ex Ald. et Bass. αὐτοῦ revocavi pro eo, quod Steph. edidit, αὑτοῦ. Heind.

ΞΕ. Οὐκ ἄρα κίνησις καὶ στάσις ἐστὶ ξυναμφότερον τὸ ὄν, ἀλλ'[x] ἕτερον δή τι τούτων.

ΘΕΑΙ. Ἔοικεν.

ΞΕ. Κατὰ τὴν αὑτοῦ φύσιν ἄρα τὸ ὂν[y] οὔτε ἕστηκεν οὔτε κινεῖται.

ΘΕΑΙ. Σχεδόν.

ΞΕ. Ποῖ[z] δὴ[a] χρὴ τὴν διάνοιαν ἔτι τρέπειν[b] τὸν βουλόμενον ἐναργές τι περὶ αὐτοῦ παρ' ἑαυτῷ[c] βεβαιώσασθαι;

ΘΕΑΙ. Ποῖ γάρ;

ΞΕ. Οἶμαι μὲν οὐδαμόσε ἔτι ῥᾴδιον. εἰ γάρ τι μὴ κινεῖται, πῶς οὐχ ἕστηκεν; ἢ τὸ μηδαμῶς ἑστὸς[d] πῶς οὐκ αὖ κινεῖται; τὸ δὲ ὂν ἡμῖν νῦν[e] ἐκτὸς τούτων ἀμφοτέρων ἀναπέφανται. ἦ δυνατὸν οὖν[f] τοῦτο; II. ii. 200.

ΘΕΑΙ. Πάντων μὲν οὖν ἀδυνατώτατον.

§. 76. ΞΕ. Τόδε τοίνυν μνησθῆναι δίκαιον ἐπὶ τούτοις.

ΘΕΑΙ. Τὸ ποῖον;

ΞΕ. Ὅτι τοῦ μὴ ὄντος ἐρωτηθέντες τοὔνομα ἐφ' ὅ τί ποτε δεῖ φέρειν, πάσῃ συνεσχόμεθα[g] ἀπορίᾳ. μέμνησαι;

ΘΕΑΙ. Πῶς γὰρ οὔ;

ΞΕ. Μῶν οὖν ἐν[h] ἐλάττονί τινι νῦν ἐσμὲν ἀπορίᾳ περὶ τὸ ὄν;

ΘΕΑΙ. Ἐμοὶ μέν, ὦ[i] ξένε, εἰ δυνατὸν εἰπεῖν, ἐν πλείονι φαινόμεθα.

ΞΕ. Τοῦτο μὲν τοίνυν ἐνταῦθα κείσθω διηπορημένον· ἐπειδὴ δὲ ἐξ ἴσου τό τε ὂν καὶ τὸ μὴ ὂν ἀπορίας μετειλήφατον, νῦν ἐλπὶς ἤδη, καθάπερ[j] ἂν[k] αὐτῶν[l] θάτερον εἴτε ἀμυδρότερον εἴτε σαφέστερον ἀναφαίνηται, καὶ θάτερον οὕ-

[w] κινδυνεύωμεν BCH et pr Γ.—[x] ἀλλ'...ὂν om H.—[y] ἄρα τὸ ὂν κατὰ τὴν αὑτοῦ φύσιν Γ.—[z] πῆ E.—[a] δὴ add 𝔄ΔΞΠΣΥ.—[b] πρέπειν E.—[c] ἑαυτῶν F.—[d] ἑστὸς 𝔄Δ : ἑστὼς *ς.—[e] νῦν om Υ.—[f] ἦν Δ.—[g] συνεσχόμεθα ΓΔΠΒC, συνειχόμεθα Ξ : συνεχόμεθα *ς.—[h] ἐν om Λ.—[i] μὲν οὖν ὦ Π.—[j] καθ' ἑτέραν ΔΠ.—[k] ἂν om Π.—[l] αὐ-

ποῖ χρὴ τὴν διάνοιαν ἔτι τρέπειν] Peritum Platonici sermonis lectorem offendat paullulum hoc asyndeton. Euthyd. §. 44. Ποῖ οὖν, ἔφην ἐγώ, τραποίμεθ' ἂν ἔτι; Heind.

§. 76. συνειχόμεθα] Vulgo συνεχόμεθα. Illud et ratio postulat et expressit Ficinus: *Quod de non entis nomine interrogati, cuinam conveniret, declarare nequivimus.* Heind.

ἀναφανεῖσθαι] Sic nihil dubitavi corrigere, quod prostat in Edd. ἀναφαίνεσθαι. Eodem in genere peccatum fuit §. 63. extr. Heind.

τως ἀναφαίνεσθαι· καὶ ἐὰν αὖ μηδέτερον ἰδεῖν δυνώμεθα,
I. 251. τὸν γοῦν λόγον ὅπῃ[m] περ ἂν οἷοί τε ὦμεν εὐπρεπέστατα διωσόμεθα οὕτως ἀμφοῖν ἅμα.

ΘΕΑΙ. Καλῶς.

II. ii. 201. §. 77. ΞΕ. Λέγωμεν δὴ καθ' ὅν τινά ποτε[n] τρόπον πολλοῖς ὀνόμασι ταὐτὸν[o] τοῦτο ἑκάστοτε προσαγορεύομεν.

ΘΕΑΙ. Οἷον δὴ τί; παράδειγμα εἰπέ.

ΞΕ. Λέγομεν ἄνθρωπον δή που πόλλ' ἄττα ἐπονομάζοντες,[p] τά τε χρώματα ἐπιφέροντες αὐτῷ καὶ τὰ σχήματα καὶ μεγέθη[q] καὶ κακίας καὶ ἀρετάς, ἐν οἷς πᾶσι καὶ ἑτέροις μυρίοις[r] οὐ μόνον ἄνθρωπον αὐτὸν εἶναι φαμέν, ἀλλὰ καὶ ἀγαθὸν καὶ ἕτερα ἄπειρα, καὶ τἆλλα δὴ κατὰ τὸν αὐτὸν λόγον οὕτως ἓν ἕκαστον ὑποθέμενοι πάλιν αὐτὸ πολλὰ καὶ πολλοῖς ὀνόμασι λέγομεν.

ΘΕΑΙ. Ἀληθῆ λέγεις.

ΞΕ. Ὅθεν γε, οἶμαι, τοῖς τε[s] νέοις καὶ τῶν γερόντων

τὸν Π.—[m] ὅπου ΣΥ.—[n] ποτε om pr Π.—[o] ταυτὸ ΔΠ.—[p] ἐπονομάζοντες...τὰ om H.—[q] καὶ μεγέθη 𝔄ΔΠ : καὶ τὰ μεγέθη *ς.—[r] μορίοις H.—[s] τε 𝔄ΔΠ.—[t] θοίνης Υ.—

διωξόμεθα] Manifesto vitio in Edd. hucusque propagatum fuit διωσόμεθα, quo vocabulo contrarium prorsus significatur quam quo opus est h. l. Dio Chrysost. Or. vii. init. ἴσως γὰρ οὐ μόνον πρεσβυτικὸν πολυλογία καὶ τὸ μηδένα διωθεῖσθαι ῥᾳδίως τῶν ἐμπιπτόντων λόγων. Repositum illud a nobis tum sensus requirit, tum liquido reddidit Ficinus vertens, *sermonem—persequamur.* de Rep. v. p. 454. A. διὰ τὸ μὴ δύνασθαι κατ' εἴδη διαιρούμενοι τὸ λεγόμενον ἐπισκοπεῖν, ἀλλὰ κατ' αὐτὸ τὸ ὄνομα διώκειν τοῦ λεχθέντος τὴν ἐναντίωσιν, ἔριδι, οὐ διαλέκτῳ πρὸς ἀλλήλους χρώμενοι. Xenoph. Mem. ii. 1. 34. οὕτω πως διώκει Πρόδικος τὴν ὑπ' ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέρως ῥήμασιν etc. ubi ab Hemsterhusio excogitatum et probatum a Ruhnkenio διῴκει (a διοικεῖν) ne temporis quidem ratio admittit. Aut διοικεῖ enim scribere aut διῴκησε debuit Xenophon, quum extaret adhuc, de quo agit ibi, Prodici scriptum. Conf. ibi §. 22. Heind.

§. 77. καθ' ὅντινά ποτε τρόπον] Vulgatius foret ὅντινα (vel τίνα) ποτὲ τρόπον, neque tamen illud est infrequens. Cratyl. §. 57. ἔχεις ἂν εἰπεῖν πῦρ καθ' ὅντινα τρόπον καλεῖται; Phileb. p. 20. A. εἴ πῃ καθ' ἕτερόν τινα τρόπον οἷός τ' εἶ—δηλῶσαι etc. Politic. p. 306. B. ὡς ἐστὸν κατὰ δή τινα τρόπον—ἔχοντε—. Xenoph. Cyrop. viii. 2. 5. κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ παρὰ βασιλεῖ σῖτα πολὺ διαφερόντως ἐκπεπόνηται. Demosth. in Leptin. §. 105. Εἰ γὰρ ἃ κατὰ μηδένα ἄλλον ἔχουσι τρόπον δεῖξαι δίκαιον ὑμᾶς ἀφελέσθαι etc. Heind.

οἷον δὴ τί; παράδειγμα εἰπὲ] Perperam vulgo Οἷον δή τι παράδ. V. not. ad Theætet. §. 150. Heind.

λέγομεν ἄνθρωπον] Simplicius hæc verba usque ad οἰόμενος τοῦτο αὐτὸ εὑρηκέναι afferens in Aristot. Phys. i. f. 21. B. omisso λέγομεν, post ἄνθρωπον inseruit μέν. Tum id. sine articulo καὶ μεγέθη, atque paullo post πάλιν καὶ αὐτὸ πολλοῖς ὀν. prætermissis his πολλὰ καί. Heind.

ὅθεν γε, οἶμαι, τοῖς τε νέοις] Phileb. p. 14. C. Π. Ἆρ' οὖν λέγεις, ὅταν τις ἐμὲ φῇ Πρώταρχον, ἕνα γεγονότα φύσει, πολλοὺς εἶναι πάλιν, τοὺς ἐμὲ καὶ ἐναντίους ἀλλήλοις, μέγαν καὶ σμικρὸν, τιθεμένους (l. τιθέμενος) καὶ βαρὺν καὶ κοῦφον τὸν αὐτὸν, καὶ ἄλλα μυρία; (Sic illa interpungenda) Σ. Σὺ μὲν—εἴρηκας τὰ δε-

τοῖς ὀψιμαθέσι θοίνην[t] παρεσκευάκαμεν· εὐθὺς γὰρ ἀντιλαβέσθαι παντὶ πρόχειρον ὡς ἀδύνατον τά τε πολλὰ ἓν καὶ τὸ ἓν πολλὰ εἶναι, καὶ δή που χαίρουσιν οὐκ ἐῶντες ἀγαθὸν λέγειν ἄνθρωπον, ἀλλὰ τὸ[u] μὲν ἀγαθὸν ἀγαθόν, τὸν δὲ ἄνθρωπον ἄνθρωπον. ἐντυγχάνεις γάρ, ὦ Θεαίτητε, ὡς ἐγῷμαι, πολλάκις τὰ τοιαῦτα ἐσπουδακόσιν, ἐνίοτε πρεσβυτέροις ἀνθρώποις, καὶ ὑπὸ πενίας τῆς περὶ φρόνησιν κτήσεως τὰ τοιαῦτα τεθαυμακόσι, καὶ δή τι καὶ πάσσοφον[v] οἰομένοις τοῦτ'[w] αὐτὸ ἀνευρηκέναι.

§. 78. ΘΕΑΙ. Πάνυ μὲν οὖν. II. ii. 202.

ΞΕ. Ἵνα τοίνυν πρὸς ἅπαντας ἡμῖν ὁ λόγος[x] ᾖ τοὺς πώποτε περὶ οὐσίας καὶ ὁτιοῦν διαλεχθέντας, ἔστω καὶ πρὸς τούτους καὶ πρὸς τοὺς ἄλλους, ὅσοις[y] ἔμπροσθεν διειλέγμεθα, τὰ νῦν ὡς ἐν ἐρωτήσει λεχθησόμενα.

ΘΕΑΙ. Τὰ ποῖα δή;

ΞΕ. Πότερον μήτε τὴν οὐσίαν κινήσει καὶ στάσει προσάπτωμεν μήτε ἄλλο ἄλλῳ μηδὲν[z] μηδενί, ἀλλ' ὡς ἄμικτα ὄντα καὶ ἀδύνατα[a] μεταλαμβάνειν[b] ἀλλήλων οὕτως αὐτὰ ἐν τοῖς παρ' ἡμῖν λόγοις τιθῶμεν;[c] ἢ πάντα εἰς ταὐτὸν ξυνάγωμεν[d] ὡς δυνατὰ ἐπικοινωνεῖν ἀλλήλοις; ἢ τὰ μέν, τὰ δὲ μή; Τούτων, ὦ Θεαίτητε, τί ποτ' ἂν προαιρεῖσθαι τούτους φήσαιμεν;[e]

ΘΕΑΙ. Ἐγὼ μὲν ὑπὲρ αὐτῶν οὐδὲν ἔχω πρὸς ταῦτα ἀποκρίνασθαι.[f] τί οὖν οὐ καθ' ἓν ἀποκρινόμενος[g] ἐφ'[h] ἑκάστου τὰ ξυμβαίνοντα ἐσκέψω;

τὸ 𝔄Δ et pr ΓΠ.—[v] πάσσοφον 𝔄Δ et pr Π: πάνσοφον *ς.—[w] τοῦτ' Γ.—[x] ὁ μόγος γρ ΛΣΒ.—[y] ὅσους Γ.—[z] μηδὲν om Σ.—[a] ἀδύνατον 𝔄ΔΠ.—[b] παραλαμβάνειν —[c] τεθῶμεν Η.—[d] ξυναγάγωμεν ΞΣΥ.—[e] αὐτοὺς προαιρεῖσθαι φήσαιμεν 𝔄ΔΠ.—[f] ἀποκρίνασθαι Λ, ἀποκρίνεσθαι Γ.—[g] ἀποκρινόμενον ς.—[h] ἀφ' ΛΒCΗ.—[i] ὁπότερον

μευμένα τῶν θαυμαστῶν περὶ τὸ ἓν καὶ λλά, συγκεχωρημένα δὲ, ὡς ἔπος εἰπεῖν, ὸ πάντων ἤδη, μὴ δεῖν τοιούτων ἅπτεσι, παιδαριώδη καὶ ῥᾴδια καὶ σφόδρα ῖς λόγοις ἐμπόδια ὑπολαμβανόντων γίγσθαι. Heind.

ἀντιλαβέσθαι] Simplic. ἐπιλαβέσθαι, de Rep. vi. p. 490. D. σοῦ ἐπιλαβονου, ὅτι πᾶς μὲν ἀναγκασθήσεται ὁμογεῖν οἷς λέγομεν etc. Sed idem valet lgatum. Gorg. §. 132. ἐὰν δέ τῳ ἡμῶν μὴ τὰ ὄντα δοκῶ ὁμολογεῖν ἐμαυτῷ, χρὴ ἀντιλαμβάνεσθαι καὶ ἐλέγχειν. Tum male idem Simpl. τὸν μὲν ἀγαθὸν, ibidemque deinde omissum γὰρ et ἐνίοτε, et αὐτὸ illud in verbis τοῦτο αὐτὸ ἀνευρηκέναι. Heind.

§. 78. προσάπτωμεν] *Adjungemus atque aptabimus*, et sic in sequent. Steph. [At Serran. *adjungimus atque aptamus*, quia, illo teste 'προσάπτομεν in præsenti constanter legitur in msto.']

§. 79. ΞΕ. Καλῶς λέγεις, καὶ τιθῶμέν γε αὐτοὺς λέγειν, εἰ βούλει, πρῶτον μηδενὶ μηδὲν μηδεμίαν δύναμιν ἔχειν κοινωνίας εἰς μηδέν. οὐκοῦν κίνησίς τε καὶ στάσις οὐδαμῇ μεθέξετον οὐσίας;

I. 252. ΘΕΑΙ. Οὐ γὰρ οὖν.

II. ii. 203. ΞΕ. Τί δέ; ἔσται πότερον[i] αὐτῶν οὐσίας μὴ προσκοινωνοῦν;[k]

ΘΕΑΙ. Οὐκ ἔσται.

ΞΕ. Ταχὺ δὴ[l] ταύτῃ γε τῇ συνομολογίᾳ πάντα ἀνάστατα[m] γέγονεν, ὡς ἔοικεν, ἅμα τε τῶν τὸ πᾶν κινούντων καὶ τῶν ὡς ἓν ἱστάντων καὶ ὅσοι κατ' εἴδη τὰ ὄντα κατὰ ταὐτὰ ὡσαύτως ἔχοντα εἶναί φασιν ἀεί. πάντες γὰρ οὗτοι[n] τό γε εἶναι προσάπτουσιν, οἱ μὲν ὄντως κινεῖσθαι λέγοντες, οἱ δὲ ὄντως ἑστηκότα[o] εἶναι.

corr ΓΕ.—[k] προσκοινωνεῖν 𝔄ΔΛΞΠΣΥBCEF et pr Γ: προσκοινωνοῦν s.—[l] δὲ F.—[m] ἀναστάντα E, ἀναστάντα F. (στατὰ).—[n] οὗτοι om Λ.—[o] εστηκότ' 𝔄.—[p] ξ. Υ.—[q] ταῦτα

καθ' ἓν ἀποκρινόμενον] Corrigendum existimo :—καθ' ἓν ἀποκρινομένων. *Cur non, respondentibus iis ad singula, ex unoquoque responso quid efficeretur considerasti?* Quam correctionem, cum alia, tum sequens Hospitis responsum, confirmat: καλῶς λέγεις· καὶ τιθῶμέν γε αὐτοὺς λέγειν κ. τ. λ. Tentaverat Stephanus ἀποκρινόμενος: at vero, ut e sequentibus patet, non Hospes respondet, sed ad Hospitis interrogationes philosophi illi, sive, qui eorum vices sustinet, Theætetus. Heusd.

ἀποκρινόμενος] Edd. ἀποκρινόμενον, quod in ἀποκρινομένων mutandum judicavit Heusdius, hoc sensu: *cur non, respondentibus iis ad singula, ex unoquoque responso quid efficeretur, considerasti* (imo *consideras* v. not. ad Charmid. §. 5.) Mutationi speciem quandam conciliant proxima Eleatæ: Καλῶς λέγεις, καὶ τιθῶμέν γε αὐτοὺς λέγειν, εἰ βούλει, πρῶτον etc. At vero qui hucusque pro philosophis illis respondit Theætetus, nunc quum negotio huic jam non parem se esse dixerit (ἐγὼ μὲν ὑπὲρ αὐτῶν οὐδὲν ἔχω πρὸς ταῦτα ἀποκρίνασθαι), quis non expectet, ut ad Eleaten has deferat respondendi partes? Quod his demum verbis faciet τί οὖν οὐ σὺ καθ' ἓν ἀποκρινόμενος ἐφ' ἑκάστου τὰ ξυμβαίνοντα ἐσκέψω; (nam σὺ hoc ad plenum sensum requiri arbitror) non item, si scribatur ἀποκρινομένων. Recepto igitur hoc illorum nomine respondendi negotio, Eleates, τιθῶμέν γε, inquit, αὐτοὺς λέγειν, εἰ βούλει, πρῶτον, μηδενὶ μηδὲν μηδεμίαν δύναμιν ἔχειν κοινωνίας εἰς μηδὲν, eamque illorum responsionem una cum Theæteto deinde examinat. A Stephano commendatum ἀποκρινόμενος confirmat Cod. Par. Heind.

§. 79. μηδενὶ μηδὲν—κοινωνίας εἰς μηδὲν] Dativus μηδενὶ pendet a voc. κοινωνίας.—εἰς μηδὲν est *nulla in re*. Heind.

ἔσται πότερον αὐτῶν] *Num erit alterutrum eorum.* V. not. ad Theætet. §. 8. Male Cod. Par. Τί δὲ ἔσται; πότερον—προσκοινωνεῖν; Heind.

τῶν τὸ πᾶν κινούντων] Eos dicit qui statuebant, ἐκ φορᾶς τε καὶ κινήσεως καὶ κράσεως πρὸς ἄλληλα γίγνεσθαι πάντα—εἶναι γὰρ οὐδέποτ' οὐδὲν, ἀεὶ δὲ γίγνεσθαι, Protagoram, Heraclitum, Empedoclem. Theætet. §. 25. Contra οἱ ὡς ἓν ἱστάντες philosophi Eleatæ sunt, Parmenides imprimis, cui totum fuit Οὖλον, μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀτέλεστον. Simplic. in Arist. Phys. i. p. 31. qui ibid. et p. 19. hos illius versus profert ἐπεὶ τό γε μοῖρ' ἐπέδησεν Οὖλον ἀκίνητόν τ' ἐμέναι, ᾧ (l. τῷ *quocirca*) πάντ' ὄνομ' ἐστὶν

ΘΕΑΙ. Κομιδῆ μὲν οὖν.

ΞΕ. Καὶ μὴν καὶ ὅσοι τοτὲ μὲν ξυντιθέασι[p] τὰ πάντα, τοτὲ δὲ διαιροῦσιν, εἴτε εἰς ἓν καὶ ἐξ ἑνὸς ἄπειρα εἴτε εἰς πέρας ἔχοντα στοιχεῖα διαιρούμενοι καὶ ἐκ τούτων συντιθέντες, ὁμοίως μὲν ἐὰν ἐν μέρει τοῦτο τιθῶσι γιγνόμενον, ὁμοίως δὲ καὶ ἐὰν ἀεί, κατὰ πάντα ταῦτα[q] λέγοιεν ἂν οὐδέν, εἴ περ μηδεμία[r] ἔστι ξύμμιξις.

§. 80. ΘΕΑΙ. Ὀρθῶς.

τὸ ταῦτα ἐάσαντα ὡς δυνατὰ] H. e. ὡς οὐ χαλεπὰ εὑρεῖν. Jungenda enim hæc ὡς δυνατὰ præcedentibus verbis; sequentibus ne jungantur, vetat et multitudinis numerus δυνατὰ et verborum positura, quæ hunc, opinor, in modum posuisset Plato: τοῖς λεγομένοις, ὡς δυνατὸν (quantum potest), οἷόντ' εἶναι. Verba τοῖς λεγομένοις explicantur sequentibus, ὅταν τέ τις ἕτερ.—φῇ etc. illa autem ἐκείνῃ καὶ κατ' ἐκεῖνο pertinent ad prægressa ἐλέγχοντα ἐπακολουθεῖν. Porro πῃ jungendum cum ταυτὸν, idemque mox intelligendum ad ἕτερον. Hoc igitur dicit Plato: philosophi esse, si quis, quod aliud est, id certa quadam ratione (πῃ, non ἀμηγέπῃ) idem esse, et si, quod idem est, id aliud esse dicat, hæc singulatim exquirere et expendere posse ea ratione atque ejus rei respectu, quam horum utrique accidisse ille dicat. Velut quod aliud (ἕτερον) est, id demonstratum est etiam ταυτὸν esse, quatenus unumquodque est αὐτὸ ἑαυτῷ ταυτὸν (§. 86.) seu quatenus quidque μετέχει ταυτοῦ (§. 89.). Idem rursus ταυτὸν, quatenus diversum est ab eo quod est, a motu, a statu etc. ἕτερον est. Hoc igitur μετέχειν ταυτοῦ vel τοῦ ἑτέρου est id quod accidit τῷ ἑτέρῳ vel ταυτῷ, (ὃ πέπονθε τούτων πότερον). Ita porro, uti paullo ante docuit, τὸ ἕτερον quatenus particeps est τοῦ ὄντος (μετασχὸν τοῦ ὄντος), ipsum quoque est ὄν; quatenus autem diversum est ab eo quod est (ἕτερον τοῦ ὄντος αὐτοῦ), rursus est μὴ ὄν. Jam non audies Cornarium hæc, ἐκείνῃ καὶ κατ' ἐκεῖνο ὅ φησι τούτῳ (sic enim in Edd. legitur) πεπονθέναι πότερον, in totum, ut ait, eximentem, velut quæ expositionis vice in margine adscripta in contextum irrepserint et etiam sic corrupta sint nec certam sententiam exhibeant. Pro τούτῳ nostrum τούτων dedit Cod. Par. idem exhibens πότερον (*utrumvis*), cujus loco e glossemate, opinor, Bas. 2. τὸ ἕτερον habet. Cf. §. 79. init. Ficinus loci hujus sensum adeo non est assecutus, ut interpretationem ejus apponere pigeat. HEIND.

ὡς δυνατὰ, κ. τ. λ.] Quemadmodum Ficinus hunc locum implicitum legerit, equidem omni ex parte decernere non ausim, multum enim ac multum ejus versio a verbis, quæ hodie leguntur, recedit. Vertit vero: *Quod et supra dictum est, ut his tanquam levibus omissis, ea quæ eadem plane sunt, redarguere unaquaque in re possis: sive quod alterum est idem, sive quod idem, alterum atque id eadem utrumque ratione esse convincens.* Sed quum non alium præter textus verba perturbata viæ habeamus ducem, periculum est faciendum, quo modo his auspiciis rem geramus. Forte legendum: ὡς τὰ αὐτὰ (pro δυνατὰ) τοῖς λεγομένοις, οἷόν τ' εἶναι—ἐκεῖνο, ὅ φησιν ταὐτὸ (pro τούτῳ) πεπονθέναι πότερον f. θάτερον. FAEHSE.

πότερον] Pro πότερον legitur etiam τὸ ἕτερον. Affertur autem et alia hujus loci totius lectio, καὶ ὅταν ταυτὸν ὂν, ἕτερον. τὸ δὲ ταυτὸν, ἕτερον ἀποφαίνειν, etc. absque illis quæ hic interjecta sunt, ex quibus certe, ut scripta sunt, sensus elici non posse videtur. STEPH.

ΘΕΑΙ. Κομιδῇ μὲν οὖν.

§. 97. ΞΕ. Καὶ γάρ, ὦ 'γαθέ, τό γε[u] πᾶν ἀπὸ παντὸς ἐπιχειρεῖν ἀποχωρίζειν ἄλλως τε[v] οὐκ ἐμμελὲς καὶ δὴ καὶ παντάπασιν ἀμούσου τινὸς καὶ ἀφιλοσόφου.

ΘΕΑΙ. Τί δή;

ΞΕ. Τελεωτάτη[w] πάντων λόγων ἐστὶν ἀφάνισις τὸ διαλύειν ἕκαστον ἀπὸ πάντων· διὰ γὰρ τὴν ἀλλήλων τῶν εἰδῶν συμπλοκὴν ὁ λόγος γέγονεν ἡμῖν.

ΘΕΑΙ. Ἀληθῆ.

ΞΕ. Σκόπει τοίνυν ὡς ἐν καιρῷ νῦν δὴ[x] τοῖς τοιούτοις I. 260. II. ii. 222.
διεμαχόμεθα[y] καὶ προσηναγκάζομεν ἐᾶν ἕτερον ἑτέρῳ μίγνυσθαι.

ΘΕΑΙ. Πρὸς δὴ τί;[z]

ΞΕ. Πρὸς τὸ[a] τὸν[b] λόγον ἡμῖν τῶν ὄντων ἕν τι γενῶν εἶναι. τούτου γὰρ στερηθέντες τὸ μὲν μέγιστον φιλοσοφίας ἂν στερηθεῖμεν, ἔτι δ' ἐν τῷ παρόντι δεῖ λόγον[c] ἡμᾶς διομολογήσασθαι τί ποτ' ἐστίν, εἰ δὲ ἀφῃρέθημεν αὐτὸ[d] μηδ'[e] εἶναι τὸ παράπαν, οὐδὲν ἂν ἔτι που λέγειν οἷοί τ' ἦμεν.[f] ἀφῃρέθημεν δ' ἄν, εἰ συνεχωρήσαμεν μηδεμίαν εἶναι μῖξιν[g] μηδενὶ πρὸς μηδέν.

§. 98. ΘΕΑΙ. Ὀρθῶς τοῦτό γε. λόγον δὲ διότι νῦν διομολογητέον οὐκ ἔμαθον.

ΞΕ. Ἀλλ' ἴσως τῇδ' ἑπόμενος ῥᾷστ' ἂν[h] μάθοις.

ΞΣΥ.—[t] ὤν om pr Π.—[u] τε Λ.—[v] τέ γε Η.—[w] τελεώτατος Γ.—[x] νῦν δὴ 𝔄ΓΔΛΞΠ ΣΥΒCΗ : δὴ νῦν *ς.—[y] διαμαχόμεθα ΣΥ.—[z] τί δὴ Ξ.—[a] τὸ om ΛF et pr Ε.—[b] τὸν om 𝔄ΓΥ et pr ΣΒ.—[c] λόγου ΕF.—[d] αὖ τὸ Ξ.—[e] μηδὲν 𝔄ΔΠ.—[f] εἶμεν ΣΥ.—

§. 97. τῶν ὄντων] Excidisse in his πολλῶν suspicatus est Heusdius, legendumque τῶν πολλῶν ὄντων ἕν τι γ. velut supra §. 94. dicitur τὸ μὴ ὂν—ἐνάριθμον τῶν πολλῶν ὄντων εἶδος ἕν. Alius suspicetur, τῶν ὄντων ἕν τι γένος εἶν. ut §. 93. Ἄλλο τι τῶν ὄντων τινὸς ἑνὸς γένους ἀφορισθὲν καὶ πρός τι τῶν ὄντων αὖ πάλιν ἀντιτεθέν, οὕτω ξυμβέβηκεν εἶναι τὸ μὴ καλόν; Mihi quidem integra hæc prorsus videntur, dicique τὰ ὄντα γένη *genera ea quæ sunt revera*; quemadmodum demonstratum est τὸ μὴ ὂν esse ὄν τι γένος seu ὄντως ὄν. Heind.

εἰ δὲ ἀφῃρέθημεν] Si legeremus εἰ δὲ ἀφῃρέθημεν αὐτὸ μηδ' εἶναι ἐᾶν τοπαράπαν, structuræ plane eadem esset ratio, quæ in Soph. Philoct. 1303. τί μ' ἄνδρα πολέμιον Ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς; Eurip. Tro. 1145. τὸ δεσπότου τάχος Ἀφείλετ' αὐτὴν παῖδα μὴ δοῦναι τάφῳ, et, ubi tamen abest negatio, in ejusdem Hippol. 1218. ὥστ' ἀφῃρέθη Σκείρωνος ἀκτὰς ὄμμα τοὐμὸν εἰσορᾶν. Nunc ut in Sophocleo illo loco nemo hæreret, si pro κτανεῖν poeta θανεῖν scripsisset, ita ne hæc quidem quidquam habent offendiculi, sive post αὐτὸ, ut vulgus facit, ὥστε suppleas, sive in hoc ἀφῃρέθημεν latere putes ἠναγκάσθημεν ὁμολογεῖν, quemadmodum de Rep. v. p. 451. B. in his, ἀφίεμέν σε καθαρὸν εἶναι, vel Philebo p. 50. D. ubi legitur ῥᾴδιον—ἀφεῖναί με μηκέτι ἐπ' ἐκεῖνα ἰόντα δεῖν μηκύνειν τοὺς λόγους, utrobique verbo ἀφιέναι inest notio τοῦ ὁμολογεῖν, εἰπεῖν,

ΘΕΑΙ. Πῇ;

ΞΕ. Τὸ μὲν δὴ μὴ ὂν ἡμῖν ἕν τι τῶν ἄλλων γένος ὂν ἀνεφάνη, κατὰ πάντα τὰ ὄντα διεσπαρμένον.

ΘΕΑΙ. Οὕτως.

ΞΕ. Οὐκοῦν τὸ μετὰ τοῦτο σκεπτέον εἰ δόξῃ τε καὶ λόγῳ μίγνυται.

ΘΕΑΙ. Τί δή;

ΞΕ. Μὴ μιγνυμένου μὲν αὐτοῦ τούτοις ἀναγκαῖον ἀληθῆ πάντ' εἶναι, μιγνυμένου δὲ δόξα[i] τε ψευδὴς γίγνεται
II. ii. 223. καὶ λόγος· τὸ γὰρ τὰ[j] μὴ ὄντα δοξάζειν ἢ λέγειν, τοῦτ' ἐστί που τὸ ψεῦδος ἐν διανοίᾳ τε καὶ λόγοις γιγνόμενον.

ΘΕΑΙ. Οὕτως.

ΞΕ. Ὄντος δέ γε ψεύδους ἔστιν ἀπάτη.

ΘΕΑΙ. Ναί.

ΞΕ. Καὶ μὴν ἀπάτης οὔσης εἰδώλων τε καὶ εἰκόνων ἤδη[k] καὶ φαντασίας πάντα ἀνάγκη μεστὰ[l] εἶναι.

ΘΕΑΙ. Πῶς γὰρ οὔ;

ΞΕ. Τὸν δέ γε[m] σοφιστὴν ἔφαμεν ἐν τούτῳ που τῷ τόπῳ καταπεφευγέναι μέν, ἔξαρνον δὲ γεγονέναι τὸ παράπαν μηδ' εἶναι ψεῦδος· τὸ γὰρ μὴ ὂν οὔτε διανοεῖσθαί τινα οὔτε λέγειν· οὐσίας γὰρ οὐδὲν οὐδαμῇ τὸ μὴ ὂν μετέχειν.[n]

ΘΕΑΙ. Ἦν ταῦτα.

§. 99. ΞΕ. Νῦν δέ γε τοῦτο μὲν ἐφάνη μετέχον τοῦ ὄντος, ὥστε ταύτῃ μὲν ἴσως οὐκ ἂν μάχοιτο ἔτι· τάχα δ'

θε
g μεξιν H.—h ὂν add 𝔄ΔΠ.—i δόξα...τοῦτ' om Σ.—j τὰ om Υ.—k εἴδη ΛΣ et pr Υ.—l μετὰ H.—m γε om 𝔄Δ et pr Π.—n μετέχειν τὸ μὴ ὂν ΞΣΥ.—o εἰδωλοποιϊκὴν

unde constructionis forma explicari potest. Heind.

§. 98. τὸ μὲν δὴ κ. τ. λ.] Excerpsit hunc locum in Ecl. Eth. c. 12. p. 142. Stobæus: sed legitur in ejus libris, οὕτως—γίνεται—οὕτως—ἅπαντα—. Fisch.

ἕν τι τῶν ἄλλων γένος] Prorsus ut Eurip. Med. 940.—καὶ πείσειν γε δοξάζω σφ' ἐγὼ (i. e. γυναῖκα τὴν ἐμὴν), Εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία, h. e. εἴπερ τοιαύτη ἐστὶ γυνὴ οἷαί εἰσιν αἱ ἄλλαι. Ex dispari genere sunt quæ notavi ad Phædon. §. 137. Heind.

καταπεφευγέναι] H. e. λεληθέναι καταφυγόντα. Xenoph. Hellen. iv. 5. 5. οἱ δὲ ἐν τῷ Ἡραίῳ καταπεφευγότες ἐξῄεσαν, ubi præcessit, ἐς δὲ τὸ Ἥραιον κατέφυγον καὶ ἄνδρες etc. Non enim hanc verbi structuram nisi in perfecto tempore reperiri arbitror, similiter ut βεβηκέναι ἐπί τινος, ἔν τινι dicitur (Xenoph. Œcon. viii. 17. βεβηκυίας τῆς οἰκίας ἐν δαπέδῳ), βῆναι ἔν τινι non item; neque huc traxerim illud e Xenoph. Cyrop. v. 4. 15. ἀπιὼν ὁ Ἀσσύριος ἐκ τῆς ἑαυτοῦ πόλεως, οὗ δὴ κατέφυγε, συντυγχάνει etc. ubi nisi οἷ scribere malis, eadem ibi ratio obtinebat, quæ Phædonis loco illo §. 131. Ἀφικομένην δὲ ὅθιπερ αἱ ἄλλαι, ubi vid. not. itemque Anab. vi. 1. 16. ἡμεῖς μὲν γὰρ ἀποδραίημεν ἂν οὐδαμοῦ ἐνθένδε.—De re ipsa vid. §. 55. Heind.

ἂν φαίη τῶν εἰδῶν τὰ μὲν μετέχειν τοῦ μὴ ὄντος, τὰ δ' οὔ, καὶ λόγον δὴ καὶ δόξαν εἶναι τῶν οὐ μετεχόντων. ὥστε τὴν εἰδωλοποιικὴν[o] καὶ φανταστικήν, ἐν ᾗ φαμὲν αὐτὸν[p] εἶναι, διαμάχοιτ' ἂν πάλιν ὡς[q] παντάπασιν οὐκ ἔστιν, ἐπειδὴ δόξα καὶ λόγος οὐ κοινωνεῖ τοῦ μὴ ὄντος· ψεῦδος γὰρ τὸ παράπαν[r] οὐκ εἶναι ταύτης μὴ συνισταμένης τῆς κοινωνίας. διὰ ταῦτ' οὖν λόγον[s] πρῶτον καὶ δόξαν καὶ φαντασίαν διε- II. ii. 224.
ρευνητέον ὅ τί ποτ' ἔστιν, ἵνα φανέντων καὶ τὴν κοινωνίαν αὐτῶν[t] τῷ μὴ ὄντι κατίδωμεν, κατιδόντες δὲ τὸ ψεῦδος ὂν I. 261.
ἀποδείξωμεν,[u] ἀποδείξαντες[v] δὲ τὸν σοφιστὴν εἰς αὐτὸ[w] ἐνδήσωμεν, εἴ περ ἔνοχός ἐστιν, ἢ καὶ ἀπολύσαντες ἐν ἄλλῳ γένει ζητῶμεν.

§. 100. ΘΕΑΙ. Κομιδῇ γε,[x] ὦ ξένε, ἔοικεν ἀληθὲς εἶναι τὸ περὶ τὸν σοφιστὴν κατ' ἀρχὰς λεχθέν, ὅτι δυσθήρευτον[y] εἴη τὸ γένος. φαίνεται γὰρ οὖν προβλημάτων γέμειν, ὧν ἐπειδάν τι προβάλῃ,[z] τοῦτο[a] πρότερον ἀναγκαῖον διαμάχεσθαι πρὶν ἐπ' αὐτὸν ἐκεῖνον ἀφικέσθαι. νῦν γὰρ μόγις μὲν τὸ μὴ ὂν ὡς οὐκ ἔστι προβληθὲν διεπεράσαμεν, ἕτερον δὲ προβέβληται, καὶ δεῖ δὴ ψεῦδος ὡς ἔστι καὶ περὶ λόγον καὶ περὶ δόξαν ἀποδεῖξαι, καὶ μετὰ τοῦτο ἴσως ἕτερον, καὶ ἔτ' ἄλλο μετ' ἐκεῖνο· καὶ πέρας,[b] ὡς ἔοικεν, οὐδὲν φανήσεταί ποτε.

ΞΕ. Θαῤῥεῖν, ὦ Θεαίτητε, χρὴ τὸν καὶ σμικρόν τι δυνάμενον εἰς τὸ πρόσθεν ἀεὶ προϊέναι. τί γὰρ ὅ γ' ἀθυμῶν[c] ἐν τούτοις δράσειεν[d] ἂν ἐν[e] ἄλλοις,[f] ἢ μηδὲν ἐν ἐκείνοις ἀνύ-

ℨΓΔΛΠΒCΗ : εἰδωλοποιητικὴν *ς.—[p] αὐτῶν ℨ.—[q] ὥς τε ΣΥ.—[r] . τὸ γὰρ παράπαν ℨΔ et pr Π.—[s] λογῷ Δ.—[t] αὐτῶι Π.—[u] ἀποδιώξωμεν ΣΥ.—[v] ἀποδείξαντες...ἐνδήσωμεν om Σ.—[w] αὐτὸ Ξ : αὐτὸν *ς.—[x] δέ γε ℨΔΠ, δὲ Γ.—[y] δυσθήρευτον ℨΓΔΛΠ ΒCEFΗ : δυσθήρατον *ς.—[z] προβάλλῃ Ξ.—[a] τοῦτο (ω over ο) Ε, τούτῳ Ξ.—[b] καίπερ Λ.— [c] ὅ ἰωθυμῶν, in mg ὁ ἀθυμῶν, Η.—[d] δράσεις Γ.—[e] ἐν om Π.—[f] ἀλλήλοις Σ.—

§. 99. ἐν ᾗ φαμὲν αὐτὸν εἶναι] Ut ἐν φιλοσοφίᾳ τις εἶναι dicitur Phædon. §. 5. ubi vid. not. Minus recte Ficin. *in qua illum locavimus*. Heind.

τὴν κοινωνίαν—τῷ μὴ ὄντι] Cf. §. 80. ἂν πάντα ἀλλήλοις ἐῶμεν δύναμιν ἔχειν ἐπικοινωνίας. §. 91. ἐπείπερ ἔχει κοινωνίαν ἀλλήλοις ἡ τῶν γενῶν φύσις. Ut dicitur §. 85. κοινωνεῖν ἀλλήλοις et τοῖς πᾶσι κεκοινωνηκέναι. Heind.

τὸ ψεῦδος] Fic. *Falsum esse aliquid ostendamus:* tanquam legens τὶ ψεῦδος. Idem legit, εἰς αὐτό. atque ita scribendum videtur: aut certe εἰς ταυτόν. Steph.

τὸν σοφιστὴν] Bas. 2. αὐτὸν σοφιστήν, unde fecerim αὐ τὸν σοφ. Pro αὐτὸ Edd. errore manifesto αὐτόν. Heind.

§. 100. Τί γὰρ ὅ γ' ἀθυμῶν—ἐν ἄλλοις, ἢ μηδὲν—ἀπωσθείς;] *Quid enim, qui in his animum despondet, in aliis*

των[g] ἢ καὶ πάλιν εἰς τοὔπισθεν ἀπωσθείς; σχολῇ που, τὸ
κατὰ τὴν παροιμίαν λεγόμενον, ὅ γε τοιοῦτος ἄν ποτε[h]
II. ii. 225. ἕλοι πόλιν. νῦν δ' ἐπεί, ὦ 'γαθέ, τοῦτο ὃ λέγεις διαπεπέρανται,[i] τό τοι μέγιστον ἡμῖν τεῖχος ᾑρημένον[j] ἂν εἴη, τὰ δ' ἄλλα ἤδη ῥᾴω καὶ σμικρότερα.

ΘΕΑΙ. Καλῶς εἶπες.[k]

§. 101. ΞΕ. Λόγον δὴ[l] πρῶτον καὶ δόξαν, καθά περ ἐῤῥήθη νῦν δή, λάβωμεν,[m] ἵν'[n] ἐναργέστερον ἀπολογισώμεθα,[o] πότερον αὐτῶν ἅπτεται τὸ μὴ ὂν ἢ παντάπασιν ἀληθῆ μέν ἐστιν ἀμφότερα ταῦτα, ψεῦδος δὲ οὐδέποτε οὐδέτερον.

ΘΕΑΙ. Ὀρθῶς.

ΞΕ. Φέρε δή, καθά περ[p] ἐπὶ τῶν εἰδῶν καὶ τῶν γραμμάτων ἐλέγομεν, περὶ τῶν ὀνομάτων πάλιν ὡσαύτως ἐπισκεψώμεθα·[q] φαίνεται γάρ πῃ ταύτῃ τὸ νῦν ζητούμενον.

ΘΕΑΙ. Τὸ ποῖον οὖν δὴ περὶ τῶν ὀνομάτων ὑπακουστέον;

ΞΕ. Εἴτε πάντα ἀλλήλοις ξυναρμόττει[r] εἴτε μηδὲν εἴτε τὰ μὲν ἐθέλει,[s] τὰ δὲ μή.

ΘΕΑΙ. Δῆλον τοῦτό γε,[t] ὅτι τὰ μὲν ἐθέλει, τὰ δ' οὔ.

ΞΕ. Τὸ τοιόνδε λέγεις ἴσως, ὅτι[u] τὰ μὲν ἐφεξῆς λεγό-

[g] ἀνύτων ΓΛΠΣΥΒCEH, ἀνύτω 𝔄Δ : ἀνύττων ς.—[h] ἄν ποτε om ΓΛBCEFH.—[i] διαπεπέραται F.—[j] εἰρημένον H.—[k] εἶπας Ξ.—[l] δὲ F.—[m] δὴ λάβωμεν ΓΔΛΠBCEFH et γρ Ξ, δὲ λάβωμεν 𝔄 : διαλάβωμεν *ς.—[n] ἵν' Γ.—[o] ἀπολογισώμεθα Heindorfius : libri ἀπολογησώμεθα.—[p] περὶ 𝔄ΔΠ et γρ Λ.—[q] ἐπισκεψαίμεθα H.—[r] ξυναρμόττειν 𝔄ΓΔΠΣΥBCFH.—[s] ἐθέλειν Δ.—[t] γε om Λ.—[u] ὅτι om Π.—[v] τοι Ξ, om Δ.—[w] αὐ-

faciat (h. e. quantum concidet animo), *quando in illis aut nihil perficiet aut etiam retro repulsus fuerit?* Sic aptius hæc mihi cum Schleiermachero visa sunt conjungi, quam si, quæ vulgata est interpunctio, subsequentibus verbis jungantur hæc, *ἢ μηδὲν ἐν ἐκείνοις ἀνύττων ἢ καὶ πάλιν—ἀπωσθείς*. Heind.

τί γὰρ ὅ γ' ἀθυμῶν ἐν τούτοις, δράσειεν ἂν ἐν ἄλλοις;] Ficinus: *Quomodo enim qui in istis hæsitet, in aliis audeat unquam?* *θαῤῥήσειεν* pro *δράσειεν* et *τῷ ἀθυμῶν* atque perpetuitati metaphoræ et versioni Ficini melius convenire videtur, quamquam vulgatum non plane damnaverim. Faehse.

ἀνύττων] Imo *ἀνύτων* vel potius *ἀνύτων*. V. Porson. ad Eurip. Phœn. 463. Proverbio, *σχολῇ—ὅ γε τοιοῦτος ἄν ποτε ἕλοι πόλιν*, quod nescio an alibi legatur, Erasmus in Adagg. iv. p. 941. comparat illud *ἀθυμοῦντες ἄνδρες οὔπω τρόπαιον ἔστησαν*. Heind.

§. 101. *ἀπολογισώμεθα*] Sic mutavi, quod inaudito significatu h. l. positum exhibent Edd. *ἀπολογησώμεθα*. *ἀπολογίζεσθαι* h. l. est *rem accurate et quasi ratione inita expendere*. Heind.

φέρε δὴ] Hunc locum habet Stobæus Ecl. Eth. c. 79. p. 470. s. sed in libris ejus est *περὶ τῶν εἰδῶν*· Gesner. tamen in margine adscripsit *ἐπί*. Fisch.

φανεῖται] Quamvis, quod in Edd. legitur, *φαίνεται* Ficinus quoque legerit vertens, *videtur enim quod nunc quæritur, ita sese habere*, sensus tamen *φανεῖται* flagitat, cum illo itidem permutatum §. 63. extr. Et cf. §. 76. Heind.

μενα καὶ δηλοῦντά τι ξυναρμόττει, τὰ δὲ τῇ συνεχείᾳ μηδὲν σημαίνοντα ἀναρμοστεῖ.

§. 102. ΘΕΑΙ. Πῶς τί[v] τοῦτ' εἶπες;

ΞΕ. Ὅ περ ᾠήθην ὑπολαβόντα σε προσομολογεῖν. ἔστι γὰρ ἡμῖν που τῶν τῇ φωνῇ περὶ τὴν οὐσίαν δηλωμάτων II. ii. 226.
διττὸν γένος.

ΘΕΑΙ. Πῶς;

ΞΕ. Τὸ μὲν ὀνόματα, τὸ δὲ ῥήματα κληθέν. I. 262.

ΘΕΑΙ. Εἰπὲ ἑκάτερον.

ΞΕ. Τὸ μὲν ἐπὶ ταῖς πράξεσιν ὂν δήλωμα ῥῆμά που λέγομεν.

ΘΕΑΙ. Ναί.

ΞΕ. Τὸ δέ γ' ἐπ' αὐτοῖς[w] τοῖς[x] ἐκεῖνα[y] πράττουσι σημεῖον τῆς φωνῆς ἐπιτεθὲν ὄνομα.[z]

ΘΕΑΙ. Κομιδῇ μὲν οὖν.

ΞΕ. Οὐκοῦν ἐξ ὀνομάτων μὲν μόνων συνεχῶς λεγομένων οὐκ ἔστι ποτὲ λόγος, οὐδ' αὖ ῥημάτων χωρὶς ὀνομάτων λεχθέντων.

οὖ C.—[x] τοῖς add ꝞΔΞΠCH et rc E.—[y] ἐκεῖνά γε rc Π.—[z] ὄνομα τῶν H.—

συνεχείᾳ] Stob. συντυχίᾳ· in marg. συνεχείᾳ. Fisch.

§. 102. πῶς τί τοῦτ' εἶπες] For. πῶς; τί τοῦτ' εἶπες; alioqui scribendum esset πῶς τοῦτ' εἶπες; absque τί. Steph.

πῶς τί τοῦτ' εἶπες;] Bas. 2. πῶς; τί τοῦτ' εἶπ. uti distingui volebat Steph. Sic junctim scribenda hæc docui ad Hipp. Maj. §. 40. in quibus coartata est Græco more duplex interrogatio; πῶς τοῦτο εἶπες; et τί τοῦτο εἶπες; Heind.

ὅπερ ᾠήθην ὑπολαβ.] Accus. ὅπερ ad ὑπολαβόντα pertinet: *quod intelligere te putavi quum assentirere.* Assensus erat verbis Δῆλον τοῦτό γε, ὅτι τὰ μὲν ἐθέλει, τὰ δὲ μή. Heind.

τῶν τῇ φωνῇ—δηλωμάτων] V. not. ad Cratyl. §. 85. Heind.

ἐπ' αὖ τοῖς ἐκεῖνα] Libri editi ἐπ' αὐτοῖς habent, cui addi debuit art. τοῖς, quanquam ne hoc ipsum quidem ἐπ' αὐτοῖς τοῖς—πράττουσι satis his foret accommodum. Aptissimum contra est αὖ, ut §. 6. Οὐκοῦν καὶ πάλιν ὅταν λέγηται λέων ἔλαφος ἵππος, ὅσα τε ὀνόματα τῶν τὰς πράξεις αὖ πραττόντων ὠνομάσθη. Sic autem collocatæ particulæ non desunt exempla. Politic. p. 302. D. Ἐκ μὲν τῆς μοναρχίας βασιλικὴν καὶ τυραννικήν, ἐκ δ' αὖ τῶν μὴ πολλῶν τήν τε εὐώνυμον ἔφαμεν ἀριστοκρατίαν καὶ ὀλιγαρχίαν· ἐκ δ' αὖ τῶν πολλῶν τότε μεν ἁπλῆν ἐπονομάζοντες ἐτίθεμεν δημοκρατίαν etc. Phædon. §. 42.—δύο γενέσεις, ἀπὸ μὲν τοῦ ἑτέρου ἐπὶ τὸ ἕτερον, ἀπὸ δ' αὖ τοῦ ἑτέρου πάλιν ἐπὶ τὸ ἕτερον. Xenoph. Mem. Socr. iii. 1. 8. ἵνα ὑπὸ μὲν τῶν ἄγωνται, ὑπὸ δὲ αὖ τῶν ὠθῶνται. Hoc in genere sæpius peccatum est, ut Theætet. §. 94. extr. φευξόμεθα παρ' αὐτοὺς ἀπ' αὐτῶν καὶ τὰ ἀκίνητα κινούντων, ubi scr. ἀπ' αὖ τῶν, et de Rep. ix. p. 577. B. παραγεγονότος ἔν τε τοῖς κατ' οἰκίαν πράξεσι—καὶ ἐν αὐτοῖς δημοσίοις κινδύνοις, ubi recte Ficinus expressit ἐν αὖ τοῖς: *rursusque popularibus in periculis.* Heind.

ἐκεῖνα] Stob. ἐκείνας. recte. nam paulo inferius est τῶν τὰς πράξεις αὖ πραττόντων. Sed altera quoque scriptura ferri potest. Fisch.

Pro ἐκεῖνα quod præbet Stob. ἐκείνας, non aliunde firmatum recipere dubitavi, quum nihil sit hac generis mutatione in libris veterum frequentius. Heind.

ΘΕΑΙ. Ταῦτ' οὐκ ἔμαθον.

ΞΕ. Δῆλον γὰρ ὡς πρὸς ἕτερόν τι βλέπων[a] ἄρτι ξυνωμολόγεις,[b] ἐπεὶ τοῦτ' αὐτὸ ἐβουλόμην εἰπεῖν, ὅτι συνεχῶς ὧδε λεγόμενα ταῦτα οὐκ ἔστι λόγος.

ΘΕΑΙ. Πῶς;

ΞΕ. Οἷον βαδίζει τρέχει καθεύδει καὶ τἆλλα ὅσα πράξεις σημαίνει ῥήματα, κἂν[c] πάντα τις ἐφεξῆς αὔτ'[d] εἴπῃ, λόγον οὐδέν τι μᾶλλον ἀπεργάζεται.

§. 103. ΘΕΑΙ. Πῶς γάρ;

ΞΕ. Οὐκοῦν καὶ[e] πάλιν ὅταν[f] λέγηται λέων ἔλαφος
II. ii. 227. ἵππος, ὅσα τε[g] ὀνόματα τῶν τὰς πράξεις αὖ πραττόντων ὠνομάσθη,[h] καὶ κατὰ ταύτην δὴ τὴν συνέχειαν οὐδείς πω ξυνέστη[i] λόγος· οὐδεμίαν γὰρ οὔτε οὕτως οὔτ' ἐκείνως πρᾶξιν οὐδ' ἀπραξίαν οὐδὲ οὐσίαν ὄντος[j] οὐδὲ μὴ ὄντος δηλοῖ τὰ φωνηθέντα, πρὶν ἄν τις τοῖς ὀνόμασι τὰ ῥήματα κεράσῃ. τότε δ'[k] ἥρμοσέ τε καὶ λόγος ἐγένετο εὐθὺς ἡ[l] πρώτη συμπλοκή, σχεδὸν τῶν λόγων ὁ πρῶτος καὶ[m] σμικρότατος.

ΘΕΑΙ. Πῶς ἄρ' ὧδε λέγεις;

ΞΕ. Ὅταν εἴπῃ τις, ἄνθρωπος μανθάνει, λόγον εἶναι φῂς τοῦτον ἐλάχιστόν τε καὶ πρῶτον;

ΘΕΑΙ. Ἔγωγε.

ΞΕ. Δηλοῖ γὰρ ἤδη που τότε περὶ τῶν ὄντων ἢ γιγνομένων ἢ γεγονότων ἢ μελλόντων, καὶ οὐκ ὀνομάζει μόνον, ἀλλά τι περαίνει, συμπλέκων[n] τὰ ῥήματα τοῖς ὀνόμασι. διὸ λέγειν τε καὶ[o] αὐτὸν ἀλλ' οὐ μόνον ὀνομάζειν εἴπομεν,[p]

[a] βλέπεις Υ.—[b] ξυνομολογεῖς ℭΔΠ.—[c] καὶ Η.—[d] αὔτ' ΔΠ.—[e] καὶ om F.—[f] ὅταν om Δ et pr Π.—[g] τε om pr Π.—[h] ὀνομασθῇ ℭΞΣΥ.—[i] ξυνέστη ΓΛΞΠΣΥBCH, ξυνέξη Δ: συνέστη ς.—[j] ὄντως Γ.—[k] δὴ ς.—[l] καὶ ἡ rc F.—[m] πρῶτος καὶ ℭΔ et pr Π, πρῶτός τε καὶ rc Π: πρῶτος εἰ καὶ *ς.—[n] περ καὶ συμπλ. ℭΔΠ.—[o] καὶ ὀνο-

αὔτ' εἴπῃ] Vulgo *αὖ τ' εἴπῃ*. Stob. *αὐτὰ*, unde vulgatum correxi. Heind.

§. 103. *ὅσα τε ὀνόματα—ὠνομάσθη*] *Quotquot vocabula dicta s. posita sunt et in usum recepta.* Heind.

φωνηθέντα] Stob. *φωνήεντα*· marg. *φωνηθέντα*. Fisch.

τότε δὲ ἥρμοσε] Sic Stob. cum Ficino: *tunc vero primum conveniunt.* Vulgo *τότε δή*. De aoristi hoc usu imprimis ubi, ut h. l. duo verba conjunguntur, vid. notata ad Phædon. §. 49.—In proximis Theæteti verbis etsi sermo sic potest resolvi, *πῶς ἄρα λέγεις ὧδε λέγων*; insolitum tamen Platoni in hac formula est hoc *ὧδε*. Expectaverit quisque *πῶς ἄρα τόδε λέγεις*; Heind.

λέγειν τε καὶ] For. *λέγειν γε καί*. Steph.

καὶ δὴ καὶ[q] τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐφθεγξάμεθα λόγον.

§. 104. ΘΕΑΙ. Ὀρθῶς.

ΞΕ. Οὕτω δὴ καθά περ τὰ πράγματα τὰ[r] μὲν ἀλλήλοις ἥρμοττε,[s] τὰ δ' οὔ, καὶ περὶ τὰ τῆς φωνῆς αὖ σημεῖα τὰ μὲν οὐχ ἁρμόττει, τὰ δὲ ἁρμόττοντα αὐτῶν λόγον[t] ἀπειργάσατο.

ΘΕΑΙ. Παντάπασι μὲν οὖν. II. ii. 228.

ΞΕ. Ἔτι δὴ[u] σμικρὸν τόδε.

ΘΕΑΙ. Τὸ ποῖον;

ΞΕ. Λόγον ἀναγκαῖον, ὅταν περ ᾖ, τινὸς εἶναι λόγον, μὴ δέ τινος ἀδύνατον.

ΘΕΑΙ. Οὕτως.

ΞΕ. Οὐκοῦν καὶ ποιόν τινα αὐτὸν εἶναι δεῖ;

ΘΕΑΙ. Πῶς δ' οὔ;

ΞΕ. Προσέχωμεν δὴ τὸν νοῦν ἡμῖν αὐτοῖς.

ΘΕΑΙ. Δεῖ γοῦν.

ΞΕ. Λέξω τοίνυν σοι λόγον, συνθεὶς πρᾶγμα πράξει δι' ὀνόματος καὶ ῥήματος· ὅτου δ' ἂν ὁ λόγος ᾖ, σύ μοι φράζειν.[v]

μάζειν CH et rc ΣB, om Ξ.—[p] εἴπομεν Stobæus: libri εἴπομεν.—[q] καὶ post δὴ add 𝔄ΔΠ.—[r] τὰ ante μὲν om 𝔄ΔΠ.—[s] ἁρμόττει Ξ et corr Π.—[t] λόγον om ΔΠ.—[u] δὴ

διὸ λέγειν τε αὐτὸν] Hæc in Edd. ita leguntur: διὸ λέγειν τε καὶ αὐτὸν—εἴποιμεν, καὶ δὴ τῷ πλέγμ. in quibus importune locatum prius καὶ reposui post καὶ δὴ, auctore Stobæo, apud quem scriptum καὶ δὴ καὶ τῷ πλ., atque corruptum εἴποιμεν ex eod. Stob. et Bas. 2. mutavi in εἴπομεν, *dicere solemus*, ut subsequitur ἐφθεγξάμεθα. Supra §. 1. ὅς φησιν, ἄλλους τε θεοὺς—καὶ δὴ καὶ τὸν ξένιον—ξυνοπαδὸν γιγνόμενον—καθορᾶν. Ion. p. 530. B. ἀναγκαῖον—ἔν τε ἄλλοις ποιηταῖς διατρίβειν πολλοῖς καὶ ἀγαθοῖς, καὶ δὴ καὶ μάλιστα ἐν Ὁμήρῳ. Quanquam rem singulæ fere scriptorum paginæ testantur. Heind.

ἐφθεγξάμεθα] Stob. ἐπεφθεγξάμεθα. Ut Phileb. p. 18. D. μίαν ἐπ' αὐτοῖς ὡς οὖσαν γραμματικὴν τέχνην ἐπεφθέγξατο προσειπών. Heind.

§. 104. οὕτω δὴ—καὶ περὶ τὰ] Variandæ orationis causa interpositum hoc περὶ, ita ut post hæc οὕτω δὴ—καὶ περὶ τὰ—σημεῖα suppleri queat ἔχει, similiter cum alibi infertur, tum Menon. p. 72. C. Οὕτω δὴ καὶ περὶ τῶν ἀρετῶν, κἂν εἰ πολλαὶ καὶ παντοδαπαί εἰσιν, ἕν γέ τι εἶδος ταυτὸν ἅπασαι ἔχουσι. Heind.

ἔτι δὴ σμικρὸν τόδε] Sc. ἴδωμεν, quod subaudiendum, non inserendum. de Legg. ii. 655. B. Ἔτι δὲ τόδε· πότερον ἅπαντες πάσαις χορείαις ὁμοίως χαίρομεν, ἢ πολλοῦ δεῖ; Xenoph. Hellen. vii. 1. 4. Ἔτι δὲ καὶ τόδε· οὐδαμόθεν ἂν τριήρεις πλείους ἀθρόαι ἐκπλεύσειαν ἢ παρ' ὑμῶν. Similiterque Politic. p. 306. A. Οὐκ ἔμαθον. Ξ. Ἀλλ' ὧδε πάλιν· ἀνδρίαν γὰρ οἶμαί σε ἡγεῖσθαι μέρος ἓν ἀρετῆς ἡμῖν εἶναι. Heind.

σὺ—φράζειν] De infinitivo illo pro imperativo v. not. ad §. 6. Deinde ubi Eleatæ verbis illis Τί δὲ ὅδ' αὖ; a Theæteto subjicitur Ποῖος; rectius fuerit Ὁποῖος; Heind.

I. 263. ΘΕΑΙ. Ταῦτ' ἔσται κατὰ δύναμιν.

ΞΕ. Θεαίτητος κάθηται. μῶν μὴ μακρὸς ὁ[w] λόγος;

ΘΕΑΙ. Οὔκ, ἀλλὰ μέτριος.

ΞΕ. Σὸν ἔργον δὴ φράζειν περὶ οὗ τ' ἐστὶ καὶ ὅτου.

ΘΕΑΙ. Δῆλον ὅτι περὶ ἐμοῦ τε καὶ ἐμός.

ΞΕ. Τί δὲ ὅδ' αὖ;

ΘΕΑΙ. Ποῖος;

ΞΕ. Θεαίτητος, ᾧ νῦν ἐγὼ διαλέγομαι, πέτεται.

ΘΕΑΙ. Καὶ τοῦτον οὐδ' ἂν εἷς ἄλλως εἴποι πλὴν ἐμόν τ' εἶναι καὶ[x] περὶ ἐμοῦ.

§. 105. ΞΕ. Ποιὸν δέ γέ τινά φαμεν ἀναγκαῖον ἕκαστον εἶναι τῶν λόγων.

II. ii. 229. ΘΕΑΙ. Ναί.

ΞΕ. Τούτων[y] δὴ ποιόν τινα ἑκάτερον φατέον εἶναι;

ΘΕΑΙ. Τὸν μὲν ψευδῆ που, τὸν δὲ ἀληθῆ.

ΞΕ. Λέγει δὲ αὐτῶν[z] ὁ μὲν ἀληθὴς τὰ ὄντα, ὡς ἔστι περὶ σοῦ.

ΘΕΑΙ. Τί μήν;

ΞΕ. Ὁ δὲ δὴ[a] ψευδὴς ἕτερα τῶν ὄντων.

ΘΕΑΙ. Ναί.

ΞΕ. Τὰ μὴ ὄντ' ἄρα ὡς ὄντα λέγει.

ΘΕΑΙ. Σχεδόν.

ΞΕ. Ὄντων[b] δέ γε ὄντα ἕτερα περὶ σοῦ. πολλὰ μὲν

om ΓΛΣΥBCEFH.—[v] φράζου ΣΥ.—[w] ὁ om ΣΥ.—[x] εἶναι add 𝔄ΔΠ.—[y] τούτων... εἶναι om ΓΛBCH.—[z] αὐτῶι 𝔄.—[a] δὴ om ΣΥBCFH et pr Ξ.—[b] ὄντων Cornarius,

§. 105. ὄντων] Sensus est, *ea tibi attribuit quæ minime tibi quadrare possunt.* Id significat illud dicendi genus, ὄντα λέγειν ἕτερα. Cur ergo commode non legatur ὄντως? Repetendum enim est λέγει e superiori interrogatione: et nisi legatur ὄντως, erit ταυτολογία: ut ipse verborum contextus satis docet. Serran. qui sic vertit '*Revera igitur quæ sunt, dicit altera de te.*' Hic interpres retinet ὄντως: sed multo rectius legitur ὄντων: licet et Fic. ὄντως legat, qui vertit, *Et quæ revera sunt, alia de te dicit,* pro, *Et quæ alia sunt ab iis quæ sunt, de te dicit.* Steph.

ὄντων δέ γε ὄντα ἕτερα περὶ σοῦ] *Sed quæ diversa sunt ab iis, quæ sunt, de te, s. respectu tui,* h. e. sed hæc ἕτερα τῶν ὄντων s. μὴ ὄντα non sunt simpliciter diversa ab his quæ sunt, sed quatenus de te est sermo, non de aliis rebus. Pro ὄντων Ald. et Bass. ὄντως, idemque reddidit Ficinus: *re vera entia de te alia;* qua scriptura sensus efficitur ab his prorsus alienus. Neque enim illud quæri h. l. potest, verene alia hæc sint, nec ferri posset hæc ἕτερα non addito iterum genitivo τῶν ὄντων s. ὄντων. Tenui igitur cum Schleiermachero evidentem, quam Stephanus jam recepit, Cornarii lectionem, cujus veritatem liquido confirmant hæc quoque quæ adduntur, πολλὰ μὲν γὰρ ἔφαμεν ὄντα περὶ ἕκαστον εἶναί που, πολλὰ δὲ οὐκ ὄντα.

γὰρ ἔφαμεν ὄντα περὶ ἕκαστον εἶναί που, πολλὰ δὲ οὐκ ὄντα.

ΘΕΑΙ. Κομιδῇ μὲν οὖν.

ΞΕ. Ὃν ὕστερον δὴ λόγον εἴρηκα περὶ σοῦ, πρῶτον μέν, ἐξ ὧν ὡρισάμεθα τί ποτ' ἔστι λόγος, ἀναγκαιότατον αὐτὸν ἕνα τῶν βραχυτάτων εἶναι.

ΘΕΑΙ. Νῦν δὴ γοῦν[c] ταύτῃ ξυνωμολογήσαμεν.

ΞΕ. Ἔπειτα δέ γε[d] τινός.

ΘΕΑΙ. Οὕτως.

ΞΕ. Εἰ δὲ[e] μὴ ἔστι σός, οὐκ ἄλλου γε[f] οὐδενός.

ΘΕΑΙ. Πῶς γάρ;

ΞΕ. Μηδενὸς δὲ ὢν οὐδ' ἂν λόγος εἴη τὸ παράπαν· ἀπεφήναμεν[g] γὰρ ὅτι τῶν ἀδυνάτων ἦν λόγον ὄντα μηδενὸς εἶναι λόγον.

ΘΕΑΙ. Ὀρθότατα. II. ii. 230.

ΞΕ. Περὶ δὴ σοῦ λεγόμενα μέντοι θάτερα ὡς τὰ αὐτὰ καὶ μὴ ὄντα ὡς ὄντα, παντάπασιν, ὡς ἔοικεν, ἡ τοιαύτη σύνθεσις ἔκ τε ῥημάτων γιγνομένη καὶ ὀνομάτων ὄντως τε καὶ ἀληθῶς γίγνεσθαι λόγος[h] ψευδής.

ΘΕΑΙ. Ἀληθέστατα μὲν οὖν.

§. 106. ΞΕ. Τί δὲ δή;[i] διάνοιά τε καὶ δόξα καὶ φαν-

δ

ὕτως F, ὄντως ceteri.—[c] δῆτ' οὖν H.—[d] δέ γε λέγε ΓBCEFH.—[e] τε �AΔ.—[f] γε E: γε *s.—[g] ἀπεφηνάμην ꝆΓΔΛΠ.—[h] λόγος om Γ.—[i] δὴ om F.—[j] τὰ add ꝆΔΞΠΣΥ.

Nimirum in hac disputatione, qua ostenditur, falsam orationem (λόγον ψευδῆ) esse posse, illud rem continet quod, quando μὴ ὄντα de re quacunque dicuntur, ea non sunt omnino μὴ ὄντα, adeo ut, quod Sophistæ volebat cavillatio, ne intelligi quidem, nedum sermone proferri possint, sed quatenus ad eam, qua de agitur, rem referantur, cujus respectu ἕτερα sunt τῶν ὄντων, sc. τῶν περὶ τοῦτο τὸ πρᾶγμα ὄντων. HEIND.

μηδενός γε ὢν] Imo μηδενὸς δέ γε ὢν vel certe, μηδενὸς δὲ ὤν. HEIND.

γίγνεσθαι] Infinit. ita est positus, quasi præcessisset ἔοικε, non ὡς ἔοικε. Uti in Phædr. §. 128. Παντάπασι γάρ, ὃ καὶ κατ' ἀρχὰς εἴπομεν τοῦδε τοῦ λόγου, ὅτι οὐδὲν ἀληθείας μετέχειν δέοι etc. ubi vid. not. Herodot. i. 191. νῦν δὲ ἐξ ἀπροσδοκήτου σφι παρέστησαν οἱ Πέρσαι· ὑπὸ δὲ μεγάθεος τῆς πόλιος, ὡς λέγεται ὑπὸ τῶν ταύτῃ οἰκημένων, τῶν περὶ τὰ ἔσχατα τῆς πόλιος ἑαλωκότων, τοὺς τὸ μέσον οἰκέοντας τῶν Βαβυλωνίων οὐ μανθάνειν ἑαλωκότας etc. Xenoph. Anab. vi. 2. 18. Καὶ εἰκότως ἄρα ἡμῖν οὐ γίγνεται τὰ ἱερά· ὡς γὰρ ἐγὼ ἀπὸ τοῦ αὐτομάτου χθὲς ἥκοντος πλοίου ἤκουσά τινος, ὅτι Κλέανδρος ἐκ Βυζαντίου ἁρμοστὴς μέλλει ἥξειν, ubi nollem γὰρ uncis nuper seclusum. Alia dedit Erfurdtius ad Soph. Antig. 732.—Hæc autem, περὶ δὴ σοῦ λεγόμενα μέντοι θάτερα ὡς τὰ αὐτὰ—παντάπασιν, ὡς ἔοικε, ἡ τοιαύτη σύνθεσις etc. eodem structuræ tenore procedunt quo illa in Phædon. §. 37. χωριζόμενα δὲ φρονήσεως καὶ ἀλλαττόμενα ἀντὶ ἀλλήλων, μὴ σκιαγραφία τις ᾖ ἡ τοιαύτη ἀρετή. HEIND.

§. 106. τί δὲ—δόξα καὶ λόγος] Extat hic locus apud Stobæum Eclog. Phys.

τασία, μῶν οὐκ ἤδη δῆλον ὅτι ταῦτα τὰ[j] γένη ψευδῆ τε[k] καὶ ἀληθῆ πάνθ' ἡμῶν ἐν ταῖς ψυχαῖς ἐγγίγνεται;

ΘΕΑΙ. Πῶς;

ΞΕ. Ὧδ' εἴσει[l] ῥᾷον, ἂν πρῶτον[m] λάβῃς,[n] τί ποτ' ἔστι καὶ τί διαφέρουσιν ἕκαστ'[o] ἀλλήλων.

ΘΕΑΙ. Δίδου μόνον.

ΞΕ. Οὐκοῦν διάνοια μὲν καὶ λόγος ταὐτόν· πλὴν ὁ μὲν ἐντὸς τῆς ψυχῆς πρὸς αὑτὴν διάλογος ἄνευ φωνῆς γιγνόμενος τοῦτ' αὐτὸ ἡμῖν ἐπωνομάσθη,[p] διάνοια.

ΘΕΑΙ. Πάνυ μὲν οὖν.

ΞΕ. Τὸ δέ γ' ἀπ' ἐκείνης ῥεῦμα διὰ τοῦ στόματος ἰὸν μετὰ[q] φθόγγου κέκληται λόγος.

ΘΕΑΙ. Ἀληθῆ.

ΞΕ. Καὶ μὴν ἐν λόγοις[r] αὐτὸ ἴσμεν ὄν.

ΘΕΑΙ. Τὸ ποῖον;

II. ii. 231. ΞΕ. Φάσιν τε καὶ ἀπόφασιν.

ΘΕΑΙ. Ἴσμεν.

I. 264. ΞΕ. Ὅταν οὖν τοῦτο ἐν[s] ψυχῇ κατὰ διάνοιαν ἐγγίγνηται μετὰ σιγῆς, πλὴν δόξης ἔχεις ὅ τι προσείπῃς αὐτό;

ΘΕΑΙ. Καὶ πῶς;

ΞΕ. Τί δ' ὅταν μὴ καθ' αὑτὴν ἀλλὰ δι' αἰσθήσεως

—[k] τε om H.—[l] εἴσει Γ.—[m] λάβε F.—[n] post λάβῃς omisi αὐτὰ cum ΓΔΛΠΣΥΒC EFH.—[o] ἕκαστ' ΞΥ.—[p] ἐπωνομάσθαι ΥΕ, ἐπωνομᾶσθαι (η supra) 𝔄.—[q] μετὰ om ΛBC.—

i. p. 153. f. Sed legitur ibi ita, *τί δὲ διάνοια—φαντασία ἡμῶν; οὐκ ἤδη δῆλον ὅτι ταῦτά γε ψευδῆ τε, καὶ ἀληθῆ πάνθ' ἡμῶν ἐν ταῖς ψυχαῖς ἐγγίγνεται. ἀνάγκη δὲ καὶ τούτων τῶν λόγων συγγενόντων, ψευδῆ τε αὐτῶν ἔννοια, καὶ ἐνίοτε εἶναι· πῶς δ' οὔ; κατανοεῖς οὖν ὅτι πραότερον εὗρε ψευδὴς δόξα καὶ λόγος.* Omissa enim sunt verba interjecta: et vitia scripturæ quum sint ejusmodi, ut a lectoribus sponte reperiri et corrigi possint, huic rei non immorabimur. FISCH.

μῶν οὐκ ἤδη δῆλον, ὅτι ταῦτα γένη] Verba sic ordinanda: *ὅτι ταῦτα πάντα ἐγγίγνεται γένη ψευδῆ τε καὶ ἀληθῆ* etc. *hæc omnia ut genera et vera et falsa animis nostris inesse.* Parum tamen huc convenit vocabulum *γένη*, rectiusque, opinor, apud Stob. legitur *ὅτι ταῦτά γε ψ.* HEIND.

οὐκοῦν διάνοια μὲν] Respexit hunc locum Theo Smyrn. Mathem. p. 113. *κατὰ δὲ Πλάτωνα τετραχῶς λέγεται λόγος, ἥ τε διάνοια ἄνευ φθόγγου, καὶ τὸ μετὰ φωνῆς ῥεῦμα ἀπὸ διανοίας καὶ ἡ τῶν τοῦ ὅλου στοιχείων ἀπόδοσις καὶ ἡ τῆς ἀναλογίας.* HEIND.

αὐτὸ ἴσμεν ὂν] *αὐτὸ* positum pro *τοῦτο.* V. ad Lysid. §. 2. ubi tamen *αὐτοῦ* illud perperam accepi; pro *σοῦ* ibi positum docuit Heusdius. Spec. Crit. p. 96. HEIND.

καθ' αὑτὴν] *καθ' αὑτὴν*, non *καθ' αὑτὸ*, posuit illaturus deinde *ἡ δόξα*, in cujus locum substituitur *τὸ τοιοῦτον αὖ πάθος.* HEIND.

παρῇ τινὶ τὸ τοιοῦτον αὖ πάθος, ἆρ' οἷόν τε ὀρθῶς εἰπεῖν ἕτερόν τι πλὴν φαντασίαν;

ΘΕΑΙ. Οὐδέν.

§. 107. ΞΕ. Οὐκοῦν ἐπεί περ λόγος ἀληθὴς ἦν καὶ ψευδής, τούτων δ' ἐφάνη διάνοια μὲν αὐτῆς πρὸς ἑαυτὴν ψυχῆς διάλογος, δόξα δὲ διανοίας ἀποτελεύτησις, φαίνεται δὲ ὃ λέγομεν σύμμιξις αἰσθήσεως καὶ δόξης, ἀνάγκη δὴ καὶ τούτων τῷ λόγῳ ξυγγενῶν ὄντων ψευδῆ τε αὐτῶν ἔνια καὶ ἐνίοτε εἶναι.

ΘΕΑΙ. Πῶς δ' οὔ;

ΞΕ. Κατανοεῖς οὖν ὅτι πρότερον[t] εὑρέθη ψευδὴς δόξα καὶ λόγος ἢ κατὰ τὴν[u] προσδοκίαν ἣν ἐφοβήθημεν ἄρτι, μὴ παντάπασιν ἀνήνυτον ἔργον[v] ἐπιβαλλοίμεθα[w] ζητοῦντες αὐτό;[x]

[r] λόγοις γε Ξς.—[s] ἐν τῇ Ξ.—[t] πρότερον 𝔄ΓΔΞΠΥΗ cum corr B et γρ ΛΣC : πρᾳότερον ς.—[u] τὴν om Σ.—[v] ἔργον om Λ.—[w] ἐπιβαλοίμεθα ΓΛΞ.—[x] αὐτὰ CH et corr

§. 107. *τούτων δ' ἐφάνη διάν.*] *τούτων, ex his, quæ deinde memorata sunt.* Heind.

δόξα δὲ διανοίας] Laudatur hæc *δόξης* definitio a Philopono in Proœm. ad Aristotelem de Anima: cujus verba exscripsit Suidas in v. *Δόξα*—: *ὅθεν καὶ καλῶς ὁρίζεται τὴν δόξαν Πλάτων ἐν τῷ Σοφιστῇ, διανοίας λέγων ἀποτελεύτησιν.* Fisch.

φαίνεται] Malim *φαίνεσθαι*: sive hæc *φαίνεσθαι ὃ λέγομεν*, esse periphrasin *φαντασίας* intelligamus, sive aliter accipiamus. Steph.

Cornarius ostenderat, sibi lectionem *φαίνεται ὃ λέγομεν* integram videri, sed illa ipsa verba nihil aliud significare, quam vocabulum *φαντασία*, id est, *imaginationem.* Huc igitur respexit Stephanus adeo, ut certissimum sit, eum legisse Cornarii Eclogas, quas tamen legisse videri noluerat. Fisch.

φαίνεται δὲ ὃ λέγομεν, συμμ.] *Quod autem dicimus, quum dicimus φαίνεται.* Ion. p. 536. A. *ὁ μὲν τῶν ποιητῶν ἐξ ἄλλης Μούσης, ὁ δ' ἐξ ἄλλης ἐξήρτηται· ὀνομάζομεν δὲ αὐτὸ κατέχεται.* Theætet. §. 24. *Σ. Οὐκοῦν καὶ φαίνεται οὕτως ἑκατέρῳ; Θ. Ναί. Σ. Τὸ δέ γε φαίνεται αἰσθάνεσθαί ἐστιν;* Quæ exempla opinionem convellunt Stephani pro *φαίνεται* requirentis *φαίνεσθαι*. In proximis *ψευδῆ τε αὐτῶν ἔνια* cet. importunum istud *τε* expungendum potius quam in *γε* mutandum ego existimo. Heind.

πρᾳότερον] Alia etiam est lectio *πρότερον*. Quamvis autem prima fronte durum videri possit illud *πρᾳότερον*, et ab hoc loco alienum, magis tamen sequentibus convenit (meo quidem judicio) quam *πρότερον*: quum significare velit se via quadam faciliore minusque aspera quam putabant ad id quod quærebant pervenisse. Ficinus quidem certe lectionem hanc, *πρᾳότερον*, (quam etiam superioris temporis editiones habent) non illam *πρότερον*, agnoscit: quippe qui vertat *facilius.* Steph.

πρᾳότερον] Sic Ed. Ald. et Stob. cum Ficino qui vertit, *advertisne, nos facilius quam putabamus* etc. Contra Bas. 2. *πρότερον*. Quorum prius probabat Steph. tanquam magis sequentibus conveniens, quoniam significare vellet Eleates, se via quadam faciliore minusque aspera, quam putassent, ad id quod quærebant, pervenisse: mihi admodum est dubium, num omnino Græce *πρᾴως τι εὑρεῖν* magis dici potuerit quam Latine *leniter* s. *mansuete aliquid invenire*, pro *facile invenire.* Si verum est *πρᾳότερον* neque in eo delituit forte *ῥᾳότερον* (v. ad Parmen. §. 19.) sic intellexerim: *mansuetius aliquid* (minus difficilius) *reperta est falsa opinio.* Heind.

ΘΕΑΙ. Κατανοῶ.

st. ii. 232. ΞΕ. Μὴ τοίνυν μηδ' εἰς τὰ λοιπὰ ἀθυμῶμεν. ἐπειδὴ γὰρ πέφανται ταῦτα, τῶν ἔμπροσθεν ἀναμνησθῶμεν κατ' εἴδη διαιρέσεων.

ΘΕΑΙ. Ποίων[y] δή;

ΞΕ. Διειλόμεθα τῆς[z] εἰδωλοποιικῆς εἴδη δύο, τὴν μὲν εἰκαστικήν, τὴν δὲ φανταστικήν.

ΘΕΑΙ. Ναί.

ΞΕ. Καὶ τὸν σοφιστὴν εἴπομεν ὡς ἀποροῖμεν[a] εἰς ὁποτέραν[b] θήσομεν.

ΘΕΑΙ. Ἦν ταῦτα.

ΞΕ. Καὶ τοῦθ' ἡμῶν[c] ἀπορουμένων ἔτι μείζων κατεχύθη σκοτοδινία,[d] φανέντος τοῦ λόγου τοῦ πᾶσιν ἀμφισβητοῦντος ὡς οὔτε εἰκὼν οὔτε εἴδωλον οὔτε φάντασμα εἴη τὸ παράπαν οὐδὲν διὰ τὸ μηδαμῶς μηδέποτε μηδαμοῦ ψεῦδος εἶναι.

ΘΕΑΙ. Λέγεις ἀληθῆ.

§. 108. ΞΕ. Νῦν δέ γ' ἐπειδὴ πέφανται μὲν λόγος,[e] πέφανται δ' οὖσα δόξα ψευδής, ἐγχωρεῖ δὴ μιμήματα τῶν ὄντων εἶναι καὶ τέχνην[f] ἐκ ταύτης γίγνεσθαι τῆς διαθέσεως ἀπατητικήν.

ΘΕΑΙ. Ἐγχωρεῖ.

ΞΕ. Καὶ μὴν ὅτι γ' ἦν ὁ σοφιστὴς τούτων, πότερον[g] διωμολογημένον ἡμῖν ἐν τοῖς πρόσθεν ἦν;

ΠΒ.—[y] ποῖον E, ποῖ F.—[z] τοῖς Υ.—[a] ἀποροῦμεν EF.—[b] ὁποτέραν 𝔄ΔΞΠΣΥ: ὁπότερ' ἂν *ς.—[c] ἡμῖν F. μείζω 𝔄.—[d] σκοτοδεινία 𝔄FH.—[e] μὲν ὁ λόγος Γ.—[f] τέχνης

τῆς εἰδωλοποιϊκῆς] Sic Ald. In Edd. Bass. est εἰδωλοποιητικῆς, ut §. 45. extr. et §. 99. Sed infra §. 111. legemus εἰδωλοποιϊκώ. §. 112. εἰδωλοποιϊκή. §. 116. εἰδωλοποιϊκῆς. Velut utrumque promiscue ponitur, ὀψοποιϊκὴ et ὀψοποιητική. V. not. ad Gorg. §. 42. HEIND.

εἰς ὁποτέραν θήσομεν] Sic correxi, quod hucusque legebatur εἰς ὁπότερ' ἄν. θήσομεν an θήσοιμεν scriberetur, nihil intererat. de Legg. iii. p. 683. B. Εἰ γοῦν —τις ἡμῖν ὑπόσχοιτο θεὸς, ὡς, ἐὰν ἐπιχειρήσωμεν τὸ δεύτερον τῇ τῆς νομοθεσίας σκέψει, τῶν νῦν εἰρημένων λόγων οὐ χείρους—ἀκουσόμεθα. Xenoph. Hellen. ii. 3. 50. γνοὺς—ὅτι, εἰ ἐπιτρέψει τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀναφεύξοιτο. v. 2. 38. διδάσκων, ὅτι οἱ Ὀλύνθιοι κατεστραμμένοι τὴν μείζω δύναμιν Μακεδονίας εἶεν καὶ οὐκ ἀνήσουσι τὴν ἐλάττω, εἰ μή τις αὐτοὺς παύσει τῆς ὕβρεως. Anab. iii. 5. 13. ὅμοιοι ἦσαν θαυμάζοντες, ὅποι ποτὲ τρέψονται οἱ Ἕλληνες καὶ τί ἐν νῷ ἔχοιεν. iv. 5. 28. θαῤῥεῖν ἐκέλευεν αὐτὸν λέγων, ὅτι οὔτε τῶν τέκνων στερήσοιτο τήν τε οἰκίαν αὐτοῦ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων ἀπίασιν etc. vii. 1. 34. ἀπεκρίνατο ὅτι πειθομένοις αὐτοῖς οὐ μεταμελήσει, ἀλλὰ τοῖς τε οἴκοι τέλεσι ταῦτα ἀπαγγελεῖ καὶ αὐτὸς βουλεύσοιτο περὶ αὐτῶν—. De sententia cf. §. 44—46. HEIND.

§. 108. *ὁ σοφ. τούτων πότερον*] Redit sermo ad prægressa illa, καὶ τὸν σοφιστὴν εἴπομεν ὡς ἀποροῖμεν εἰς ὁποτέραν (τὴν

ΘΕΑΙ. Ναί.

ΞΕ. Πάλιν τοίνυν ἐπιχειρῶμεν, σχίζοντες διχῇ τὸ προ- II. ii. 233.
τεθὲν γένος, πορεύεσθαι κατὰ τοὐπὶ[h] δεξιὰ ἀεὶ μέρος τοῦ
τμηθέντος ἐχόμενοι[i] τῆς τοῦ σοφιστοῦ κοινωνίας, ἕως ἂν αὐ-
τοῦ τὰ κοινὰ πάντα περιελόντες, τὴν οἰκείαν[j] λιπόντες φύ-
σιν ἐπιδείξωμεν μάλιστα μὲν ἡμῖν αὐτοῖς, ἔπειτα δὲ[k] καὶ I. 265.
τοῖς ἐγγυτάτω[l] γένει τῆς τοιαύτης μεθόδου πεφυκόσιν.

ΘΕΑΙ. Ὀρθῶς.

§. 109. ΞΕ. Οὐκοῦν τότε μὲν ἠρχόμεθα ποιητικὴν καὶ κτητικὴν τέχνην διαιρούμενοι;

ΘΕΑΙ. Ναί.

ΞΕ. Καὶ τῆς κτητικῆς ἐν θηρευτικῇ καὶ ἀγωνίᾳ καὶ ἐμπορικῇ[m] καί τισιν ἐν τοιούτοις[n] εἴδεσιν ἐφαντάζετο[o] ἡμῖν;

ΣΥ et pr Ξ.—[g] hypostigmen post πότερον transpone.—[h] τοῦ ἐπὶ E.—[i] ἐχόμενα C.—[j] ἴδιον οἰκείαν ΛΒCΕΗ, ἴδιον οἰκίαν ΓF.—[k] δὲ om 𝔄.—[l] ἐγγυτάτωι 𝔄.—[m] καὶ ἀγωνίᾳ καὶ ἐμπορικῇ 𝔄ΔΠ : καὶ ἐν ἀγωνίᾳ καὶ ἐν ἐμπορικῇ *ς.—[n] ἐν τοῖς τοιούτοις

εἰκαστικὴν ἢ τὴν φανταστικὴν) θήσομεν. Τούτων igitur refertur ad εἰκαστικὴν et φανταστικὴν, quæ in proximis quoque significavit quum dixit, ὡς οὔτε εἰκὼν—οὔτε φάντασμα εἴη τοπαράπαν οὐδέν. Vulgo distinguunt—ὁ σοφιστὴς τούτων, πότερον διωμολογ. quasi usquam πότερον diceretur in simplici quæstione, non subsequente particula ἤ. πότερον h. l. ut ante, est i. q. ὁποτερονοῦν, *alterutrum*. Heind.

τὴν οἰκείαν] Cod. Paris. τὴν ἴδιον οἰκίαν, manifesta fraudis origine. Heind.

ἔπειτα δὲ καὶ τοῖς ἐγγυτάτω γένει] H. e. τοῖς γνησίως φιλοσόφοις, *qui natura quasi proxime ad hanc disputandi verumque investigandi rationem accedunt.* Utrumque dicitur ἐγγύτατα (s. ἐγγυτάτω) τινὶ εἶναι γένους et γένει. Apolog. Socr. p. 30. A. μᾶλλον δὲ τοῖς ἀστοῖς (ταῦτα ποιήσω), ὅσῳ μοι ἐγγυτέρω ἐστὲ γένει. Lach. 187. E. ὃς ἂν ἐγγυτάτω Σωκράτους ᾖ λόγῳ ὥσπερ γένει, καὶ πλησιάζῃ διαλεγόμενος, (quem locum nollem nuper a præclaris viris sollicitatum. Sensus est: *qui sermone s. disputandi ratione quasi genere cognatus est Socrati ad ejusque colloquia accedit.* Novo loquendi generi ἐγγυτάτω τινὶ εἶναι λόγῳ quid miremur addita hæc ὥσπερ γένει?) Contra Hipp. Maj. §. 56. Καὶ γάρ μοι τυγχάνει ἐγγύτατα γένους ὢν καὶ ἐν τῷ αὐτῷ οἰκῶν. Isæus de hered. Dicæog. p. 63. Reisk. οὕτως αὐτοὺς Δικαιογένης οὑτοσὶ ἐγγυτάτω ὢν γένους ἐπετρόπευεν. Heind.

§. 109. τῆς κτητικῆς ἐν θηρευτικῇ] Genitivus hic τῆς κτητικῆς ad seqq. omnia, θηρευτικῇ, ἀγωνίᾳ, ἐμπορικῇ pertinet, quæ supra partes positæ sunt artis illius acquirendi. Heind.

καί τισιν ἐν τοιούτοις] De Legg. i. p. 644. A. τὴν δὲ εἰς χρήματα τείνουσαν ἤ τινα πρὸς ἰσχὺν—τροφὴν etc. Heind.

ἐφαντάζετο ἡμῖν] Sc. ὁ σοφιστής. In succedentibus his, Νῦν δέ γ', ἐπειδὴ μιμητικὴ περ. α. τέχνη, quamvis facile exciderit art. ἡ, in artium tamen nominibus præcipue articulum negligi constat. Gorg. §. 11. λόγου βραχέος δέονται (αἱ τέχναι)—οἷον γραφικὴ καὶ ἀνδριαντοποιία etc. §. 20. Οὐκ ἄρα ῥητορικὴ μόνη πειθοῦς ἐστι δημιουργός. de Rep. vii. p. 522. B. τί ἔτ' ἄλλο λείπεται μάθημα μουσικῆς καὶ γυμναστικῆς καὶ τῶν τεχνῶν κεχωρισμένον; ibid. p. 525. A. ἀλλὰ μὴν λογιστική τε καὶ ἀριθμητικὴ περὶ ἀριθμὸν πᾶσα. Charmid. §. 28. Οὐκοῦν καὶ ἰατρικὴ ἐπιστήμη ἐστὶ τοῦ ὑγιεινοῦ;—Εἰ τοίνυν με—σὺ ἔροιο, ἰατρικὴ—τί ἡμῖν χρησίμη ἐστὶ etc. §. 38. Ταυτὸν οὖν ἐστιν ἐπιστημή τε καὶ ἀνεπιστημοσύνη ὑγιεινοῦ etc.—Ἀλλὰ τὸ μὲν, οἶμαι, ἰατρική, τὸ δὲ πολιτικὴ etc. Dempto igitur quater articulo in Gorg. §. 11. nunc scripserim, οἷον ἀριθμητικὴ καὶ λογιστικὴ

ΘΕΑΙ. Πάνυ μὲν οὖν.

ΞΕ. Νῦν δέ γ' ἐπειδὴ μιμητικὴ[p] περιείληφεν αὐτὸν τέχνη, δῆλον ὡς αὐτὴν τὴν[q] ποιητικὴν δίχα διαιρετέον πρώτην. ἡ γάρ που μίμησις ποίησίς τίς ἐστιν, εἰδώλων[r] μέντοι φαμέν, ἀλλ' οὐκ αὐτῶν ἑκάστων.[s] ἦ γάρ;

ΘΕΑΙ. Παντάπασι μὲν οὖν.

ΞΕ. Ποιητικῆς δὴ πρῶτον δύο[t] ἔστω μέρη.

ΘΕΑΙ. Ποίω;

ΞΕ. Τὸ μὲν θεῖον, τὸ δ' ἀνθρώπινον.

ΘΕΑΙ. Οὔπω μεμάθηκα.

II. ii. 234. ΞΕ. Ποιητικὴν, εἴ περ μεμνήμεθα τὰ κατ' ἀρχὰς λεχθέντα, πᾶσαν ἔφαμεν εἶναι[u] δύναμιν, ἥ τις ἂν αἰτία γίγνηται τοῖς μὴ πρότερον οὖσιν ὕστερον γίγνεσθαι.

ΘΕΑΙ. Μεμνήμεθα.

§. 110. ΞΕ. Ζῶα δὴ πάντα θνητὰ καὶ φυτά, ὅσα τ' ἐπὶ γῆς ἐκ σπερμάτων καὶ ῥιζῶν φύεται καὶ ὅσα ἄψυχα ἐν γῇ ξυνίσταται σώματα τηκτὰ[v] καὶ ἄτηκτα,[w] μῶν ἄλλου τινὸς ἢ θεοῦ δημιουργοῦντος φήσομεν ὕστερον γίγνεσθαι πρότερον οὐκ ὄντα; ἢ τῷ τῶν πολλῶν δόγματι καὶ ῥήματι[x] χρώμενοι;

ΣΥ.—[o] ἐφαντάζεθ' 𝔄.—[p] ποιητικὴ CH cum corr B et γρ Σ.—[q] τὴν om Λ.—[r] εἴδωλον E, εἰδώλου F. (ων, ο superscr.)—[s] ἑκάστων E.—[t] δύο πρῶτον δὴ Λ.—[u] εἶναι om Σ et pr Ξ.—[v] τικτα 𝔄, κτητὰ ΣΥF.—[w] ἄτικτα 𝔄, ἄκτητα ΞΣΥF.—[x] ῥήματι καὶ δόγματι F.—

καὶ γεωμετρικὴ καὶ πεττευτική γε etc. ubi eum nonnisi primo ἀριθμητικὴ optimi præfigunt libri, Edd. quater habent. Alia dabit Schæfer. in Meletem. Crit. p. 5. Atque talia lectores admoniti facile centenis augebunt exemplis. Heind.

ποιητικῆς δὴ] Hic locus usque ad verba τὸ δὲ θεῖον ὀρθῶς, legitur apud Stobæum Eclog. Phys. i. p. 3. s. sic, ποιητ. δὴ πρ. ἔστω δύο μέρη μὲν, θεῖον, τὸ δὲ ἀνθρώπ.—ποιητικὸν—γίγνεσθαι· μεμάθηκα· ζῶα—καὶ δὴ καὶ φυτὰ, ὅσα τε ἐκ σπερμ. καὶ ῥιζῶν φύεται—ξυνίσταται (marg. ξυνίστησι)—ἢ τῶν πολλῶν δόγματι χρώμενοι ποιητῶν τὴν φύσιν—ἀπὸ τοῦ θεοῦ γιγνομένης· διὰ τὴν ἡλικίαν—νῦν μὲν—καὶ ὑπολαμβάνων κατὰ θεὸν αὐτὰ γίγν. ταύτῃ καὶ αὐτὸν ἐνόμικα.—εἰ μέν σε—αὐτῇ πρόσεισιν, ἐφ' ἃ νῦν—ἀνθρώπινον, τὸ δὲ θεῖον—. Vitia, quæ insunt, profecta fere a librarii negligentia, lectores sponte tollent. Fisch.

ποιητικῆς δὴ πρῶτον] Stob. ποιητικῆς—ἔστω δύο μέρη μὲν, θεῖον, τὸ δὲ ἀνθρώπ. Unde fecerim, Θ. Ποίω; Ξ. Θεῖον, τὸ δ' ἀνθρώπινον. Cf. ad §. 70. Heind.

§. 110. χρώμενοι] For. deest aliquid quod jungatur huic part. Alioqui si χρησόμεθα legatur, conveniet cum φήσομεν. Steph.

Videtur hanc conjecturam hausisse e versione Ficini, in qua est, *an multorum doctrinam sermonesque sectabimur?* immo *imperitorum et a philosophia alienorum hominum.* At carere locus recte posse videtur emendationis remedio, quum haud dubie integer sit, modo post χρώμενοι repetatur φήσομεν. Fisch.

ἢ τῷ τῶν πολλῶν δόγμ. κ. ῥ. χρώμενοι;] Participii χρώμενοι loco si posu-

ΘΕΑΙ. Ποίῳ;

ΞΕ. Τῷ τὴν φύσιν αὐτὰ γεννᾶν ἀπό τινος αἰτίας αὐτομάτης καὶ ἄνευ διανοίας φυούσης·[y] ἢ μετὰ λόγου τε καὶ ἐπιστήμης θείας ἀπὸ θεοῦ γιγνομένης;

ΘΕΑΙ. Ἐγὼ μὲν ἴσως διὰ τὴν ἡλικίαν πολλάκις ἀμφότερα μεταδοξάζω· νῦν μὴν[z] βλέπων εἰς σὲ καὶ ὑπολαμβάνων[a] οἴεσθαί σε κατά γε θεὸν αὐτὰ γίγνεσθαι, ταύτῃ καὶ αὐτὸς νενόμικα.

ΞΕ. Καλῶς γε, ὦ Θεαίτητε. καὶ εἰ μέν γέ σε ἡγούμεθα τῶν εἰς τὸν ἔπειτα χρόνον ἄλλως πως δοξαζόντων εἶναι, νῦν ἂν τῷ λόγῳ μετὰ πειθοῦς ἀναγκαίας[b] ἐπεχειροῦμεν II. ii. 235.
ποιεῖν ὁμολογεῖν· ἐπειδὴ δέ σου καταμανθάνω τὴν φύσιν, ὅτι καὶ ἄνευ τῶν παρ' ἡμῶν λόγων αὐτὴ πρόσεισιν ἐφ' ἅ

[y] φυούσης διανοίας Γ.—[z] μὴ 𝔄ΓΔΣ et pr ΠΥΒΕF, γε μὴν corr Π.—[a] ὑπολαμβάνω ς

isset χρησόμεθα, legitimo more procederet oratio; nunc ita fere progressuram, ἢ τῷ τῶν πολλῶν δόγματι καὶ ῥήματι χρώμενοι (φήσομεν) τὴν φύσιν αὐτὰ γεννᾶν ἀπό τινος αἰτίας αὐτομάτης etc. interpellat subjectum Ποίῳ, cui accommodantur subseqq. Τῷ τὴν φύσιν αὐτὰ γεν. Velut sermonem interrumpit interjectum Τὸ ποῖον; in Parmen. §. 58. Ἆρ' οὖν ἔστι τὸ ἄτοπον τοῦτο, ἐν ᾧ τότ' ἂν εἴη ὅτε μεταβάλλει; Τὸ ποῖον δή; Τὸ ἐξαίφνης. Politic. p. 277. E. Ξ. Τοὺς— παῖδας ἴσμεν, ὅταν ἄρτι γραμμάτων ἔμπειροι γίγνωνται. Σ. Τὸ ποῖον; Ξ. Ὅτι τῶν στοιχείων ἕκαστον ἐν ταῖς βραχυτάταις—τῶν συλλαβῶν ἱκανῶς διαισθάνονται. Adde Aristoph. Plut. 400. X. δεῖ γὰρ πρῶτα. B. τί; X. Βλέψαι ποιῆσαι νώ. B. τίνα βλέψαι; φράσον. X. Τὸν Πλοῦτον etc. Ita explicari hæc malim, quam ad χρώμενοι simpliciter apud animum repeti φήσομεν (*an ita loquemur, ut vulgi sequamur opinionem sermonemque?*) Certe φάναι sic simpliciter positum non memini; neque id Stephano visum, post χρώμενοι aliquid deesse suspicanti, quod participio huic jungeretur. Hoc tamen si quis præferat, ne sic quidem syllabam in his mutandum agnoscet. Nimirum in primo interrogationis membro vocula μῶν, ut Latinum *num*, vim habet negandi: *num alio quoquam quam deo auctore fieri illa dicemus, quum ante non fuerint?* Jam additur contrarium: *an forte vulgi opinione sermoneque utentes?* tum iterum prima infertur quæstio, ἢ μετὰ λόγου τε καὶ ἐπιστήμης θείας ἀπὸ θεοῦ γιγνομένης; sc. ταῦτα φήσομεν γίγνεσθαι; Prorsus ut Euthyphr. p. 9. E. Οὐκοῦν ἐπισκοπῶμεν αὖ τοῦτο, ὦ Εὐθύφρον, εἰ καλῶς λέγεται; ἢ ἐῶμεν καὶ οὕτως ἡμῶν τε αὐτῶν ἀποδεχώμεθα καὶ τῶν ἄλλων, ἐὰν μόνον φῇ τίς τι ἔχειν οὕτω, ξυγχωροῦντες ἔχειν; ἢ σκεπτέον, τί λέγει ὁ λέγων; Criton. p. 49. A. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι; ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν οὔτε καλὸν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη, ὅπερ καὶ ἄρτι ἐλέγετο; (ubi pro ἡμῖν Euseb. μὲν, quo recepto postrema sic legenda suspicor, ὡς πολλάκις μὲν ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη, ἀτὰρ καὶ ἄρτι ἐλέγετο.) Denique h. l. Stob.—χρώμενοι ποιητῶν τὴν φύσιν etc. Idemque deinde ἀπὸ τοῦ θεοῦ. HEIND.

ὑπολαμβάνων] Ita lib. Paris. cum Stob. Vulgo ὑπολαμβάνω, quod sine libris corrigi debebat. HEIND.

μετὰ πειθοῦς ἀναγκαίας] Notandum hoc ἀναγκαίας significatu activo, atque eo, quem sæpe ἀναγκάζειν habet, *probandi evincendique* (v. not. ad Theæt. §. 27.) Eadem activa vi Hom. Odyss. P. 399. Ὅς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι Μύθῳ ἀναγκαίῳ. HEIND.

αὐτὴ πρόσεισι] Bas. 2. et Stob. αὐτῇ. Vulgo αὔτη. αὐτῇ, *per se ipsa, sponte*, reponendum vidit etiam Fischerus. HEIND.

περ νῦν ἕλκεσθαι φῄς, ἐάσω· χρόνος γὰρ ἐκ περιττοῦ γίγνοιτ' ἄν. ἀλλὰ θήσω τὰ μὲν φύσει λεγόμενα ποιεῖσθαι θείᾳ τέχνῃ, τὰ δ' ἐκ τούτων ὑπ' ἀνθρώπων ξυνιστάμενα[c] ἀνθρωπίνῃ, καὶ κατὰ τοῦτον δὴ τὸν λόγον δύο ποιητικῆς γένη, τὸ μὲν ἀνθρώπινον εἶναι, τὸ δὲ θεῖον.

ΘΕΑΙ. Ὀρθῶς.

§. 111. ΞΕ. Τέμνε δὴ δυοῖν οὔσαιν δίχα ἑκατέραν αὖθις.[d]

ΘΕΑΙ. Πῶς;

I. 266. ΞΕ. Οἷον τότε μὲν κατὰ πλάτος τέμνων[e] τὴν ποιητικὴν πᾶσαν, νῦν δὲ αὖ κατὰ μῆκος.

ΘΕΑΙ. Τετμήσθω.

ΞΕ. Τέτταρα μὴν[f] αὐτῆς οὕτω τὰ[g] πάντα[h] μέρη γίγνεται,[i] δύο μὲν τὰ πρὸς ἡμῶν, ἀνθρώπεια, δύο δ' αὖ τὰ πρὸς θεῶν, θεῖα.


ΘΕΑΙ. Ναί.

cum pr E.—[b] ἀναγκαίους ΞΣΥ.—[c] ξ. ΓΔΛΞΣCFH.—[d] αὖθις 𝔄ΓΔΠCH et γρ EF, αὐτοῖς ΣΥEF et (αὐταῖν in mg posito) Λ, αὐτοῖν Ξ: αὐταῖν ς.—[e] τέμνω Λ.—[f] μὲν F.—[g] τὰ om ΣΥ et pr Ξ.—[h] πάντα om 𝔄ΔΠ.—[i] γίγνεσθαι Γ.—[j] δύο 𝔄ΔΠ.—[k] αὖ

χρόνος γὰρ ἐκ περιττοῦ γίγνοιτ' ἂν] *Nam mora foret supervacanea*, s. *tempus ex supervacaneo consumeremus.* Qui vertit *nam supervacanea disputatio talis esset*, Ficinus videri potest legisse λόγος pro *χρόνος*, eaque vocabula a scribis sexcenties permutata constat. Heind.

τὰ μὲν φύσει λεγόμενα] Sc. ποιεῖσθαι. Plane ita Latine dixeris: *sed ponam, quæ natura dicuntur, ea divina arte fieri.* Heind.

§. 111. *ἑκατέραν αὐταῖν*] Bas. 2. *αὐτοῖν. ἑκατέραν* sc. *ποιητικήν*. In eadem Edit. deinde uno hæc tenore continuantur: *νῦν δὲ αὖ κατὰ μῆκος τετμήσθω. Τέτταρα μὴν* etc. eundemque in modum hæc reddidit Ficinus: *Quemadmodum ars effectrix universa per latitudinem est divisa, ita nunc per longitudinem dividatur: atque ita quatuor illius partes efficiuntur* etc. *Οἷον* h. l. non est *quemadmodum*, sed potius *quasi*, referturque ad seqq. *κατὰ πλάτος* et *κατὰ μῆκος*; post *νῦν δὲ αὖ κατὰ μῆκος* mente repetendum est *τέμνων*. *Sic*, inquit, *divide, quasi tum ποιητικὴν universam per latitudinem, nunc vero rursus per longitudinem dividens.* Nimirum qui rem per latitudinem in duas divisit partes, tum eandem per longitudinem in totidem divisit, quatuor is rei facit partes. *τότε* autem hoc spectat ad superiora, *Ποιητικῆς δὴ πρῶτον δύο ἔστω μέρη. Ποίω; Τὸ μὲν θεῖον, τὸ δ' ἀνθρώπινον* §. 109. Jam divisionis hujus tale nascitur *σχῆμα*;



Heind.

τότε—νῦν δὲ] Illud *τότε*, *tunc*, quod Ficinus sua in versione neglexit, quia opponitur *τὸ νῦν*, *nunc*, abesse nequit. Faehse.

ΞΕ. Τὰ δέ γ' ὡς ἑτέρως αὖ[j] διῃρημένα, μέρος μὲν ἓν ἀφ' ἑκατέρας τῆς μερίδος αὐτοποιητικόν,[k] τὼ δ' ὑπολοίπω σχεδὸν μάλιστ' ἂν[l] λεγοίσθην εἰδωλοποιικώ. καὶ κατὰ ταῦτα δὴ πάλιν ἡ ποιητικὴ διχῇ διαιρεῖται.

ΘΕΑΙ. Λέγε ὅπῃ[m] ἑκατέρα[n] αὖθις.

ΞΕ. Ἡμεῖς μέν που καὶ τἆλλα ζῶα καὶ ἐξ ὧν τὰ πεφυ- II. ii. 236.
κότ' ἐστί, πῦρ καὶ ὕδωρ καὶ τὰ τούτων ἀδελφά,[a] θεοῦ γεννήματα πάντα ἴσμεν αὐτὰ ἀπειργασμένα ἕκαστα.[o] ἢ πῶς;

ΘΕΑΙ. Οὕτως.

ΞΕ. Τούτων δέ γε ἑκάστων εἴδωλα, ἀλλ' οὐκ αὐτά, παρέπεται, δαιμονίᾳ καὶ ταῦτα μηχανῇ γεγονότα.

ΘΕΑΙ. Ποῖα;

ΞΕ. Τά τε ἐν τοῖς ὕπνοις καὶ ὅσα μεθ' ἡμέραν φαντάσματα αὐτοφυῆ[p] λέγεται, σκιὰ μὲν ὅταν ἐν τῷ πυρὶ σκότος ἐγγίγνηται, διπλοῦν δὲ ἡνίκ' ἂν[q] φῶς οἰκεῖόν τε καὶ ἀλλό-

τὸ ποιητικὸν ΓΛΞΣΥΒCFH et pr E : αὐτὸ ποιητικὸν *ς.—[l] ἂν om 𝔄ΔΛ et pr Π.—[m] ὅποι 𝔄ΓΔΞΠΣΥΒCH.—[n] ἑκάτερα 𝔄.—[a] ἀδελφὼ H.—[o] ἕκαστα om Υ.—[p] αὐτο·

τὰ δέ γ' ὡς ἑτέρως αὖ διῃρ.] *Quæ au-em alio modo rursus divisa sunt, eorum unum genus ex utraque parte αὐτοποιη-τικὸν, reliqua autem duo εἰδωλοποιϊκὼ potissimum aliquis dixerit.* Hæc τὰ δέ γε—διῃρημένα sunt instar nominativi absoluti; ὡς ἑτέρως autem pro ἑτέρως dic-um ut Phædr. §. 139. et sæpe alias. Heind.

αὐτὸ ποιητικὸν] For. αὐτοποιητικὸν, conjunctim. Steph. Ficin. *utriusque partitionis pars una est effectrix.* Fisch.

καὶ κατὰ ταῦτα δὴ] Sic Ald. et Bass. pro ταυτὰ, qnod male invexit Stephanus. Heind.

λέγε ὅπῃ] Ald. Bas. 1. λέγεται· sed in marg. Bas. 1. est λέγε δαί. non male : nisi malis λέγε δή. Stephanus λέγε ὅπῃ didit, præeunte Bas. 2. et versione Fi-ini, *dicas iterum quemadmodum utra-ue.* Fisch.

λέγε] Id habet Bas. 2. Ald. et Bas. . Λέγεται. In marg. Bas. 1. apposi-um est λέγε δαὶ, unde quis non statim aciat λέγε δή? Heind.

ἡμᾶς μέν που] Ita correxi, quod Edd. abent, ἡμεῖς, quo retento, etiam addi-um τἆλλα ζῶα pro nominativo haben-um itidemque hæc πῦρ καὶ ὕδωρ, sensu bsono. Mox in his, Τούτων δέ γε ἑκά-στων εἴδωλα ne reponas ἑκάστῳ, vetat multitudinis numero positum εἴδωλα. Proximum deinde Ποῖα pro vulgato Ποίᾳ requirunt subjecta hæc Τά τε ἐν τοῖς ὕπν. καὶ ὅσα—. Heind.

διπλοῦν δὲ] Obscuro loco vide an lucis aliquid afferat Timæus Platonis p. 46. A. Τὸ δὲ περὶ τὴν τῶν κατόπτρων εἰδωλοποιΐαν καὶ πάντα ὅσα ἐμφανῆ καὶ λεῖα, κατιδεῖν οὐδὲν ἔτι χαλεπόν· ἐκ γὰρ τῆς ἐκτὸς ἐντός τε τοῦ πυρὸς ἑκατέρου κοινωνίας ἀλλήλοις, ἑνός τε αὖ περὶ τὴν λειότητα ἑκάστοτε γενομένου καὶ πολλαχῇ μεταῤῥυθμηθέντος πάντα τὰ τοιαῦτα ἐξ ἀνάγκης ἐμφαίνεται, τοῦ περὶ τὸ πρόσωπον πυρὸς τῷ περὶ τὴν ὄψιν πυρὶ περὶ τὸ λεῖον καὶ λαμπρὸν ξυμπαγεῖ (f. ξυμπαγοῦς) γιγνομένῳ· δεξιὰ δὲ φαντάζεται τὰ ἀριστερὰ, ὅτι τοῖς ἐναντίοις μέρεσι τῆς ὄψεως περὶ τὰ ἐναντία μέρη γίγνεται ἐπαφὴ παρὰ τὸ καθεστὼς ἔθος τῆς προσβολῆς κ. τ. λ. Ex quibus illud certe intelligi arbitror, διπλοῦν h. l. significare *imaginem quæ in speculo redditur*, εἶδος autem τῆς ἔμπροσθεν εἰωθυίας ὄψεως ἐναντίαν αἴσθησιν παρασχὸν tum fieri, quando in speculo δεξιὰ cernantur τὰ ἀριστερὰ et vicissim. Rem nobis accurate aliquando explicabit, qui unus hodie Timæum penitus intelligit, A. Böckhius. Heind.

τριον περὶ τὰ λαμπρὰ καὶ λεῖα εἰς ἓν συνελθὸν τῆς ἔμπροσθεν εἰωθυίας ὄψεως ἐναντίαν[r] αἴσθησιν παρέχον[s] εἶδος ἀπεργάζηται.[t]

ΘΕΑΙ. Δύο γὰρ οὖν ἐστὶ ταῦτα θείας ἔργα[u] ποιήσεως αὐτό τε καὶ τὸ παρακολουθοῦν εἴδωλον ἑκάστῳ.

§. 112. ΞΕ. Τί δὲ τὴν ἡμετέραν τέχνην; ἆρ' οὐκ αὐτὴν μὲν οἰκίαν οἰκοδομικῇ φήσομεν ποιεῖν, γραφικῇ δέ τιν' ἑτέραν, οἷον ὄναρ ἀνθρώπινον ἐγρηγορόσιν ἀπειργασμένην;[v]

ΘΕΑΙ. Πάνυ μὲν οὖν.

ΞΕ. Οὐκοῦν καὶ τἆλλα οὕτω κατὰ[w] δύο διττὰ ἔργα τῆς ἡμετέρας αὖ ποιητικῆς πράξεως,[x] τὸ μὲν αὐτό, φαμὲν, αὐτουργική, τὸ δὲ εἴδωλον εἰδωλοποιική.

II. ii. 237. ΘΕΑΙ. Νῦν μᾶλλον ἔμαθον, καὶ τίθημι δύο διχῇ ποιητικῆς εἴδη· θεία μὲν καὶ ἀνθρωπίνη κατὰ θάτερον τμῆμα, κατὰ δὲ θάτερον τὸ μὲν αὐτῶν ὄν, τὸ δὲ ὁμοιωμάτων[y] τινῶν γέννημα.

ΞΕ. Τῆς τοίνυν εἰδωλουργικῆς ἀναμνησθῶμεν, ὅτι τὸ μὲν εἰκαστικόν, τὸ δὲ φανταστικὸν ἔμελλεν εἶναι γένος, εἰ τὸ ψεῦδος ὄντως ὂν ψεῦδος καὶ τῶν ὄντων ἕν τι φανείη πεφυκός.

φιλῇ F.—[q] ἂν om ΓΛΒCEFH.—[r] ἐναντίων H.—[s] παρέχον 𝔄ΔΠ: παρασχὸν *ς.—[t] ἀπεργάζεται F.—[u] ἔργον F.—[v] ἀπειργασμένην ἐγρηγορόσιν F.—[w] καὶ τὰ 𝔄ΔΠ.—[x] πράξεως...ποιητικῆς om F.—[y] ὁμοιωτάτων Δ.—[z] καταριθμήσωμεν Λ.—[a] αὐτὰ

§. 112. *τὴν ἡμετέραν τέχνην;*] Accusativus hic *τὴν ἡμ. τέχνην* ex eo genere est quod explicui ad Gorg. §. 66. Sequentia *ἆρ' οὐκ* etc. sic intellige: *nonne ipsam domum facere nos ædificandi arte dicimus, pingendi autem arte aliam aliquam, somnii instar humani vigilantibus exhibitam?* *ὄναρ ἀνθρώπινον* hoc dicit, quoniam *τὰ ἐν ὕπνοις εἴδωλα* supra dixit *δαιμονίᾳ μηχανῇ γεγονότα*. Heind.

καὶ τἆλλα] H. e. *etiam in ceteris*. In his autem ut ratio constet structuræ, quæ nulla prorsus in vulgata scriptura est, alius post *εἰδωλοποιϊκή* excidisse suspicetur *ποιεῖ*, alius corrigat *αὐτουργικῆς* et *εἰδωλοποιϊκῆς*, alius *αὐτουργικῇ* scripserit et *εἰδωλοποιϊκῇ*, ut ex prioribus subaudiatur *ποιεῖν (ἡμᾶς)*. Quod si in prægressis pro *οἰκοδομικῇ* legeretur *οἰκοδομικὴν* et deinde *γραφικὴν* pro *γραφικῇ*, in his conjicerem *αὐτουργικὴν* et *εἰδωλοποιϊκήν*: nunc certam medelam a libris Mss. expectandam judico. Ac ne proxima quidem satis sincera videntur; aptius certe vinctam orationem accusativi præberent pro nominativis, *θείαν μὲν καὶ ἀνθρωπίνην κατὰ θάτ τμ.* Quod deinde sequitur *γέννημα*, activa h. l. potestate usurpatur pro *γεννήσει*, ut *θρέμμα de nutrimento* Politic. p. 289. B. Ad hoc autem *γέννημα* genitivum utrumque pertinere, et *αὐτῶν* et *ὁμοιωμάτων τινῶν*, monere vix attinet. Heind.

τὸ μὲν, αὐτὸ, φαμὲν] Ita distinguit Ald. *τὸ μὲν, αὐτὸ φαμὲν αὐτουργική*. ego etiam post *αὐτὸ*, hoc sensu, *τὸ μὲν (ποιοῦν) αὐτὸ, φαμὲν αὐτουργική· τὸ δὲ (ποιοῦν) εἴδωλον, εἰδ.* Steph.

Dubito, an quis locum aliter intelligere possit, etiamsi *αὐτὸ* non dirimatur nota incisi a verbo *φαμέν*. Certe Ficinus eum ita intellexit, *ipsam quidem rem principali facultate, imaginem vero æmulatrice illa facientes*. Fisch.

ΘΕΑΙ. Ἦν γὰρ οὖν.

ΞΕ. Οὐκοῦν ἐφάνη τε καὶ διὰ ταῦτα δὴ καταριθμήσομεν[z] αὐτῷ[a] νῦν ἀναμφισβητήτως[b] εἴδη δύο;

ΘΕΑΙ. Ναί.

§. 113. ΞΕ. Τὸ τοίνυν φανταστικὸν αὖθις διορίζωμεν[c] δίχα; I. 267.

ΘΕΑΙ. Πῇ;

ΞΕ. Τὸ μὲν δι' ὀργάνων γιγνόμενον, τὸ δὲ αὐτοῦ παρέχοντος ἑαυτὸν ὄργανον τοῦ ποιοῦντος τὸ φάντασμα.

ΘΕΑΙ. Πῶς φής;

ΞΕ. Ὅταν, οἶμαι, τὸ σὸν σχῆμά τις τῷ ἑαυτοῦ χρώμενος σώματι προσόμοιον[d] ἢ φωνὴν φωνῇ φαίνεσθαι ποιῇ,[e] μίμησις τοῦτο τῆς φανταστικῆς μάλιστα κέκληταί που.

ΘΕΑΙ. Ναί.

ΞΕ. Μιμητικὸν δὴ[f] τοῦτο αὐτῆς προσειπόντες ἀπονειμώμεθα· τὸ δ' ἄλλο πᾶν ἀφῶμεν[g] μαλακισθέντες[h] καὶ παρέντες ἑτέρῳ συναγαγεῖν τε εἰς ἓν καὶ πρέπουσαν ἐπωνυμίαν[i] ἀποδοῦναί τιν' αὐτῷ. II. ii. 238.

ΘΕΑΙ. Νενεμήσθω, τὸ δὲ μεθείσθω.

ΞΕ. Καὶ μὴν καὶ τοῦτο ἔτι διπλοῦν,[j] ὦ Θεαίτητε, ἄξιον ἡγεῖσθαι· δι' ἃ δέ, σκόπει.

ΘΕΑΙ. Λέγε.

ΞΕ. Τῶν μιμουμένων οἱ μὲν εἰδότες ὃ μιμοῦνται τοῦτο πράττουσιν, οἱ δ' οὐκ εἰδότες. καίτοι τίνα μείζω διαίρεσιν ἀγνωσίας τε καὶ γνώσεως θήσομεν;

, αὐτὸ Δ : αὐτῷ *ϛ.—[b] ἀναμφισβήτως F, qui sic et alias.—[c] διορίζωμεν ꝺΓΔΛΠΒ Η, διωρίζομεν Σ, διωρίζομεν Υ : διορίζομεν ϛ.—[d] πρὸς ὅμοιον ꝺ.—[e] φαίνεσθαί ποι ΓΛΣΥF et pr E.—[f] δὲ F.—[g] ἀφέντες ΣΥ.—[h] μαλακισθέντας Η.—[i] οἰκονομίαν Λ.

αὐτῷ δύο εἴδη] αὐτῷ sc. τῷ ψεύδει, uod quum vere esse apparuerit, duo hæc bi genera requirit quasi τῆς εἰδωλουρικῆς. Sic tuendum nunc arbitror hunc uem dicunt dativum commodi, neque utandum in αὐτῷ (sc. τὸ εἰκαστικὸν et ὸ φανταστικόν). HEIND.

§. 113. ὅταν, οἶμαι, τὸ σὸν σχῆμά τις] *uando quis suo utens corpore facit, ut a figura similis s. assimilata appareat, quando quis suo corpore tuam figuram militudine repræsentet.* Alias sic potius, opinor, hæc dedisset scriptor: ὅταν τῷ σῷ σχήματί τις τὸ ἑαυτοῦ προσόμοιον ποιῇ, ut eadem de re de Rep. iii. p. 393. C. Οὐκοῦν τό γε ὁμοιοῦν ἑαυτὸν ἄλλῳ ἢ κατὰ φωνὴν ἢ κατὰ σχῆμα μιμεῖσθαί ἐστιν ἐκεῖνον ᾧ ἄν τις ὁμοιοῖ; hic propter verba τῷ ἑαυτοῦ χρώμενος σώματι conversa est oratio. HEIND.

ἢ φωνὴν φωνῇ φαίν.] H. e. ἢ τὴν σὴν φωνὴν χρώμενος τῇ ἑαυτοῦ φωνῇ προσόμοιον φαίνεσθαι ποιῇ. HEIND.

καίτοι τίνα μείζω διαίρεσιν ἀγνωσίας]

ΘΕΑΙ. Οὐδεμίαν.

ΞΕ. Οὐκοῦν τό γε[k] ἄρτι λεχθὲν εἰδότων ἦν μίμημα· τὸ γὰρ σὸν σχῆμα καὶ σὲ γιγνώσκων ἄν τις μιμήσαιτο.

ΘΕΑΙ. Πῶς δ' οὔ;

§. 114. ΞΕ. Τί δαὶ[l] δικαιοσύνης τὸ σχῆμα καὶ ὅλης συλλήβδην ἀρετῆς; ἆρ' οὐκ ἀγνοοῦντες μέν, δοξάζοντες δέ πῃ, σφόδρα ἐπιχειροῦσι[m] πολλοὶ τὸ δοκοῦν σφίσι τοῦτο ὡς ἐνὸν[n] αὐτοῖς προθυμεῖσθαι φαίνεσθαι[o] ποιεῖν, ὅτι μάλιστα ἔργοις τε καὶ λόγοις μιμούμενοι;

ΘΕΑΙ. Καὶ πάνυ γε πολλοί.

II. ii. 239. ΞΕ. Μῶν οὖν πάντες ἀποτυγχάνουσι τοῦ δοκεῖν εἶναι δίκαιοι μηδαμῶς ὄντες; ἢ τούτου πᾶν τοὐναντίον;

ΘΕΑΙ. Πᾶν.

ΞΕ. Μιμητὴν δὴ τοῦτόν γε ἕτερον ἐκείνου λεκτέον οἶμαι, τὸν ἀγνοοῦντα τοῦ γιγνώσκοντος.

ΘΕΑΙ. Ναί.

ΞΕ. Πόθεν οὖν ὄνομα ἑκατέρῳ τις αὐτῶν λήψεται πρέπον; ἢ δῆλον δὴ χαλεπὸν ὄν, διότι τῆς τῶν γενῶν κατ' εἴδη διαιρέσεως παλαιά τις, ὡς ἔοικεν, αἰτία τοῖς ἔμπροσθεν καὶ ἀσύννους παρῆν, ὥστε μηδ' ἐπιχειρεῖν μηδένα διαιρεῖσθαι·

—[j] διπλοῦν ἔτι Γ.—[k] τότε F.—[l] δὲ 𝔄ΓΔΛΠΒCH.—[m] ἐπιχειροῦσι σφόδρα Γ.—[n] ἑνὸς ΣΥ.—[o] φαίνεσθαι om ΣΥ et pr Ξ.—[p] ἀπορεῖν ς.—[q] καὶ F.—[r] εἰ omnes.—

Atqui quod majus discrimen ponemus quam quod interest inter inscientiam scientiamque? Qui sensus ut sponte hinc nasceretur, inserto ἢ expectabam, *καίτοι τίνα μείζω διαίρεσιν ἢ ἀγνωσίας τε καὶ γνώσεως θήσομεν;* Hoc tamen ipse, opinor, omisit Plato, ut in his Lysias orator p. 801. *οὐ γὰρ ἐλάττους τούτων ἡ πόλις τετίμηκε τῶν ἐπὶ Φυλὴν ἐλθόντων*, ubi Markland. volebat ἢ *τῶν ε. Φ. κ.* ut vitaretur ambiguum. Heind.

§. 114. *σφόδρα ἐπιχειροῦσι—προθυμεῖσθαι*] *σφόδρα* ad *προθυμεῖσθαι* pertinet. *ἐπιχειροῦσι προθυμεῖσθαι* verteris h. l. *instituunt studere.* Nam *ἐπιχειρεῖν* non magis h. l. quam usquam alibi meram facit verbi, cujus infinitivus additur, periphrasin, quamvis ita sæpe ponatur, ut pinguiore sermone vix satis exprimi queat. Ut quum dicitur *ἐπιχειρεῖς λέγειν* et similia. Jam conf. Sturzii Lex. Xenoph. v. i. p. 339. Heind.

διότι τῆς τῶν γενῶν κατ' εἴδη διαιρ.] *Propterea quod generum in partes divisionis vetus quædam atque incogitata causa superioribus extitit, ut ne conaretur quidem quisquam dividere* etc. Si sana sunt hæc, illud dici videtur: difficile esse, in hujusmodi divisione apta reperire vocabula, propterea quod antiqui, a quibus facta sint vocabula, in hac generum divisione non philosophicam rationem secuti sint, sed vetere quadam causa ducti eaque *ἀσύννῳ*, h. e. *rationis intelligentiæque experte*, ita ut multis in rebus de divisione illa ne cogitarint quidem. Justis itaque aptisque generum horum nominibus dialecticum sæpe destitui. Acute tamen pro *αἰτία* a Boeckhio meo olim conjectatum memini *ἀήθεια*, quo reposito sensus exit planissimus. In proximis deinde pro vulgato *ἀπορεῖν* e Cod. Paris. restitui *εὐπορεῖν*. Heind.

καθὸ δὴ τῶν ὀνομάτων ἀνάγκη μὴ σφόδρα εὐπορεῖν.[p] ὅμως δέ, κἂν[q] ᾖ[r] τολμηρότερον εἰρῆσθαι, διαγνώσεως ἕνεκα τὴν μὲν μετὰ δόξης μίμησιν δοξομιμητικὴν προσείπωμεν, τὴν δὲ μετ' ἐπιστήμης ἱστορικήν τινα μίμησιν.

ΘΕΑΙ. Ἔστω.

§. 115. ΞΕ. Θατέρῳ τοίνυν χρηστέον· ὁ γὰρ σοφιστὴς οὐκ ἐν τοῖς εἰδόσιν ἦν, ἀλλ' ἐν τοῖς μιμουμένοις δή.

ΘΕΑΙ. Καὶ μάλα.

ΞΕ. Τὸν δοξομιμητὴν δὴ σκοπώμεθα ὥς περ σίδηρον, εἴτε ὑγιὴς εἴτε διπλόην ἔτ'[s] ἔχων τινά ἐστιν ἐν ἑαυτῷ.[t]

ΘΕΑΙ. Σκοπῶμεν.

ΞΕ. Ἔχει τοίνυν καὶ μάλα συχνήν. ὁ μὲν γὰρ εὐήθης II. ii. 240.
αὐτῶν ἐστίν, οἰόμενος εἰδέναι ταῦτα ἃ δοξάζει· τὸ δὲ θα- I. 268.
τέρου[u] σχῆμα διὰ τὴν ἐν τοῖς λόγοις κυλίνδησιν ἔχει πολλὴν ὑποψίαν καὶ φόβον ὡς ἀγνοεῖ ταῦτα ἃ πρὸς τοὺς ἄλλους ὡς εἰδὼς ἐσχημάτισται.

ΘΕΑΙ. Πάνυ μὲν οὖν ἔστιν ἑκατέρου[v] γένους ὧν εἴρηκας.

ΞΕ. Οὐκοῦν τὸν μὲν ἁπλοῦν μιμητήν[w] τινα,[x] τὸν δὲ εἰρωνικὸν μιμητὴν θήσομεν;

ΘΕΑΙ. Εἰκὸς γοῦν.

ΞΕ. Τούτου δ' αὖ τὸ γένος ἓν ἢ δύο φῶμεν;

ΘΕΑΙ. Ὅρα σύ.

ΞΕ. Σκοπῶ, καί μοι διττὼ[y] καταφαίνεσθόν τινε· τὸν μὲν δημοσίᾳ τε καὶ μακροῖς λόγοις πρὸς πλήθη[z] δυνατὸν εἰρωνεύεσθαι καθορῶ,[a] τὸν δὲ ἰδίᾳ τε καὶ βραχέσι λόγοις ἀναγκάζοντα τὸν προσδιαλεγόμενον ἐναντιολογεῖν αὐτὸν αὑτῷ.[b]

ἔτ' add 𝔄ΔΠ.—[t] αὑτῶι 𝔄.—[u] θάτερον ΛBC.—[v] ἑκατέρους Δ et pr Π.—[w] μιμητήν om ΛBCH.—[x] τινα om ΣΥ.—[y] διττὸν ΓΛBCEF.—[z] πλήθει Ξ.—[a] : καθορῶ : Υ.—

§. 115. διπλόην] Tim. Lex. Διπλόον. ἐπὶ σιδήρου εἴρηται, ὅταν ἀπό τινος ἑνώσεως ἀπόλυσίς τις ᾖ εἰς παράθεσιν μᾶλλον ἕνωσιν· ἐπὶ δὲ ἤθους τροπικῶς τὸ μὴ ὑγιὲς δηλοῖ, ubi vid. Ruhnk. Usurpatur igitur vox de ferro, quod non ex uno cu[sum] est, sed commissuram habet alicubi, [u]t pro uno sit duplex. Heind.

κυλίνδησιν] Apud Platonem certe [i]n iis quidem locis, ubi legitur verbum [κα]λινδεῖσθαι, emendandum κυλινδεῖσθαι arbitror; præsertim quum optimi semper libri confirmare hanc scripturam reperiantur. ut Phædon. 30. pro καλινδουμένη etiam Cod. Aug. quem inspicere nobis, Reisquii nostri, beneficio, contigit, et cujus copiæ alio a nobis tempore promentur, habet κυλινδουμένη· et s. 83. ejusdem dialogi in eodem codice pro καλινδουμένην est κυλινδουμένην. Fisch.

ὧν εἴρηκας] Cod. Paris. ὡς εἴρηκας, uti vertit Ficinus: *ut narrasti*. Heind.

ΘΕΑΙ. Λέγεις ὀρθότατα.

§. 116. ΞΕ. Τίνα οὖν ἀποφαινώμεθα[c] τὸν μακρολογώτερον[d] εἶναι; πότερα πολιτικὸν[e] ἢ δημολογικόν;[f]

ΘΕΑΙ. Δημολογικόν.

ΞΕ. Τί δὲ τὸν ἕτερον ἐροῦμεν; σοφὸν ἢ σοφιστικόν;

ΘΕΑΙ. Τὸ[g] μέν που[h] σοφὸν ἀδύνατον, ἐπεί περ οὐκ
II. ii. 241. εἰδότα αὐτὸν ἔθεμεν· μιμητὴς δ' ὢν τοῦ σοφοῦ δῆλον ὅτι παρωνύμιον αὐτοῦ τι λήψεται, καὶ σχεδὸν ἤδη μεμάθηκα ὅτι τοῦτον δεῖ προσειπεῖν ἀληθῶς αὐτὸν ἐκεῖνον τὸν παντάπασιν ὄντως σοφιστήν.

ΞΕ. Οὐκοῦν συνδήσωμεν[i] αὐτοῦ, καθά περ ἔμπροσθεν, τοὔνομα συμπλέξαντες ἀπὸ τελευτῆς ἐπ' ἀρχήν;

ΘΕΑΙ. Πάνυ μὲν οὖν.

ΞΕ. Τὸ[j] δὴ τῆς ἐναντιοποιολογικῆς εἰρωνικοῦ μέρους

[b] αὐτῶν Π.—[c] ἀποφαινόμεθα Γ.—[d] μακρολογώτατον F.—[e] ποιητικὸν Γ.—[f] δημο-λογικόν om Υ.—[g] τὸ Stephanus: libri τόν.—[h] τοι Γ.—[i] συνδήσομεν 𝔄ΓΔ et pr Γ.

§. 116. *ἀποφαινώμεθα*] Bass. 1. 2. *ἀποφαινόμεθα*. Heind.

τὸν μέν που] For. *τὸ* scrib. quod jungatur cum infinitivo subaudito. Steph.

τὸ μέν που σοφὸν ἀδύνατον (sc. *εἰπεῖν*)] Nihil dubitavi, quod in Edd. legitur, *τὸν* mutare in *τό*. Phædr. §. 145. *Φ. Τίνας οὖν τὰς ἐπωνυμίας αὐτῷ νέμεις; Σ. Τὸ μὲν σοφὸν, ὦ Φαῖδρε, καλεῖν ἔμοιγε μέγα εἶναι δοκεῖ καὶ θεῷ μόνον πρέπειν· τὸ δὲ ἢ φιλόσοφον ἤ τι τοιοῦτον μᾶλλόν γε ἂν αὐτῷ καὶ ἁρμόττοι καὶ ἐμμελεστέρως ἔχοι.* Heind

ἤδη μεμάθηκα ὅτι] Ita Ald. et Bass. Nescio cur Steph. dederit *ὅ,τι*. Heind.

ἐναντιοποιολογικῆς] Hanc scripturam, quæ haud dubie vera est, Ficinus quoque expressit, *Sophista inquam est, qui in sermonibus disputantem cogit contradicere sibi ipsi, qui et Ironici pars est.* unde Stephano legisse videbatur *εἰρωνικοῦ μέρος*. Fisch.

τὸ δὴ τῆς ἐναντιοποιολογ.] Vulgo *Τὸν δὴ τῆς ἐναντ.* quum tamen supra §. 115. ipsum hominem non *μιμητικὸν* dixerit, sed *μιμητὴν*, recteque dicatur *τὸ μιμητικὸν* (pars *μιμητικὴ*) *τῆς ἐναντιωποιολογικῆς*, vix item recte *ὁ μιμητικὸς τῆς ἐναντιοπ.* Certe *μιμητικὸς τῆς ἐναντιοποιολογικῆς* foret is, *qui imitari potest* *τὴν ἐναντιοπ.* velut *διδασκαλικὸς τῆς αὑτοῦ σοφίας* Euthyphr. p. 3. C. is est *qui suam docere artem potest*. Sic Xenoph. Œcon. xiii. 5. *ἀρχικὸς ἀνθρώπων, δεσποτικὸς ἀνθρώπων*. Deinde si *τὸν* retineas, neutiquam sermonis cohæret constructio. Correxi igitur cum Schleierm. *τὸ* et leneni satis structuræ *ἀνακολουθίαν* agnosco, ut quum post hæc, *Τὸ δὴ τῆς ἐναντ.—μόριον* ita fere pergere voluisset, *τοῦτο ὃς ἂν φῇ τὸ ὄντως σοφιστικὸν εἶναι*, statim Homericum loquendi genus adhibens ad ipsum Sophisten sermonem reflexerit. Nam sumpta sunt hæc *ταύτης τῆς γενεῆς τε καὶ αἵματος* ex Iliad. Z. 211. Jam verba hunc in modum inter se pendent: *τὸ δὴ μιμητικὸν* (sc. *μόριον*, quod post subjicitur) *τῆς ἐναντιοποιολογικῆς εἰρωνικοῦ μέρους τῆς δοξαστικῆς, τοῦ φανταστικοῦ γένους ἐν λόγοις τὸ θαυματοποιικὸν μόριον ἀπὸ τῆς εἰδωλοποιϊκῆς τῆς ποιήσεως οὐ θεῖον ἀλλ' ἀνθρωπικὸν ἀφωρισμένον*—. Jam miro artificio a fine ad initium (*ἀπὸ τελευτῆς ἐπ' ἀρχὴν*) in unum colligatas videmus cunctas proximæ divisionis partes, quæ ita se excipiant, ut *ποιητικῆς* pars esset *ἡ εἰδωλοποιϊκή*, *εἰδωλοποιϊκῆς ἡ φανταστική*, hujus *ἡ μίμησις*, *μιμήσεως ἡ δοξομιμητική*, quam h. l. *δοξαστικὴν* appellat, *δοξαστικῆς εἰρωνικὸν μέρος*, hujus denique *τὸ ἐναντιοποιολογικὸν* s. *τὸ τῆς ὄντως σοφιστικῆς γένος*.—Pro *ἐναντιοποιολογικῆς*, quod habet Ald. male Bass. *ἐναντιολογικ*

τῆς δοξαστικῆς μιμητικόν, τοῦ φανταστικοῦ γένους ἀπὸ τῆς εἰδωλοποιικῆς οὐ θεῖον ἀλλ' ἀνθρωπικὸν τῆς ποιήσεως ἀφωρισμένον ἐν λόγοις τὸ θαυματοποιικὸν[k] μόριον, ταύτης τῆς[l] γενεᾶς τε καὶ αἵματος ὃς ἂν φῇ τὸν ὄντως σοφιστὴν εἶναι, τἀληθέστατα, ὡς ἔοικεν, ἐρεῖ.

ΘΕΑΙ. Παντάπασι μὲν οὖν.

—[j] τὸ Schleiermacherus: libri τόν.—[k] θαυματοποιηκὸν 𝔄Δ, θαυμαστοποιϊκὸν ΓΛΞΣ ϒBCFH.—[l] τῆς om Λ.

neque rectius Ald. ἀφωρισμένου. Sed ἀνθρωπικὸν dubito an usquam alias in Platonicis libris pro ἀνθρωπινὸν reperiatur. Heind.

ΠΟΛΙΤΙΚΟΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΘΕΟΔΩΡΟΣ, ΞΕΝΟΣ,
ΣΩΚΡΑΤΗΣ Ο ΝΕΩΤΕΡΟΣ.

ARGUMENTUM.

Thesis hujus dialogi est, ut Politicæ cum definitio, tum veræ causæ atque origo, modus denique ac optima forma declaretur. Definitionem varie indagat Philosophus, quam tandem ita colligit, Esse nimirum scientiam seu disciplinam ad hoc institutam, ut regat cœtum et frequentiam hominum, qui inter ceteras animantes maxime sunt ἀγελαῖοι. Hujus scientiæ custodem ait esse Regem, quem vocat cum Homero pastorem populorum, illum nimirum, qui sit ingenio ad imperandum et leges prudenter accommodandas apto. Civilis istius disciplinæ veram originem causamque commemorat: Deum scilicet, qui singulari sua providentia hominibus invigilat, tribuisse illis hæc adjumenta atque præsidia adversus eas difficultates, quibus hæc vita circumsessa est. Itaque, re paulo altius repetita, hominem a Deo e terra conditum esse ait, et primum felicissima et vere aurea conditione, quæ tamen ex optimo statu in deteriorem prolapsa fuerit: ac proinde humanum genus, cum in has angustias deciderit, adjumentis opus habere ad illa ἀναρμοστίας (qua ipsius animus involvatur, et universa vita referta sit) incommoda propulsanda. His explicatis, imperandi modum et rationem præscribit, et docet, non esse infinitum Regis seu Politici imperium, ut pro arbitratu quidvis agat; sed oportere, ut pie, juste, sapienter imperet, ex legum præscripto: non ut summo strictoque jure agat, et eodem modo peræque leges omnes omnibus accommodet: sed ut habita rerum, personarum, locorum, temporum ratione legum mentem finemque moderetur.

Π Ο Λ Ι Τ Ι Κ Ο Σ.*

§. 1. Ἦ[a] πολλὴν χάριν ὀφείλω σοι τῆς Θεαιτήτου γνωρίσεως, ὦ Θεόδωρε, ἅμα καὶ τῆς τοῦ ξένου. Steph. II. 257. | Bek. II. ii. 245.

ΘΕΟ. Τάχα δέ γε,[b] ὦ Σώκρατες, ὀφειλήσεις ταύτης[c] τριπλασίαν, ἐπειδὰν τόν τε πολιτικὸν[d] ἀπεργάσωνταί σοι καὶ τὸν φιλόσοφον.

ΣΩ. Εἶεν· οὕτω τοῦτο, ὦ φίλε Θεόδωρε, φήσομεν[e] ἀκη-

CODICES TREDECIM,
𝔄ΓΔΛΞΠΣΥBCEFH.

[a] ἦ om ΣF et pr CE.—[b] γε om 𝔄ΔΛΠ.—[c] ταύτην ΣΥΗ et pr Ξ.—[d] πολεμικὸν Υ

* Etiam hujus dialogi Index videtur, ut ad Indicem Sophistæ ostendimus, ab Thrasyllo profectus esse. v. Diog. Laert. iii. 58. Certe et a scriptoribus, et a grammaticis, antiquis dicitur simpliciter, vel ὁ Πολιτικὸς, ut a Polluce vii. 10. Athenæo iii. 21. Eusebio Præp. Evang. xi. 32. p. 559. et Clemente Alex. Strom. i. p. 344. 424. 427. ii. p. 440. vel Πολιτικὸς, ut a Galeno de dogmat. Hippocr. et Plat. 9. t. i. p. 334. et a Suida in v. Ἀπέσβη· vel etiam Πολιτικὰ, ut a Suida in v. Μεταποιεῖσθαι. Et apud Galenum περὶ διαφ. σφυγμῶν 4. t. iii. p. 47. Bas. leguntur hæc, ἔγραψα δ' ἂν ἴσως τὸ παράδειγμα τοῦ τοιούτου τρόπου τῶν ὅρων, εἰ μὴ τὰ Πλάτωνος ἦν δύο βιβλία πᾶσι γνώρισμα (leg. γνώριμα), καθ' ἃ διδάσκει τε καὶ γυμνάζει, τῇ διαιρετικῇ μεθόδῳ χρωμένους ποιεῖσθαι τοὺς ὁρισμούς. ἐπιγράφει δὲ τῷ βιβλίῳ τούτῳ (leg. τῶν βιβλίων τούτων) τῷ μὲν ἑτέρῳ Σοφιστὴς, τὸ δ' (leg. τῷ δ') ἑτέρῳ Πολιτικός. add. Galen. θεραπευτ. μεθ. 1. t. iv. p. 38. et ad Lycum t. v. p. 332. Fisch.

In Ald. Bas. 1. 2. est τὰ τοῦ Διαλόγου πρόσωπα· recte, quum ipse dialogus sit λογικὸς, non πολιτικὸς, etiam Albino auctore in Isagoga §. 5. Sed Steph. τ. τ. Δ. Πολιτικοῦ πρ. edidisse videtur, ut Πολιτικὸς esset ipsius dialogi Index, non nomen, quo declararetur, quo e genere dialogus esset: ut in alius dialogi Indice τὰ τοῦ Διαλόγου Παρμενίδου πρόσωπα. Sed hæc et alia hujus generis additamenta Grammaticis debentur, non ipsum Platonem habent auctorem. Fisch.

εἶεν] Schol. Aug. εἶεν· ἄγε δή. Eadem verba Suidas habet, sed addit etiam hæc: συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα· quæ verba transtulit e Tim. Lex. Eadem præcipit Schol. August. Eurip. ad Phœn. 856. εἶεν· διῃρημένως ἀναγνωστέον. ἔστι δὲ ἐπίῤῥημα,

κότες εἶναι τοῦ[f] περὶ λογισμοὺς καὶ τὰ γεωμετρικὰ κρα-
τίστου;[g]

ΘΕΟ. Πῶς, ὦ Σώκρατες;

ΣΩ. Τῶν ἀνδρῶν ἕκαστον θέντος[h] τῆς ἴσης ἀξίας, οἳ τι
τιμῇ πλέον[i] ἀλλήλων[j] ἀφεστᾶσιν ἢ κατὰ τὴν ἀναλογίαι
τὴν τῆς ὑμετέρας[k] τέχνης.

ΘΕΟ. Εὖ γε νὴ τὸν ἡμέτερον θεόν, ὦ Σώκρατες, τὸι
Ἄμμωνα, καὶ δικαίως, καὶ πάνυ μὲν οὖν μνημονικῶς ἐπέ-
πληξάς μοι τὸ περὶ τοὺς λογισμοὺς[l] ἁμάρτημα. καὶ σὲ
μὲν ἀντὶ τούτων εἰσαῦθις μέτειμι· σὺ δ' ἡμῖν, ὦ ξένε, μη-
II. ii. 246. δαμῶς ἀποκάμῃς χαριζόμενος, ἀλλ' ἑξῆς, εἴτε τὸν πολιτι-
κὸν ἄνδρα πρότερον εἴτε τὸν φιλόσοφον προαιρεῖ, προελόμε-
νος διέξελθε.

ΞΕ. Ταῦτ', ὦ Θεόδωρε, ποιητέον· ἐπεί περ ἅπαξ γε[m]
ἐγκεχειρήκαμεν,[n] οὐκ[o] ἀποστατέον πρὶν ἂν αὐτῶν[p] πρὸς τὸ[q]
τέλος ἔλθωμεν. ἀλλὰ γὰρ[r] περὶ Θεαιτήτου τοῦδε τί χρὴν[s]
δρᾶν με;

ΘΕΟ. Τοῦ πέρι;

ΞΕ. Διαναπαύσωμεν αὐτὸν μεταλαβόντες αὐτοῦ τὸι
συγγυμναστὴν τόνδε Σωκράτη;[t] ἢ πῶς συμβουλεύεις;

ΘΕΟ. Καθά περ εἶπες, μεταλάμβανε·[u] νέω γὰρ ὄντε
ῥᾷον οἴσετον πάντα πόνον ἀναπαυομένω.

ΣΩ. Καὶ μὴν κινδυνεύετον, ὦ ξένε, ἄμφω ποθὲν ἐμοὶ
ξυγγένειαν[v] ἔχειν τινά. τὸν μέν γε οὖν ὑμεῖς κατὰ τὴν τοῦ
προσώπου φύσιν ὅμοιον ἐμοὶ φαίνεσθαί φατε, τοῦ δ' ἡμῖν ἡ
II. 258. κλῆσις ὁμώνυμος οὖσα καὶ ἡ πρόσρησις παρέχεταί τινα οἰ-
κειότητα. δεῖ δὴ τούς γε[w] ξυγγενεῖς[x] ἡμᾶς ἀεὶ[y] προθύμως
διὰ λόγων ἀναγνωρίζειν. Θεαιτήτῳ μὲν οὖν αὐτός τε συν-

οὗ
ει, ς in mg, F.—[e] ἐφήσομεν Γ.—[f] τοι E, τοι ΓΛΣΥBCH.—[g] καὶ κρατίστου H.—[h] θέντος Heindorfius : libri θέντες.—[i] πλεῖον F.—[j] ἀλλήλων om 𝔄ΔΠ.—[k] ἡμετέρας C.—[l] λόγους E.—[m] γε om H.—[n] ἐγκεχειρήκαμεν 𝔄ΓΔΛΞΠΣΥBCH : ἐνεχειρήσαμεν *ς.—[o] ante οὐκ omisi καὶ cum 𝔄ΔΠ.—[p] αὐτῷ Γ.—[q] τὸ om ΓΣΥ.—[r] γὰρ om F.—[s] χρὴ 𝔄Γ.—[t] σωκράτη 𝔄ΓΔΛΞΣΥBCFH : Σωκράτην ς.—[u] μεταλάμβανε ...] hæc

τοῦ μὲν προτέρου λόγου ληκτικὸν, ἑτέρου δὲ ἀρκτικόν. Fisch.

μέτειμι] Bas. 1. 2. μέθειμι. vitiose. Æque mendose paullo post in Bas. 2. scriptum est ἐγκεχειρήσαμεν. Certe scribi debebat ἐγκεχειρήκαμεν. Fisch.

τούς τε] Steph. 'For. τούς γε.' verissime. Fisch.

μιξα χθὲς διὰ λόγων καὶ νῦν ἀκήκοα ἀποκρινομένου,[z] Σωκράτους δὲ οὐδέτερα· δεῖ δὲ σκέψασθαι καὶ τοῦτον. μοὶ μὲν οὖν εἰσαῦθις,[a] σοὶ δὲ νῦν ἀποκρινέσθω.

ΞΕ. Ταῦτ' ἔσται. Ὦ Σώκρατες, ἀκούεις δὴ Σωκρά- II. ii. 247.
τους;

ΝΕΟΣ ΣΩ. Ναί.

ΞΕ. Συγχωρεῖς οὖν οἷς λέγει;

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Οὐ τὰ σὰ κωλύειν φαίνεται, δεῖ[b] δὲ ἴσως ἔτι ἧττον τἀμὰ διακωλύειν. ἀλλὰ δὴ μετὰ τὸν σοφιστὴν ἀναγκαῖον, ὡς ἐμοὶ φαίνεται, τὸν πολιτικὸν[c] ἄνδρα διαζητεῖν[d] ῷν. [§. 2.] Καί μοι λέγε, πότερον τῶν ἐπιστημόνων τιν' ἡμῖν καὶ τοῦτον θετέον, ἢ πῶς;

ΝΕ. ΣΩ. Οὕτως.

ΞΕ. Τὰς ἐπιστήμας ἄρα διαληπτέον, ὥς περ ἡνίκα τὸν πρότερον ἐσκοποῦμεν;

ΝΕ. ΣΩ. Τάχ' ἄν.

ΞΕ. Οὐ μὲν δὴ κατὰ[e] ταὐτόν γε, ὦ Σώκρατες, φαίνεταί μοι τμῆμα.

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Κατ' ἄλλο.

ΝΕ. ΣΩ. Ἔοικέ γε

ΞΕ. Τὴν οὖν πολιτικὴν ἀτραπὸν πῇ τις ἀνευρήσει;[f] δεῖ

on alteri dant ΓΞΕ.—[v] ξ. ΞΣΥ.—[w] γε Ξ et corr Γ: τε *ς.—[x] ξ. ΛΒCΗ.—[y] αἰεὶ ΛΠ.—[z] ἀποκριναμένου ℨΔΠ, ἀποκρινόμενον F.—[a] καὶ αὖθις ΣΥ.—[b] δεῖ...τὸν om pr Ι.—[c] πολιτικὸν τὸν ℨΔ et pr Π, τὸν πολιτικὸν τὸν ΛΕΗ et pr ΓΒ.—[d] ζητεῖν Γ.—

§. 2. δὴ κατὰ] Bas. 2. δὴ καί. Fisch. ΞΕΝ. Κατ' ἄλλο. ΝΕΟΣ ΣΩ. Ἔοικέ γε. ΞΕΝ. Τὴν οὖν] Scribe: Κατ' ἄλλο, ἔοικέ γε· τὴν οὖν π. Frequenter nec invenuste brevi hujusmodi responso dditur ἔοικέ γε. Charm. p. 175. A. Πῶς οὖν ὠφέλιμος ἔσται ἡ σωφροσύνη;—Οὐδαμῶς, ὦ Σώκρατες, ἔοικέ γε. Sic ἰκός γε. Lach. p. 184. E. Ἆρα τοῖς πλείοσιν ἂν ἡμῶν πείθοιο, ἢ 'κείνῳ ὅστις —'Εκείνῳ εἰκός γε, ὦ Σώκρατες. Theæt. p. 203. C. Heusd.

πολιτικὴν ἀτραπὸν] Eleganter hanc de Politico disputationem πολιτικὴν ἀτραπὸν ocat: qua metaphora varia subinde ratione utitur. Lyside p. 213. E. Ἀλλὰ ταύτῃ μὲν μηκέτι ἴωμεν· (καὶ γὰρ χαλεπή τις μοὶ φαίνεται, ὥσπερ ὁδὸς, ἡ σκέψις) ᾗ δὲ ἐτράπημεν, δοκεῖ μοι χρῆναι ἰέναι, σκοποῦντα τὰ κατὰ τοὺς ποιητάς. Critia init. Ὡς ἄσμενος, ὦ Σώκρατες, οἷον ἐκ μακρᾶς ἀναπεπαυμένος ὁδοῦ, νῦν οὕτως ἐκ τῆς τοῦ λόγου διαπορείας ἀγαπητῶς ἀπήλλαγμαι. Soph. 231. C. Πρῶτον δὴ στάντες οἷον ἐξαναπνεύσωμεν· καὶ πρὸς ἡμᾶς αὐτοὺς διαλογισώμεθα ἅμα ἀναπαυόμενοι —Rep. vii. 532. E. Οἷ ἀφικομένῳ ὥσπερ ὁδοῦ ἀνάπαυλα ἂν εἴη, καὶ τέλος τῆς πορείας. Sic item Themist. Orat. ii. p. 38. B. Μικρὸν ἐπιστήσαντες, εἰ δοκεῖ, καὶ διαναπαυσάμενοι ἐκ τοῦ δρόμου, σκοπῶμέν τοι — Max. Tyr. Diss. xxv. init.

γὰρ αὐτὴν ἀνευρεῖν, καὶ χωρὶς ἀφελόντας ἀπὸ τῶν ἄλλων ἰδέαν αὐτῇ μίαν ἐπισφραγίσασθαι,[g] καὶ ταῖς ἄλλαις ἐκ-
II. ii. 248. τροπαῖς ἓν ἄλλο εἶδος ἐπισημηναμένους[h] ἁπάσας[i] τὰς ἐπιστήμας ὡς οὔσας δύο εἴδη διανοηθῆναι τὴν ψυχὴν ἡμῶν ποιῆσαι.[j]

ΝΕ. ΣΩ. Τοῦτ' ἤδη[k] σόν, οἶμαι,[l] τὸ ἔργον, ὦ ξένε, ἀλλ' οὐκ ἐμὸν γίγνεται.

ΞΕ. Δεῖ γε μήν, ὦ Σώκρατες, αὐτὸ εἶναι καὶ σόν, ὅταν ἐμφανὲς ἡμῖν γένηται.

ΝΕ. ΣΩ. Καλῶς εἶπες.

ΞΕ. Ἆρ' οὖν οὐκ[m] ἀριθμητικὴ μὲν καί τινες ἕτεραι ταύτῃ συγγενεῖς τέχναι ψιλαὶ τῶν πράξεών εἰσι, τὸ δὲ γνῶναι παρέσχοντο[n] μόνον;

ΝΕ. ΣΩ. Ἔστιν οὕτως.

ΞΕ. Αἱ δέ γε περὶ τεκτονικὴν αὖ καὶ σύμπασαν χειρουργίαν ὥς περ ἐν ταῖς πράξεσιν ἐνοῦσαν σύμφυτον τὴν ἐπιστήμην κέκτηνται,[o] καὶ συναποτελοῦσι τὰ γιγνόμενα ὑπ' αὐτῶν σώματα, πρότερον[p] οὐκ ὄντα.

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Ταύτῃ τοίνυν συμπάσας ἐπιστήμας διαίρει, τὴν μὲν πρακτικὴν προσειπών, τὴν δὲ μόνον γνωστικήν.

ΝΕ. ΣΩ. Ἔστω σοι ταῦθ' ὡς μιᾶς ἐπιστήμης τῆς ὅλης εἴδη δύο.

ΞΕ. Πότερ'[q] οὖν τὸν πολιτικὸν καὶ βασιλέα καὶ δεσπότην καὶ ἔτ' οἰκονόμον θήσομεν ὡς ἓν πάντα ταῦτα[r] προσ-
II. ii. 249. αγορεύοντες, ἢ τοσαύτας τέχνας αὐτὰς εἶναι φῶμεν,

[e] καὶ ΓΛΕFΗ.—[f] ἀνευρήσει Ξ et corr ΓΒ, ἂν εὑρήσῃ 𝔄ΔΠ : ἂν εὑρήσει *ς.—[g] ἀπο- σφραγίσασθαι (η α supra) Γ.—[h] ἐπισημαινομένους Ξ, ἐπισημαινομένους ΣΥ, ἐπισημηνάμενον Γ.—[i] πάσας 𝔄ΔΠ.—[j] καὶ ποιῆσαι Γ, πεῖσαι ΣΥ et pr fortasse Ξ.—[k] τουτὶ (ι a correctore addito) Υ.—[l] οἶμαι σὸν ἤδη Λ.—[m] οὐκ et μὲν om Λ.—[n] παρέσχον (ται supra) Ε, παρέχοντο 𝔄 : παχονται ς.—[o] κέκτηται Γ.—[p] πρότερον om ΣΥ.—[q] πότερ' F : πότερον *ς.—[r] ταῦτα ante πάντα ponit F, om Π.—[s] ἐρρήθη 𝔄ΓΔΛΞΠΒCΗ et corr Σ : ἐῤῥέθη *ς.

'Αναλαβόντες αὖθις αὖ τοὺς περὶ ἔρωτος λόγους, ὥσπερ ἀρχὴν μακρᾶς ὁδοῦ, μετ' ἀνάπαυλαν βαδίζωμεν ἐπὶ τὸ τέλος, ἡγεμόνας παρακαλέσαντες τῆς ὁδοῦ 'Ερμῆν κ. τ. λ. Heusd.

ἆρ' οὖν οὐκ ἀριθμητικὴ κ. τ. λ.] Hunc locum transtulit Stobæus in Eclog. Eth. c. 59. p. 382. Fisch.

οὕτω] Stob. οὕτως—ξύμπασαν—ξύμφυτον—ξυμπάσας· quæ verborum scriptura sane est 'Αττικωτέρα. Fisch.

ὅσα περ ὀνόματα ἐρρήθη;[s] Μᾶλλον δέ μοι δεῦρο ἕπου.

ΝΕ. ΣΩ. Πῇ;

ΞΕ. Τῇδε. εἴ τῳ τις τῶν δημοσιευόντων ἰατρῶν ἱκανὸς[t] ξυμβουλεύειν ἰδιωτεύων αὐτός, ἆρ' οὐκ ἀναγκαῖον αὐτῷ προσαγορεύεσθαι τοὔνομα τῆς τέχνης ταὐτὸν ὅ[u] περ ᾧ συμβουλεύει; II. 259.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Τί δ'; ὅς τις[v] βασιλεύοντι χώρας ἀνδρὶ παραινεῖν δεινὸς ἰδιώτης ὢν αὐτός, ἆρ' οὐ φήσομεν ἔχειν αὐτὸν τὴν ἐπιστήμην ἣν ἔδει τὸν ἄρχοντα αὐτὸν κεκτῆσθαι;

ΝΕ. ΣΩ. Φήσομεν.

ΞΕ. Ἀλλὰ μὴν ἥ γε[w] ἀληθινοῦ βασιλέως βασιλική;[x]

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Ταύτην δὲ ὁ κεκτημένος οὐκ, ἄν τε ἄρχων ἄν τ' ἰδιώτης ὢν τυγχάνῃ, πάντως κατά γε τὴν τέχνην αὐτὴν βασιλικὸς ὀρθῶς προσρηθήσεται;[y]

ΝΕ. ΣΩ. Δίκαιον γοῦν.

ΞΕ. Καὶ μὴν[z] οἰκονόμος γε[a] καὶ δεσπότης ταὐτόν.

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Τί δέ; μεγάλης σχῆμα οἰκήσεως ἢ σμικρᾶς αὖ πόλεως ὄγκος μῶν τι[b] πρὸς ἀρχὴν διοίσετον;

ΝΕ. ΣΩ. Οὐδέν.

ΞΕ. Οὐκοῦν, ὃ νῦν δὴ[c] διεσκοπούμεθα,[d] φανερὸν ὡς ἐπιστήμη μία περὶ πάντ' ἐστὶ ταῦτα. ταύτην δὲ εἴτε βασιλικὴν εἴτε πολιτικὴν εἴτε οἰκονομικήν[e] τις ὀνομάζει, μηδὲν αὐτῷ διαφερώμεθα.[f] II. ii. 250.

—[t] ἱκανῶς Δ et pr Γ.—[u] ὃ add 𝔄ΔΞΠΣΥ.—[v] τίς Σ et pr Υ.—[w] εἴγε ΣΥ.—[x] βασιλικὴν Υ.—[y] προσαγορευθήσεται ΓΛCH et corr B.—[z] καί γε μὴν Γ.—[a] τε ΓΞ.—[b] τι 𝔄ΔΞΠ, om ΓΛΣΥBCEF: δὴ ς.—[c] δὴ om Σ.—[d] ἐσκοπούμεθα F.—[e] οἰκονομητικὴν

ἥ γε ἀληθ. βασ.] Laudat hunc locum Clemens Alex. ii. p. 438. Pot. ita, Ὥστε ἡ τοῦ ἀληθινοῦ βασιλέως ἐπιστήμη, βασιλική· καὶ ὁ ταύτην κεκτημένος, ἐάν τε ἄρχων, ἐάν τε ἰδιώτης, ὢν τυγχάνῃ, πάντως κατά γε τὴν τέχνην αὐτὴν, βασιλικὸς ὀρθῶς προσαγορευθήσεται. Affert etiam eodem loco, ex hoc ipso dialogo, ista, Τὸ μὲν ὀρθὸν ἂν εἴη νόμιμον, καὶ νόμος φύσει ὢν ὁ λόγος ὁ ὀρθὸς, καὶ οὐκ ἐν γράμμασιν, οὐδὲ ἑτέροις· ὅ τε Ἐλεάτης ξένος, τὸν βασιλικὸν καὶ πολιτικὸν ἄνδρα, νόμον ἔμψυχον ἀποφαίνεται. Fisch.

νῦν δὴ] Timæus Νῦν δή· πρὸ ὀλίγου χρόνου ἡμῖν· ubi v. Ruhnquenius: qui τὸ ἡμῖν delendum censebat. recte. At fieri tamen potest, ut glossa sumta sit e loco aliquo, cujus sententia Timæum jusserit addere pronomen illud: fortassis e §. 16. ὅπερ ἐρρήθη νῦν δή. Fisch.

ΝΕ. ΣΩ. Τί γάρ;

§. 3. ΞΕ. Ἀλλὰ μὴν τόδε γε[g] δῆλον, ὡς βασιλεὺς ἅπας χερσὶ καὶ ξύμπαντι τῷ σώματι σμίκρ' ἅττα εἰς τὸ κατέχειν τὴν ἀρχὴν δύναται πρὸς τὴν τῆς ψυχῆς σύνεσιν καὶ ῥώμην.

ΝΕ. ΣΩ. Δῆλον.

ΞΕ. Τῆς δὴ γνωστικῆς μᾶλλον ἢ τῆς χειροτεχνικῆς καὶ ὅλως πρακτικῆς[h] βούλει τὸν βασιλέα φῶμεν οἰκειότερον εἶναι;

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Τὴν[i] ἄρα πολιτικὴν καὶ πολιτικὸν καὶ βασιλικὴν καὶ βασιλικὸν εἰς ταὐτὸν[j] ὡς ἓν πάντα ταῦτα[k] ξυνθήσομεν;

ΝΕ. ΣΩ. Δῆλον.

ΞΕ. Οὐκοῦν πορευοίμεθ' ἂν ἑξῆς, εἰ[l] μετὰ ταῦτα τὴν γνωστικὴν διορίζοίμεθα;

ΝΕ. ΣΩ. Πάνυ γε.

ΞΕ. Πρόσεχε δὴ τὸν νοῦν, ἂν ἄρα ἐν αὐτῇ τινὰ διαφυὴν[m] κατανοήσωμεν.

ΝΕ. ΣΩ. Φράζε ποίαν.

II. ii. 251. ΞΕ. Τοιάνδε. λογιστική πού τις ἡμῖν ἦν[n] τέχνη.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Τῶν γνωστικῶν γε, οἶμαι, παντάπασι τεχνῶν.

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;

ΞΕ. Γνούσῃ[o] δὴ[p] λογιστικῇ[q] τὴν ἐν τοῖς ἀριθμοῖς δια-

ΞΥ et corr Σ.—[f] διαφερόμεθα Γ.—[g] γε om E.—[h] πραγματικῆς Υ et pr Σ.—[i] τί Π.—[j] αὐτὸν Δ.—[k] πάντα ταῦτα ℨΓΔΠΣ : ταῦτα πάντα *ς.—[l] εἰ add ℨΓΔΛΞΠBCEF H, εἰ εἰς addit Υ.—[m] διαφυὴν corr ΠΕ : διαφυγὴν *ς.—[n] ἦν ἡμῖν Γ.—[o] γνώσει C

§. 3. ἅττα] Ald. Bas. 1. 2. ἄττα. male. nam ἅττα dicitur pro τινα, quum ἄττα sit ἅτινα. vid. ad Phædon. iii. et ad Soph. s. 30. Fisch.

ἑξῆς] Partic. εἰ videtur legisse Fic. post ἑξῆς, ubi aptissimum locum habet. Steph. Vertit enim, Ficin. *Atqui ordine ad sequentia pergemus, maxime si speculatricem scientiam distinguemus.* Neque male existimabat idem Stephanus, particulam εἰ ibi aptissimum habere locum. Fisch.

γνούσῃ] Bas. 2. γνώσει· ut jam Ficinus legit, qui tamen, ut ista lectio quodammodo ferri posset, etiam Dat. γνωστικῇ in nominat. γνωστικὴ mutasse videtur, et verba μῶν τι—δώσομεν sejunxit a verbis γνώσει δὴ λογιστικὴ — διαφοράν. Vertit enim, *Cognoscet profecto computandi facultas differentiam numerorum. Num aliud huic opus attribuimus*—. At non opus est his ambagibus, præsertim quum sic aspera fiat oratio. Præstat igitur retinere lectionem alteram. Fisch.

φορὰν μῶν τι πλέον ἔργον δώσομεν ἢ τὰ γνωσθέντα κρῖναι;[r]

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Καὶ γάρ[s] ἀρχιτέκτων γε πᾶς οὐκ αὐτὸς ἐργατικός,[t] ἀλλὰ ἐργατῶν ἄρχων.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Παρεχόμενός γέ που γνῶσιν, ἀλλ' οὐ χειρουργίαν.

ΝΕ. ΣΩ. Οὕτως.

ΞΕ. Δικαίως δὴ μετέχειν ἂν λέγοιτο τῆς γνωστικῆς I. 260.
ἐπιστήμης.

ΝΕ. ΣΩ. Πάνυ γε.

ΞΕ. Τούτῳ[u] δέ γε, οἶμαι,[v] προσήκει κρίναντι μὴ τέλος ἔχειν μηδ' ἀπηλλάχθαι, καθάπερ ὁ λογιστὴς[w] ἀπήλλακτο, προστάττειν δὲ ἑκάστοις τῶν ἐργατῶν τό γε πρόσφορον, ἕως ἂν ἀπεργάσωνται[x] τὸ προσταχθέν.

ΝΕ. ΣΩ. Ὀρθῶς. II. ii. 252.

ΞΕ. Οὐκοῦν γνωστικαὶ μὲν αἵ τε[y] τοιαῦται ξύμπασαι[z] καὶ ὁπόσαι συνέπονται τῇ λογιστικῇ,[a] κρίσει δὲ[b] καὶ ἐπιτάξει διαφέρετον ἀλλήλοιν τούτω τὼ γένεε;[c]

ΝΕ. ΣΩ. Φαίνεσθον.

ΞΕ. Ἆρ' οὖν συμπάσης τῆς γνωστικῆς εἰ τὸ μὲν ἐπιτακτικὸν μέρος, τὸ δὲ κριτικὸν διαιρούμενοι προσείποιμεν,[d] ἐμμελῶς ἂν φαῖμεν διῃρῆσθαι;

ΝΕ. ΣΩ. Κατά γε τὴν ἐμὴν δόξαν.

ΞΕ. Ἀλλὰ μὴν τοῖς γε κοινῇ τι πράττουσιν ἀγαπητὸν[e] ὁμονοεῖν.

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;

ΞΕ. Τούτου τοίνυν μέχρι περ ἂν αὐτοὶ κοινωνῶμεν, ἐατέον τά γε τῶν ἄλλων δοξάσματα χαίρειν.

§. 4. ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Φέρε δή, ταύταιν ταῖν τέχναιν ἡμῖν[f] τὸν βασιλι-

γὰρ

et corr B.—[p] δὲ 𝔄ΔΞΠΣ.—[q] λογιστικὴν ΣΥ.—[r] κρίναιμεν Γ.—[s] μὴν Ξ.—[t] ἐργαστικὸς ς.—[u] τούτω 𝔄ΔΠ et corr Γ: τοῦτο *ς.—[v] οἶμαι om Λ.—[w] λογιστικὸς Ξ.—[x] ἀπεργάζονται Η.—[y] γε Υ.—[z] ξ. ΛΗ.—[a] λογικῇ Λ.—[b] δὲ om F.—[c] γένε C.—[d] προσείπωμεν ΛCEFH, προσείπομεν Γ.—[e] ἀγαπητέον Λ.—[f] ἡμῖν om Υ.—[g] ποτέρω

ἔργον] Bas. 1. 2. ἔργων, male. Fisch. φαίνεσθον] Ald. omittit et ΣΩ. et mox ΞΕ. atque legit φαίνεσθαι. Sed in Bass. verba ita restituta sunt, ut Steph. edidit. Fisch.

κὸν ἐν ποτέρᾳ[g] θετέον; ἆρ' ἐν τῇ κριτικῇ, καθά πέρ τινα θεατήν; ἢ μᾶλλον τῆς ἐπιτακτικῆς ὡς ὄντα αὐτὸν[h] τέχνης θήσομεν, δεσπόζοντά γε;

ΝΕ. ΣΩ. Πῶς γὰρ οὐ μᾶλλον;

ΞΕ. Τὴν ἐπιτακτικὴν δὴ[i] τέχνην πάλιν ἂν εἴη θεατέον εἴ πῃ διέστηκε. καί μοι δοκεῖ τῇδέ πῃ, καθά περ ἡ τῶν καπήλων τέχνη τῆς τῶν αὐτοπωλῶν[j] διώρισται τέχνης, καὶ τὸ βασιλικὸν γένος ἔοικεν ἀπὸ τοῦ τῶν κηρύκων γένους ἀφωρίσθαι.

ΝΕ. ΣΩ. Πῶς;

II. ii. 253. ΞΕ. Πωληθέντα που πρότερον ἔργα ἀλλότρια[k] παραδεχόμενοι[l] δεύτερον πωλοῦσι πάλιν οἱ κάπηλοι.

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Οὐκοῦν καὶ τὸ κηρυκικὸν φῦλον ἐπιταχθέν, τἀλλότρια νοήματα παραδεχόμενον, αὐτὸ δεύτερον ἐπιτάττει πάλιν ἑτέροις.

ΝΕ. ΣΩ. Ἀληθέστατα.

ΞΕ. Τί οὖν; εἰς ταὐτὸν μίξωμεν[m] βασιλικὴν ἑρμηνευτικῇ, κελευστικῇ,[n] μαντικῇ, κηρυκικῇ καὶ πολλαῖς ἑτέραις τούτων τέχναις[o] συγγενέσιν, αἳ σύμπασαι τό γ'[p] ἐπιτάττειν ἔχου-

οῦ

ΛΣΥCEFH.—[h] αὐτὸν Ξ, αὐτοῦ ΓΛΥF.—[i] δὲ Γ.—[j] αὐτοπώλων ΓΛΞΣΥCEFH.—[k] ἀλλότρια Λ.—[l] παραδεχόμενοι.—[m] μίξωμεν 𝔄ΔΠF.: μίξομεν *s.—[n] κελευστικῇ om Λ.—[o] τούτων καὶ τέχναις H.—[p] τότ' s.—[q] εἰ 𝔄Δ et pr Π.—[r] καὶ post ἐπειδὴ

§. 4. *ποτέρα*] Ald. Bas. 1. 2. *ποτέρῳ*· male. Fisch.

πωληθέντά που κ. τ. λ.] Laudat hæc verba Pollux vii. 10. Fisch.

τἀλλότρια νοήματα παραδεχόμενον, αὐτὸ] His si conferamus præcedentia, quibus connexa sunt, *πωληθέντα που πρότερον ἔργα ἀλλότρια παραδεχόμενοι, δεύτερον πωλοῦσι πάλιν οἱ κάπηλοι*, dubitare non possumus quin auctor scripserit:—*ἐπιταχθέντα τἀλλότρια νοήματα παραδεχόμενον αὐτὰ δευτ.* Simili modo corrige locum infra p. 307. A. *Ὡς ἡσυχαῖά που φαμὲν ἑκάστοτε καὶ σωφρονικὰ, περί τε διάνοιαν πράττομεν ἀγασθέντες καὶ κατὰ τὰς πράξεις αὖ βραδέα καὶ μαλακὰ, καὶ ἔτι περὶ φωνὰς γιγνόμενα λεῖα καὶ βαρέα*—Lege: *πραττόμεν' ἀγασθέντες*. *Uti quieta et temperata dicimus, quæ circa cogitationem et actionem lente ac placide, et circa voces leviter ac graviter fiunt.* Item infr. p. 309. B. *Τούτων τὰς μὲν ἐπὶ τὴν ἀνδρίαν μᾶλλον ξυντεινούσας, οἷον στημονοφυὲς νομίσας αὐτῶν εἶναι τὸ στερεὸν ἦθος.* Scribe: *νομίσασ' αὐτῶν*. Sermo est de Arte Politica, uti in sequentibus, ubi dicitur *ξυναρμοσαμένη*. Nec dissimili remedio opus habet Rep. vii. 538. C. *Ἀλλὰ πῇ προσάπτομεν· οὖς τῶν λόγων αὕτη φέρει ἡ εἰκών; Τῇ δέ.* Cui difficili obscuroque loco sensum ac lumen restitueris corrigendo: *ἀλλὰ πῇ πρὸς ἁπτομένους τῶν λ. α. φ.* *Sed qua ratione ad illos, qui dialecticæ student hæc referenda est comparatio? Hacce.* Ita in sequentibus p. 539. A.—*τῶν οὕτω λόγων ἁπτομένων*. Heusd.

τότ' ἐπιτάττειν] For. *τό γ' ἐπιτάττειν*. ut paulo post, *τά τε* pro *τά γε* perperam scriptum esse videtur. Steph.

σιν; ἢ[q] βούλει, καθά περ εἰκάζομεν νῦν δή, καὶ τοὔνομα παρεικάσωμεν, ἐπειδὴ καὶ[r] σχεδὸν ἀνώνυμον ὂν τυγχάνει τὸ τῶν αὐτεπιτακτῶν[s] γένος, καὶ ταύτῃ ταῦτα διελώμεθα, τὸ μὲν τῶν βασιλέων γένος εἰς τὴν αὐτεπιτακτικὴν θέντες, τοῦ δὲ ἄλλου παντὸς ἀμελήσαντες, ὄνομα[t] ἕτερον αὐτοῖς παραχωρήσαντες θέσθαι τινά; τοῦ γὰρ ἄρχοντος ἕνεκα[u] ἡμῖν ἡ μέθοδος ἦν, ἀλλ' οὐχὶ τοῦ ἐναντίου. II. 261.

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

§. 5. ΞΕ. Οὐκοῦν ἐπειδὴ τοῦτο μετρίως ἀφέστηκεν ἀπ' ἐκείνων, ἀλλοτριότητι διορισθὲν πρὸς οἰκειότητα, τοῦτ'[v] αὐτὸ πάλιν αὖ[w] διαιρεῖν ἀναγκαῖον, εἴ τινα τομὴν ἔτι ἔχομεν ὑπείκουσαν ἐν τούτῳ;

ΝΕ. ΣΩ. Πάνυ γε. II. ii. 254.

ΞΕ. Καὶ μὴν φαινόμεθα ἔχειν· ἀλλ' ἐπακολουθῶν σύντεμνε.

ΝΕ. ΣΩ. Πῇ;

ΞΕ. Πάντας ὁπόσους ἂν ἄρχοντας διανοηθῶμεν ἐπιτάξει προσχρωμένους, ἆρ' οὐχ εὑρήσομεν[x] γενέσεώς[y] τινος ἕνεκα προστάττοντας;[z]

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;

ΞΕ. Καὶ μὴν τά γε[a] γιγνόμενα πάντα δίχα διαλαβεῖν οὐ παντάπασι χαλεπόν.

ΝΕ. ΣΩ. Πῇ;

ΞΕ. Τὰ μὲν ἄψυχα[b] αὐτῶν ἐστί που ξυμπάντων, τὰ δ' ἔμψυχα.[c]

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Τούτοις δέ γε αὐτοῖς τὸ τοῦ γνωστικοῦ μέρος[d] ἐπιτακτικὸν ὄν, εἴ περ βουλόμεθα τέμνειν, τεμοῦμεν;

ΝΕ. ΣΩ. Κατὰ τί;

ΞΕ. Τὸ μὲν ἐπὶ ταῖς τῶν ἀψύχων γενέσεσιν αὐτοῦ τάσ-

om F.—[s] αὐτεπιτάκτων 𝔄, ἐπιτακτῶν Λ.—[t] ὄνομα...παραχωρήσαντες om Γ.—[u] ἕνεκα om EF.—[v] τοῦτ' Γ.—[w] οὖν Υ.—[x] εὑρήσκομεν Δ.—[y] γενέσθω Δ.—[z] προστάττοντες ΥΗ et pr C.—[a] γε F et corr Γ: τε *s.—[b] ἄψυχα 𝔄ΓΔΛΠΥΒCEFH et pr Σ: ἔμψυχα (os) *s.—[c] ἔμψυχα 𝔄ΓΔΛΠΒCEFH: ἄψυχα *s.—[d] μέρος 𝔄ΓΔΠ, μέρους Ξ:

§. 5. καὶ τοὔνομα] Bas. 1. 2. γὰρ τοὔνομα male. Fisch.

τά τε γιγν.] For. τά γε. Vide talem errorem annotatum et p. (260. E.) Steph.

σοντες, τὸ δ' ἐπὶ ταῖς[e] τῶν ἐμψύχων. καὶ πᾶν οὕτως ἤδη διαιρήσεται δίχα.

ΝΕ. ΣΩ. Παντάπασί γε.

ΞΕ. Τὸ μὲν τοίνυν αὐτῶν παραλίπωμεν, τὸ δ' ἀναλάβωμεν, ἀναλαβόντες δὲ μερισώμεθα εἰς δύο τὸ σύμπαν.

ΝΕ. ΣΩ. Λέγεις δ' αὐτοῖν ἀναληπτέον εἶναι πότερον;

11. ii. 255. ΞΕ. Πάντως[f] που τὸ περὶ τὰ ζῶα ἐπιτακτικόν. οὐ γὰρ δὴ τό γε τῆς βασιλικῆς ἐπιστήμης ἐστί ποτε τῶν ἀψύχων ἐπιστατοῦν, οἷον ἀρχιτεκτονικόν, ἀλλὰ γενναιότερον, ἐν τοῖς ζώοις καὶ περὶ αὐτὰ ταῦτα τὴν δύναμιν ἀεὶ[g] κεκτημένον.

ΝΕ. ΣΩ. Ὀρθῶς.

ΞΕ. Τήν[h] γε μὴν τῶν ζώων γένεσιν καὶ τροφὴν τὴν μέν τις ἂν ἴδοι[i] μονοτροφίαν οὖσαν, τὴν δὲ κοινὴν[j] τῶν ἐν ταῖς ἀγέλαις θρεμμάτων ἐπιμέλειαν.

ΝΕ. ΣΩ. Ὀρθῶς.

ΞΕ. Ἀλλ' οὐ μὴν τόν γε πολιτικὸν εὑρήσομεν ἰδιοτρόφον,[k] ὥς περ βοηλάτην[l] ἤ τινα ἱπποκόμον, ἀλλ' ἱπποφορβῷ τε καὶ βουφορβῷ μᾶλλον προσεοικότα.

ΝΕ. ΣΩ. Φαίνεταί γε δὴ ῥηθὲν νῦν.

ΞΕ. Πότερον οὖν τῆς ζωοτροφίας τὴν[m] τῶν ξυμπόλλων[n] κοινὴν τροφὴν ἀγελαιοτροφίαν ἢ κοινοτροφικήν τινα ὀνομάζωμεν;[o]

ΝΕ. ΣΩ. Ὁπότερον ἂν ἐν τῷ λόγῳ ξυμβαίνῃ.[p]

§. 6. ΞΕ. Καλῶς γε, ὦ Σώκρατες· κἂν[q] διαφυλάξῃς τὸ μὴ σπουδάζειν ἐπὶ τοῖς ὀνόμασι, πλουσιώτερος εἰς τὸ γῆρας ἀναφανήσει[r] φρονήσεως. νῦν δὲ τοῦτο μέν,[s] καθά περ

μέρους *ς.—[e] ταῖς cum ς soli ΞΗ.—[f] πάντα Υ.—[g] αἰεὶ ΓΔΛΠΒCΗ.—[h] ταύτην ΣΥ.
ῆ φ
—[i] ἴδη C.—[j] κοινὴν Η, κοινῇ ℵΔΛΠ et pr Β.—[k] ἰδιότροπον Η: ἰδιότροπον *ς.—[l] βοηλάτων Η.—[m] τῆς ℵ.—[n] ξυμπώλων Γ.—[o] ὀνομάζωμεν ΛΞς: ceteri ὀνομάζομεν.—[p] ξυμβαίνῃ ΛΒΗ, συμβαίνῃ ℵΓΔΞΠΣΥ, ξυμβαίνει C, συμβαίνει F: συμβαίνοι ς.—[q] ἂν Γ.—[r] ἀναφανήσει, ut semper, Δ, ut sæpe, Π et pr Γ.—[s] μὲν om pr Ξ.—[t] δια-

ἰδιότροπον] Sic legitur etiam in Ald. Bas. 1.2. Sed Stephanus hæc adscripsit, ‘ Ἰδιοτρόφον legisse potius videtur Ficinus: quod convenit etiam cum eo, quod modo vocavit *μονοτροφίαν*· perinde ac si dictum ibi esset *ἰδιοτροφίαν*, et hic *μονοτρόφον*’ recte. At hæc ipsa observatio jam in Eclogis Cornarii legitur. Ficinus scilicet vertit, *Civilis autem non privatim unicique curam gerit, quemadmodum qui bovem agitat*; ut certum sit, eum legisse *ἰδιοτρόφον*· quam lectionem res ipsa requirit. Fisch.

§. 6. *κἂν διαφυλάξῃς — φρονήσεως*] Laudat hunc locum Athenæus iii. c. 21. etiam Clemens Alex. Strom. i. p. 105.

διακελεύει,[t] ποιητέον· τὴν δὲ ἀγελαιοτροφικὴν ἆρ' ἐννοεῖς πῇ τις δίδυμον ἀποφήνας τὸ ζητούμενον ἐν διπλασίοισι[u] τὰ II. ii. 256. II. 262.
νῦν ἐν τοῖς[v] ἡμίσεσιν εἰς τότε ποιήσει[w] ζητεῖσθαι;

ΝΕ. ΣΩ. Προθυμήσομαι.[x] καί μοι δοκεῖ τῶν μὲν ἀνθρώπων ἑτέρα τις εἶναι, τῶν δὲ αὖ θηρίων ἄλλη τροφή.

ΞΕ. Παντάπασί γε προθυμότατα καὶ ἀνδρειότατα διήρησαι. μὴ μέντοι τοῦτό γε εἰσαῦθις κατὰ δύναμιν πάσχωμεν.[y]

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Μὴ σμικρὸν μόριον ἓν πρὸς μεγάλα καὶ πολλὰ[z] ἀφαιρῶμεν, μηδὲ εἴδους χωρίς·[a] ἀλλὰ τὸ μέρος ἅμα εἶδος ἐχέτω. κάλλιστον μὲν γὰρ ἀπὸ τῶν ἄλλων εὐθὺς διαχωρίζειν τὸ ζητούμενον, ἂν ὀρθῶς ἔχῃ, καθάπερ ὀλίγον σὺ πρότερον οἰηθεὶς[b] ἔχειν τὴν διαίρεσιν ἐπέσπευσας τὸν λόγον,[c] ἰδὼν ἐπ' ἀνθρώπους πορευόμενον. ἀλλὰ γάρ, ὦ φίλε, λεπτουργεῖν οὐκ ἀσφαλές, διὰ μέσων δὲ ἀσφαλέστερον ἰέναι τέμνοντας, καὶ μᾶλλον ἰδέαις ἄν τις προστυγχάνοι.[d] τοῦτο δὲ διαφέρει τὸ πᾶν πρὸς τὰς ζητήσεις.

ΝΕ. ΣΩ. Πῶς, ὦ ξένε, λέγεις τοῦτο;

ΞΕ. Πειρατέον ἔτι σαφέστερον φράζειν εὐνοίᾳ τῆς σῆς φύσεως, ὦ Σώκρατες. ἐν τῷ μὲν οὖν παρεστηκότι τὰ νῦν II. ii. 257.
δηλῶσαι μηδὲν ἐνδεῶς ἀδύνατον· ἐπιχειρητέον δέ τι καὶ

κελεύει ΛCEH et pr ΓΒ, διακελεύει (σ suprascr.) F.—[u] διπλασίοισι τὰ H, διπλασίοις εἶτα mg F, διπλασίοις ἢ τὰ ceteri: διπλασίοις τὰ ς.—[v] αὐτοῖς ΣΥ.—[w] εἰς τοῦτο ποιήσει τότε Γ: ποιήσει om F, in mg ponit E.—[x] προθυμηθήσομαι ΞΣ.—[y] πάσχομεν ΛCEFH.—[z] πολλὰ καὶ μεγάλα Eς.—[a] χάρις Γ.—[b] οἰήθης 𝔄.—[c] τὸν λόγον ἐπέσπευσας H.—[d] προστυγχάνῃ Λ.—[e] προαγαγεῖν 𝔄ΔΠΣΥ et corr B: προσαγαγεῖν *ς.—[f] πρόσθε

Victor. sed legitur ibi κἂν φυλάξῃς—εἰς γῆρας ἀναφανείσῃ· male: sed Potter edidit ἀναφανήσῃ. Fisch.

διακελεύῃ] Ald. Bas. 1. 2. διακελεύει. recte. Hæc enim est forma vetus Attica, quam recentiores grammatici et librarii temere mutarunt in formam alteram. Sic apud Aristoph. Plut. 964. πυνθάνει recte scriptum est in antiquis codicibus, sed in codice Dorvilliano recentiore legitur πυνθάνῃ· et apud Symmachum 1 Sam. ii. 32. recte editum est ὄψει, quum in libris Procopii Gazæi legatur ὄψῃ· unde vanitas conjecturæ Drusii perspicitur, qui ὄψεις reponendum censebat. Et apud Plat. Crito. iv. pro προμηθῇ Priscianus p. 1204. Putsch. melius habet προμηθεῖ. vid. Aristoph. Schol. ad Plut. 40. Hemsterhus. ad Plut. 828. Valquenar. ad Eurip. Phœn. 216. et nos ad Weller. p. 31. Fisch.

τὰ νῦν] Ald. Bas. 1. 2. ἢ τὰ νῦν. Sed Cornarius recte jussit tolli particulam ἤ, quam nec Ficinus in versione expressit. Fisch.

μέσων] Bas. 1. 2. μέσον· mendose. Mox Ald. Bas. 1. 2. προστυγχάνει. Fisch.

σμικρῷ πλέον αὐτὸ προαγαγεῖν[e] εἰς τὸ πρόσθεν[f] σαφηνείας ἕνεκα.

ΝΕ. ΣΩ. Ποῖον οὖν δὴ[g] φράζεις διαιρουμένους ἡμᾶς οὐκ ὀρθῶς ἄρτι δρᾶν;

ΞΕ. Τοιόνδε, οἷον[h] εἴ τις τἀνθρώπινον ἐπιχειρήσας δίχα διελέσθαι γένος διαιροῖ[i] καθά περ οἱ πολλοὶ τῶν ἐνθάδε διανέμουσι, τὸ μὲν Ἑλληνικὸν ὡς ἓν ἀπὸ πάντων ἀφαιροῦντες χωρίς, σύμπασι[j] δὲ τοῖς ἄλλοις γένεσιν, ἀπείροις οὖσι καὶ ἀμίκτοις καὶ ἀσυμφώνοις πρὸς ἄλληλα, βάρβαρον μιᾷ κλήσει προσειπόντες αὐτὸ διὰ ταύτην τὴν μίαν κλῆσιν καὶ γένος ἓν αὐτὸ εἶναι προσδοκῶσιν· ἢ τὸν ἀριθμόν τις αὖ νομίζοι κατ' εἴδη[k] δύο[l] διαιρεῖν μυριάδα ἀποτεμνόμενος ἀπὸ πάντων, ὡς ἓν εἶδος ἀποχωρίζων, καὶ τῷ λοιπῷ δὴ παντὶ θέμενος ἓν ὄνομα διὰ τὴν κλῆσιν αὖ καὶ τοῦτ' ἀξιοῖ γένος ἐκείνου χωρὶς ἕτερον ἐγγίγνεσθαι. κάλλιον δέ που καὶ μᾶλλον κατ' εἴδη καὶ δίχα διαιροῖτ' ἄν, εἰ τὸν μὲν ἀριθμὸν ἀρτίῳ καὶ περιττῷ τις τέμνοι,[m] τὸ δὲ αὖ τῶν ἀνθρώπων γένος ἄῤῥενι καὶ θήλει, Λυδοὺς δὲ ἢ[n] Φρύγας ἤ τινας ἑτέρους πρὸς ἅπαντας τάττων ἀποσχίζοι
II. ii. 258. τότε, ἡνίκα ἀποροῖ[o] γένος ἅμα καὶ μέρος εὑρίσκειν ἑκάτε-
II. 263. ρον[p] τῶν σχισθέντων.

§. 7. ΝΕ. ΣΩ. Ὀρθότατα. ἀλλὰ γὰρ τοῦτ'[q] αὐτό, ὦ ξένε, πῶς ἄν τις γένος καὶ μέρος ἐναργέστερον γνοίη, ὡς οὐ[r] ταὐτόν ἐστον[s] ἀλλ' ἕτερον ἀλλήλοιν;

ΞΕ. Ὦ[t] βέλτιστε ἀνδρῶν, οὐ φαῦλον προστάττεις, Σώκρατες.[u] ἡμεῖς μὲν καὶ νῦν μακροτέραν[v] τοῦ δέοντος ἀπὸ τοῦ προτεθέντος[w] λόγου πεπλανήμεθα, σὺ δὲ ἔτι πλέον ἡμᾶς κελεύεις πλανηθῆναι. νῦν μὲν οὖν, ὥς περ εἰκός, ἐπανίωμεν πάλιν· ταῦτα δὲ εἰσαῦθις κατὰ σχολήν, καθά περ ἰχνεύο-

Γ.—[g] δὴ add 𝔄ΔΠ.—[h] οἷον om Η.—[i] διαιροίην Γ.—[j] σὺν πᾶσι 𝔄.—[k] κατίδοι F.—
οι εὐ
[l] δύο ante κατ' ponit Λ.—[m] τέμνει Γ.—[n] εἴ Π.—[o] ἀποροῖ F.—[p] ἅτερον ΣΥ et pr Ξ.
οὐ
—[q] τοῦτ' Γ.—[r] αὖ EF, om ΣΥ.—[s] ἐστὸν 𝔄ΓΔΛΞΠΣΥΒCΗ : ἐστιν ς.—[t] ὦ om Δ.
—[u] ὦ σώκρατες Γ.—[v] μακροτέραν 𝔄ΔΠ : μακρότερον *ς.—[w] τεθέντος Γ.—[x] ἰχνεύο-

§. 7. ταὐτόν ἐστιν] Steph. 'γρ. ταυτόν ἐστον.' Nempe ita Bas. 2. Fisch.

μεν,[x] μέτιμεν.[y] οὐ μὴν ἀλλὰ τοῦτό γε αὖ παντάπασι φύλαξαι,[z] μή ποτε παρ' ἐμοῦ δόξῃς αὐτὸ ἐναργῶς διωρισμένον ἀκηκοέναι.

ΝΕ. ΣΩ. Τὸ[a] ποῖον;

ΞΕ. Εἶδός τε καὶ μέρος ἕτερον ἀλλήλων εἶναι.

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Ὡς εἶδος μὲν ὅταν[b] ᾖ του, καὶ μέρος αὐτὸ ἀναγκαῖον[c] εἶναι τοῦ πράγματος ὅτου περ ἂν εἶδος λέγηται· μέρος δὲ εἶδος[d] οὐδεμία ἀνάγκη. ταύτῃ με ἢ ἐκείνῃ[e] μᾶλλον,[f] ὦ Σώκρατες, ἀεὶ φάθι[g] λέγειν.

ΝΕ. ΣΩ. Ταῦτ' ἔσται.

ΞΕ. Φράσον δή μοι τὸ μετὰ τοῦτο.

ΝΕ. ΣΩ. Ποῖον;

ΞΕ. Τὸ τῆς ἀποπλανήσεως ὁπόθεν ἡμᾶς δεῦρ' ἤγαγεν. 11. ii. 259.
οἶμαι μὲν γὰρ[h] μάλιστα, ὅθεν ἐρωτηθεὶς σὺ τὴν ἀγελαιοτροφίαν ὅπῃ διαιρετέον εἶπες μάλα προθύμως δύ' εἶναι ζώων[i] γένη, τὸ μὲν ἀνθρώπινον, ἕτερον δὲ τῶν ἄλλων ξυμπάντων θηρίων[j] ἕν.

ΝΕ. ΣΩ. Ἀληθῆ.

ΞΕ. Καὶ ἔμοιγε δὴ τότ'[k] ἐφάνης μέρος ἀφαιρῶν ἡγεῖσθαι καταλιπεῖν τὸ λοιπὸν αὖ πάντων γένος ἕν, ὅτι πᾶσι ταὐτὸν ἐπονομάζειν ἔσχες ὄνομα, θηρία καλέσας.

ΝΕ. ΣΩ. Ἦν καὶ ταῦτα οὕτως.

ΞΕ. Τὸ δέ γε,[l] ὦ πάντων ἀνδρειότατε, τάχ' ἄν, εἴ που φρόνιμόν ἐστί τι ζῶον ἕτερον, οἷον δοκεῖ τὸ τῶν γεράνων, ἤ τι τοιοῦτον ἄλλο, [ὃ] κατὰ ταὐτὰ ἴσως διονομάζοι,[m] καθά

μεν ΔΠ : ἰχνεύοντες *ς.—[y] μέτειμεν Γ.—[z] φυλάξαι ϪΔΠΣΥΗ.—[a] τὸ...εἶναι om Η.—[b] ἦτον ΣΥ, ἤ τινὸς Η.—[c] αὐτὸ ἀναγκαῖον ϪΓΔΛΠΒCΗ : ἀναγκαῖον αὐτὸ *ς.—[d] εἴδους ϪΓΔΛΞΠΣΥΒC.—[e] ἢ ἐκείνῃ Λ, ἥκειν ἢ Δ et pr Π, ἢ κεινῇ Ϫ : ἢ κείνῃ *ς.
θ
—[f] μᾶλλον om Λ.—[g] φασι Ε, φασὶ F.—[h] γὰρ om F.—[i] ζώιων Β, qui sic ubique.
οι
—[j] θηρίον Ξ.—[k] τοῦτ' ϪΔΠ.—[l] λέγε ϪΔ et pr Π.—[m] διονομάζοι ΓΛCΗ, διονομάζει

φύλαξαι] Bas. 2. φυλάξαι. male. Fisch.

ἀλλήλων] Steph. 'For. ἀλλήλοιν, ut modo dictum fuit.' non male. Fisch.

ᾖ του] Ald. Bas. 1. ἦτον· sed Bas. 2. habet ᾗ του, ut Cornarius legendum monuit. Atque inde intelligi potest, quid de fide Stephani sentiendum sit, qui, 'male,' inquit, 'in prioribus editionibus ἦτον, pro ᾗ του, id est, ᾗ τινος.' Fisch.

κατὰ ταῦτα] Magis integram lectionem videtur sequutus hic esse Ficinus, et κατὰ ταυτὰ inter alia legisse. Steph.

κατὰ ταυτὰ quidem Ficinum legisse, certissimum videtur, idque, ut ego arbi-

περ καὶ σύ, γεράνους μὲν ἓν γένος ἀντιτιθὲν[n] τοῖς ἄλλοις ζώοις καὶ σεμνῦνον αὐτὸ ἑαυτό, τὰ δὲ ἄλλα μετὰ τῶν ἀνθρώπων ξυλλαβὸν[o] εἰς ταὐτὸ οὐδὲν ἄλλο πλὴν ἴσως θηρία προσείποι.[p] πειραθῶμεν οὖν ἡμεῖς ἐξευλαβεῖσθαι πάνθ' ὁπόσα τοιαῦτα.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Μὴ πᾶν τὸ τῶν[q] ζώων γένος διαιρούμενοι, ἵνα ἧττον αὐτὰ πάσχωμεν.

II. ii. 260. ΝΕ. ΣΩ. Οὐδὲν γὰρ δεῖ.[r]

ΞΕ. Καὶ[s] γὰρ οὖν καὶ τότε ἡμαρτάνετο ταύτῃ.

ΝΕ. ΣΩ. Τί δή;

ΞΕ. Τῆς γνωστικῆς ὅσον ἐπιτακτικὸν ἡμῖν μέρος, ἦν που τοῦ ζωοτροφικοῦ γένους, ἀγελαίων μὴν[t] ζώων. ἦ γάρ;

ΝΕ. ΣΩ. Ναί.

II. 264. ΞΕ. Διῄρητο τοίνυν ἤδη καὶ τότε ξύμπαν τὸ ζῶον τῷ τιθασῷ[u] καὶ ἀγρίῳ. τὰ μὲν γὰρ ἔχοντα τιθασεύεσθαι[v] φύσιν ἥμερα προσείρηται, τὰ δὲ μὴ ἔχοντα ἄγρια.

ΝΕ. ΣΩ. Καλῶς.

ΞΕ. Ἣν δέ γε θηρεύομεν[w] ἐπιστήμην, ἐν τοῖς ἡμέροις ἦν τε καὶ ἔστιν, ἐπὶ τοῖς ἀγελαίοις μὴν[x] ζητητέα θρέμμασιν.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Μὴ τοίνυν διαιρώμεθα ὥς περ τότε, πρὸς ἅπαντα ἀποβλέψαντες, μηδὲ σπεύσαντες,[y] ἵνα δὴ ταχὺ γενώμεθα πρὸς τῇ πολιτικῇ. πεποίηκε γὰρ ἡμᾶς καὶ νῦν παθεῖν τὸ κατὰ τὴν παροιμίαν πάθος.

ΝΕ. ΣΩ. Ποῖον;

ΞΕ. Οὐχ ἡσύχους εὖ διαιροῦντας ἠνυκέναι[z] βραδύτερον.

BE: διονομάζει *ϛ.—[n] ἀντιτεθὲν Λ.—[o] ξυλλαβὼν F.—[p] προσείπῃ ΞΣΥ.—[q] τῶν om ϛ.—[r] δεῖ...γνωστικῆς om Σ.—[s] καὶ ...] hæc eidem dant ΞΥ.—[t] ἦν 𝔄ΔΠΣΥ.—[u] τιθασῷ ΛΞΣΥBC et rc Π, τιθάσω 𝔄ΔΠ, τιθάσσω Γ: τιθασσῷ ϛ.—[v] τιθασεύεσθαι 𝔄ΔΛΠΥBC. Σ autem, qui id verbum alias ubique per simplex σ effert, hoc loco cum ϛ duo habet.—[w] θηρεύσομεν (δον) Γ.—[x] μὲν Η, μὴ corr Π.—[y] σπεύσαντες Ε.—

tror, rectius: sed an reliqua verba aliter legerit, ipsi lectores statuant. Vertit enim totum locum sic, *Hoc, o omnium fortissime Socrates, perinde videtur esse, ac si quod aliud animal, ut grus, aut aliud tale, prudentiæ particeps, eodem, quo tu, pacto grues rationales vocet, sibi ex eo placens* —. Fisch.

θηρεύομεν] Ald. Bas. 1. 2. θηρεύωμεν, male. Fisch.

ΝΕ. ΣΩ. Καὶ[a] καλῶς γε, ὦ ξένε, πεποίηκεν.

§. 8. ΞΕ. Ταῦτ' ἔστω. πάλιν δ' οὖν ἐξ ἀρχῆς τὴν II. ii. 261.
κοινοτροφικὴν πειρώμεθα διαιρεῖν· ἴσως γὰρ καὶ τοῦτο, ὃ σὺ προθυμεῖ,[b] διαπεραινόμενος ὁ λόγος αὐτός σοι κάλλιον μηνύσει. καί μοι φράζε.

ΝΕ. ΣΩ. Ποῖον δή;[c]

ΞΕ. Τόδε, εἴ[d] τινων πολλάκις ἄρα διακήκοας· οὐ[e] γὰρ δὴ προστυχής[f] γε αὐτὸς οἶδ' ὅτι γέγονας ταῖς ἐν τῷ Νείλῳ τιθασείαις[g] τῶν ἰχθύων καὶ τῶν ἐν ταῖς βασιλικαῖς λίμναις. ἐν μὲν γὰρ κρήναις τάχ' ἂν ἴσως[h] εἴης ᾐσθημένος.

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν καὶ ταῦτα τεθέαμαι[i] κἀκεῖνα πολλῶν ἀκήκοα.

ΞΕ. Καὶ μὴν χηνοβωτίας[j] γε καὶ γερανοβωτίας, εἰ καὶ μὴ πεπλάνησαι περὶ τὰ Θετταλικὰ πεδία, πέπυσαι γοῦν[k] καὶ πιστεύεις εἶναι.

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Τοῦδ' ἕνεκά[l] τοι[m] πάντα ἠρώτησα ταῦτα, διότι τῆς τῶν ἀγελαίων τροφῆς ἔστι μὲν ἔνυδρον, ἔστι δὲ καὶ ξηροβατικόν.[n]

κ ἐ

[z] ἡνυμέναι E.—[a] καὶ om ΔΣΥ et pr Ξ.—[b] προθυμεῖ pr Γ.—[c] τὸ δὴ H.—[d] εἴ add ΔΠΣ et pr Ξ.—[e] οὐδὲ Γ.—[f] προστυχών Γ.—[g] τιθασείαις 𝔄: τιθασσείαις ϛ.—[h] ἴσως om pr Ξ.—[i] τεθέασαι Λ.—[j] χηνοβωτίας...γερανοβωτίας 𝔄ΓΔΛΠBCH, χηνοβατίας...γερανοβατίας ΣΥ: χηνοβοτίας...γερανοβοτίας *ϛ.—[k] γοῦν om F.—[l] εἵνεκά omnes.—[m] τοι 𝔄ΓΔΛΞΠBCH: τι *ϛ.—[n] ξηροβωτικὸν Γ.—[o] δεῖ Ξ.—[p] σχίζειν ΣΥ,

§. 8. διαπεραινόμενος] Bas. 2. διαπεραινούμενος. Fisch.

ἰχθύων, καὶ τῶν] Vid. Ælianus V. H. viii. 4. et xii. 30. Plinius H. N. xxxii. 2. Fisch.

χηνοβοτίας] In libris olim nonnullis scriptum fuisse videtur χηνοβοσίας γε καὶ γερανοβοσίας. Certe in codicibus Pollucis, qui respexit ad hunc locum Onom. ix. 16. ita legitur, et apud Hesychium est, Χηνοβοσία· χηνοβοσκία. Verba Pollucis sunt, τάχα δὲ καὶ γερανοβοσίαι, καὶ χηνοβοσίαι, κατὰ Πλάτωνα. Sed arbitror cum Kuhnio, scripturam γερανοβοσία et χηνοβοσία fuisse communem, alteram Atticam. Quæ quidem ratio tutior est et melior, quam Jungermani ratio, qui libros Platonis emendandos esse censebat e libris Pollucis. Sic Attici, Mœride auctore, ἀνοητία dixere, quum reliqui Græci forma nominis altera, ἀνοησία, usi sint: ubi v. Pierson. Fisch.

τι] Steph. 'Malim τοι.' recte, opinor. Cæterum Ald. Bas. 1. 2. εἵνεκα. Fisch.

ξηροβατικὸν] Steph. 'Scribendum puto ξηροβοτικόν.' male. id quod vel Athenæus docet, qui laudat hunc locum Platonis iii. p. 99. B. Διὰ ταῦτα τοιαῦτα ὁ θαυμάσιος Πλάτων, inquiens, ἐν τῷ Πολιτικῷ εἰπὼν, ξηροβατικά τινα ζῶα καὶ ὑδροβατικὰ ἄλλα, ξηροτροφικόν τε καὶ ὑγροτροφικὸν καὶ ξηρονομικὸν, ἐπὶ ζώων χερσαίων καὶ ἐνύγρων καὶ ἐναερίων, ἐπιλέγει, ὥσπερ παρακελευόμενος τούτοις τοῖς ὀνοματοποιοῖς φυλάττεσθαι τὴν καινότητα. Fisch.

ΝΕ. ΣΩ. Ἔστι γὰρ οὖν.

ΞΕ. [n]Ἆρ᾽ οὖν καὶ σοὶ ξυνδοκεῖ ταύτῃ δεῖν[o] διχάζειν[p] τὴν κοινοτροφικὴν ἐπιστήμην, ἐφ᾽ ἑκατέρῳ τούτων τὸ μέρος αὐτῆς ἐπινέμοντας ἑκάτερον, τὸ μὲν ἕτερον ὑγροτροφικὸν ὀνομάζοντας, τὸ δ᾽ ἕτερον ξηροτροφικόν;

II. ii. 262. ΝΕ. ΣΩ. Ἔμοιγε.[q]

ΞΕ. Καὶ μὴν καὶ τὸ βασιλικὸν οὕτως οὐ[r] ζητήσομεν[s] ὁποτέρας ἐστὶ τῆς[t] τέχνης· δῆλον γὰρ[u] δὴ παντί.

ΝΕ. ΣΩ. Πῶς δ᾽ οὔ;

ΞΕ. Πᾶς μὲν[v] δὴ τό γε ξηροτροφικὸν τῆς ἀγελαιοτροφίας διέλοιτ᾽ ἂν φῦλον.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Τῷ πτηνῷ τε καὶ πεζῷ διορισάμενος.

ΝΕ. ΣΩ. Ἀληθέστατα.

ΞΕ. Τί δέ; τὸ πολιτικὸν εἰ περὶ[w] τὸ πεζόν,[x] ζητητέον; ἢ οὐκ οἴει καὶ τὸν ἀφρονέστατον ὡς ἔπος εἰπεῖν δοξάζειν οὕτως;

ΝΕ. ΣΩ. Ἔγωγε.

ΞΕ. Τὴν δὲ πεζονομικήν, καθά περ ἄρτιον ἀριθμόν, δεῖ τεμνομένην δίχα ἀποφαίνειν.

ΝΕ. ΣΩ. Δῆλον.

II. 265. ΞΕ. Καὶ μὴν ἐφ᾽ ὅ γε μέρος ὥρμηκεν ἡμῖν ὁ λόγος, ἐπ᾽ ἐκεῖνο δύο τινὲ καθορᾶν ὁδὼ τεταμένα[y] φαίνεται, τὴν μὲν θάττω, πρὸς μέγα μέρος σμικρὸν διαιρουμένην, τὴν δέ,

δίχα σχίζειν Ξ.—[q] ἔμοιγε om ΣΥ.—[r] οὐ om ΣΥ et pr Ξ.—[s] ζητήσωμεν F.—[t] τῆς om Λ.—[u] γὰρ om ΛΗ, ante δή ponunt ΞΣΥ; post δὴ *ς.—[v] μὲν om ΛΣΥΒ CEFH et pr Ξ.—[w] ὥσπερ E, ἢ ὥσπερ C et rc F, ἢ (εἴπερ) ὥσπερ H: ὥσπερ *ς.—

διχάζειν] Steph. 'Legitur δίχα σχίζειν. Est autem fortasse expositio illius verbi, quæ ex margine irrepsit.' In Bas. 2. extat ista lectio. Fisch.

τί δέ; τὸ πολιτικόν, ὥσπερ τὸ πεζόν, ζητητέον; ἢ οὐκ οἴει] Legit Ficinus:— τὸ πολιτικόν, ὡς περὶ τὸ πεζὸν ζητητέον, οὐκ οἴει —; vertit enim: *Quod civilis facultas circa illa, quæ gradiuntur, dumtaxat versatur, vel stolidissimus quisque, ut ita dixerim, animadverteret.* Nec alia fuisse videtur Platonis sententia ac scriptura: nisi forte τὸ πολιτικόν, uti et antecedens τὸ βασιλικόν, in τὸν πολ. et τὸν βασ. mutandum censeas. Heusd.

ἄρτιον] Cornarius emendabat ἄρτι, h. e. *modo, paulo ante*: nempe §. 6. recte: etsi omnes libri editi habent ἄρτιον· etiam codices Ficini ita legerint necesse est, quum verterit, *paris instar numeri.* Nam ipsius quidem numeri omnis duo genera sunt, duæ formæ: quum numerus perfectus describi ac dividi in duas formas nec possit nec soleat. Fortassis tamen malit quis legere ἀρτίως· ut §. 23. p. 151. ὅσα ἀρτίως ὀνόματα ἐρρήθη. Fisch.

ὅ περ ἐν τῷ[z] πρόσθεν ἐλέγομεν, ὅτι δεῖ μεσοτομεῖν ὡς[a] μάλιστα, τοῦτ᾽ ἔχουσαν μᾶλλον, μακροτέραν γε μήν. ἔξεστιν οὖν, ὁποτέραν ἂν βουληθῶμεν, ταύτην πορευθῆναι.

ΝΕ. ΣΩ. Τί δέ; ἀμφοτέρας ἀδύνατον;

ΞΕ. Ἅμα γ᾽, ὦ θαυμαστέ· ἐν μέρει γε μὴν δῆλον ὅτι II. ii. 263.
δυνατόν.

ΝΕ. ΣΩ. Ἐν μέρει τοίνυν ἔγωγε ἀμφοτέρας αἱροῦμαι.

ΞΕ. Ῥᾴδιον, ἐπειδὴ τὸ λοιπὸν βραχύ. κατ᾽ ἀρχὰς μὴν[b] καὶ μεσοῦσιν[c] ἅμα τῆς πορείας χαλεπὸν ἂν ἦν[d] ἡμῖν τὸ πρόσταγμα· νῦν δ᾽ ἐπειδὴ δοκεῖ ταύτῃ, τὴν μακροτέραν πρότερον[e] ἴωμεν· νεαλέστεροι[f] γὰρ ὄντες ῥᾷον αὐτὴν πορευσόμεθα. τὴν δὲ δὴ[g] διαίρεσιν ὅρα.

§. 9. ΝΕ. ΣΩ. Λέγε.

ΞΕ. Τὰ πεζὰ ἡμῖν τῶν ἡμέρων, ὅσα περ ἀγελαῖα, διῃρημένα ἐστὶ φύσει δίχα.[h]

ΝΕ. ΣΩ. Τίνι;[i]

ΞΕ. Τῷ τῶν μὲν τὴν γένεσιν ἄκερων[j] εἶναι, τῶν δὲ κερασφόρον.[k]

ΝΕ. ΣΩ. Φαίνεται.

τοῦ οὖ
[x] τὸ πεζὸν E.—[y] τεταμένῳ corr Γ.—[z] τὰ Σ.—[a] ὥσπερ Δ.—[b] μὴν 𝔄ΔΠ: μὲν οὖν
α
*ς.—[c] μισοῦσιν Σ.—[d] ἦν om ΣΥ.—[e] προτέραν 𝔄ΓΞ.—[f] νεαρέστεροι corr Γ, νεο-
δίχα
λέστεροι E.—[g] δὴ om Λ.—[h] φύσει δίχα 𝔄ΓΔΠCH et rc ΞB, φύσει F, δίχα ΣΥ cum pr Ξ et γρ E: φύσει ς.—[i] τίνι 𝔄ΓΔΛΞΠΣΥBCH: τί δὴ *ς.—[j] ἀκέρων EH.—[k] κε-

τί δὲ ἀμφοτέρ.] Steph. 'For. τί δέ; ἀμφοτέρας.' recte: ipsa Hospitis responsio hanc rationem confirmat. Neque vero aliter accepit verba Ficinus: vertit enim, *An per utrumque proficisci non licet?* Fisch.

μεσοῦσιν] Steph. 'Quidam reposuit μεσούσης· sed Aristides constructionem illam, et quidem cum eodem genitivo, imitatione sua comprobat.' Hujus conjecturæ auctor quis esset, ignorabamus: sed admodum vereor, ne voluerit Stephanus notare Ficinum, qui vertit, *sane in principio, mediove itinere.* Ex his vero verbis non putamus colligi posse, Ficinum legisse μεσούσης, quum potuerit sensum verborum sequutus esse. Cæterum recte tuitus est Stephanus alteram lectionem auctoritate Aristidis, cujus locum in Thes. L. Gr. laudavit v. Μεσόω. Fisch.

νεαλέστεροι] Schol. Aug. νεαλέστεροι· νεαλής, ὁ πρόσφατος· εἴρηται δὲ ἐπὶ τῶν ἁλσὶ πατουμένων ἡ λέξις· ἔτι δὲ καὶ ὁ νεωστὶ ἑαλωκὼς ἰχθύς, καὶ δὴ καὶ ὁ νεωστὶ ἁλισθείς. Non dissentiunt ab eo Hesych. Auctor Etymol. M. et Ammon. Sed νεαλής haud dubie est tantum a νέος ductum, ita, ut sit simpliciter vocabulum παράγωγον. Cæterum pro πατουμένων, ut etiam in Hesychio legitur, reponi debet πεπασμένων, ex Ammonio. Fisch.

§. 9. φύσει] Steph. 'Post φύσει quidam vet. habet δίχα· deinde Socrates in iisdem interrogat Τίνι; non Τί δή.' Nimirum in Bas. 2. est ΣΩ. δίχα τίνι; Fisch.

ἄκερων] Bas. 1. 2. ἀκέρων. Fisch.

ΞΕ. Τὴν δὴ[l] πεζονομικὴν διελὼν ἀπόδος ἑκατέρῳ τῷ μέρει, λόγῳ χρώμενος. ἂν γὰρ ὀνομάζειν αὐτὰ βουληθῇς, ἔσται σοι περιπεπλεγμένον μᾶλλον τοῦ δέοντος.

ΝΕ. ΣΩ. Πῶς οὖν χρὴ λέγειν;

ΞΕ. Ὧδε· τῆς πεζονομικῆς ἐπιστήμης δίχα διαιρεθεί-
II. ii. 264. σης τὸ μόριον θάτερον ἐπὶ τῷ κεροφόρῳ[m] μέρει τῷ τῆς ἀγέλης ἐπιτετάχθαι,[n] τὸ δὲ ἕτερον ἐπὶ τῷ τῆς ἀκεράτου.

ΝΕ. ΣΩ. Ταῦτ' ἔστω ταύτῃ λεχθέντα· πάντως γὰρ ἱκανῶς δεδήλωται.

ΞΕ. Καὶ μὴν ὅ γε βασιλεὺς ἡμῖν αὖ καταφανὴς[o] ὅτι κολοβὸν[p] ἀγέλην τινὰ[q] κεράτων[r] νομεύει.

ΝΕ. ΣΩ. Πῶς γὰρ οὐ δῆλος;[s]

ΞΕ. Ταύτην τοίνυν καταθραύσαντες τὸ γιγνόμενον[t] αὐτῷ πειρώμεθα ἀποδοῦναι.

ΝΕ. ΣΩ. Πάνυ γε.

ΞΕ. Πότερον οὖν βούλει τῷ σχιστῷ τε καὶ τῷ καλουμένῳ μώνυχι διαιρεῖν αὐτὴν ἢ τῇ[u] κοινογονίᾳ[v] τε καὶ ἰδιογονίᾳ; μανθάνεις γάρ που.

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Ὅτι τὸ μὲν τῶν ἵππων καὶ ὄνων πέφυκεν ἐξ[w] ἀλλήλων γεννᾶν.

ον
ρασφόρων F, κερασφόρων ΛΕ et pr Γ.—[l] δὲ Ξ.—πεζονομικὴν...τῆς om Π.—[m] κερο-
εν ῶ
φόρω 𝔄ΔΠ : κερασφόρῳ *ς.—[n] ἐπιτετάχθαι Η.—τὸ Ε, τὸ F, om ΣΥ.—[o] καταφανεὶς BC.—[p] κολοβὸν 𝔄ΓΔΛΞΠΒCΗ : κολοβῶν *ς.—[q] ἀγέλην τινὰ 𝔄ΔΠ : τινα ἀγέλην *ς.—[r] κεράτων 𝔄ΔΠ et pr F : ἀκεράτων *ς.—[s] δῆλον Ε.—[t] κινούμενον 𝔄ΓΔΛΞΠΣ
γινό οι
ΥΒCFΗ, κινούμενον Ε, μόριον γρ Π.—[u] πηι 𝔄.—[v] κυνογονία Η.—[w] ἐξ om Λ.—

τῷ τῆς ἀκεράτου] Ald. Bas. 1. 2. τὸ τῆς ἀκεράστου. male. Sed usus est Plato hoc loco forma vocabuli integra nec contracta, quia ἄκερως et ἄκερων sunt μονόπτωτα, auctore Suida in v. Ἄκερως βοῦς. Fisch.

καταθραύσαντες] Bas. 2. καταθραύσοντες· male. Fisch.

γινόμενον] Ita Cornarius monuit, emendandum esse γινόμενον, propterea quod Hospes supra §. 5. dixisset, ἆρ' οὐχ εὑρήσομεν γενέσεως τινὸς ἕνεκα προστάττοντας, hoc est, *Nonne imperantes ea de caussa inveniemus, ut scilicet aliquid fiat?* Jam eas mihi, lector, et judices de fide et gravitate Stephani, qui scripsit, 'Ald. editio habet κινούμενον, quod Germanica (h. e. Bas. 1.) mutavit in κοινούμενον. At vet. cod. lectio est γινόμενον, quæ cum præcedentibus etiam convenit, et a Ficino agnoscitur. nam vertit, *Hanc itaque discerpentes, quod ab ipso agitur, exhibere conemur.*' Fisch.

κοινογονίᾳ] Bas. 2. κοινογενίᾳ. Fisch.

ποῖον; ὅτι] Non apte ad interroga-

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Τὸ δέ γε λοιπὸν ἔτι τῆς λείας[x] ἀγέλης τῶν ἡμέρων ἀμιγὲς γένει πρὸς ἄλληλα.

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;

ΞΕ. Τί δ'; ὁ πολιτικὸς ἄρ' ἐπιμέλειαν ἔχειν φαίνεται πότερα κοινογενοῦς[y] φύσεως ἤ τινος ἰδιογενοῦς;

ΝΕ. ΣΩ. Δῆλον ὅτι τῆς ἀμίκτου.

ΞΕ. Ταύτην δὴ δεῖ[z] καθά περ τὰ ἔμπροσθεν, ὡς ἔοικεν, II. ii. 265.
ἡμᾶς δίχα διαστέλλειν.

ΝΕ. ΣΩ. Δεῖ γὰρ οὖν.

ΞΕ. Καὶ μὴν[a] τό γε ζῶον, ὅσον ἥμερον καὶ ἀγελαῖον, II. 266.
σχεδὸν πλὴν γενοῖν δυοῖν πᾶν ἤδη κατακεκερμάτισται. τὸ γὰρ τῶν κυνῶν οὐκ ἐπάξιον καταριθμεῖν γένος ὡς ἐν ἀγελαίοις θρέμμασιν.

ΝΕ. ΣΩ. Οὐ γὰρ οὖν. ἀλλὰ τίνι δὴ τὼ δύο διαιροῦμεν;

ΞΕ. Ὧι περ[b] καὶ[c] δίκαιόν γε Θεαίτητόν τε καὶ σὲ διανέμειν, ἐπειδὴ καὶ[d] γεωμετρίας ἅπτεσθον.

ΝΕ. ΣΩ. Τῷ;

ΞΕ. Τῇ[e] διαμέτρῳ δή που καὶ πάλιν τῇ τῆς διαμέτρου διαμέτρῳ.

ΝΕ. ΣΩ. Πῶς εἶπες;

ΞΕ. Ἡ φύσις ἣν τὸ γένος ἡμῶν τῶν ἀνθρώπων κέκτηται, μῶν ἄλλως πως εἰς τὴν πορείαν πέφυκεν ἢ καθά περ ἡ διάμετρος ἡ δυνάμει δίπους;

ΝΕ. ΣΩ. Οὐκ ἄλλως.

ΞΕ. Καὶ μὴν ἥ γε τοῦ λοιποῦ γένους πάλιν ἐστὶ κατὰ δύναμιν αὖ τῆς ἡμετέρας δυνάμεως διάμετρος, εἴ περ δυοῖν γέ ἐστι ποδοῖν δὶς πεφυκυῖα.[f]

[x] λείας 𝔄ΔΠ: μιᾶς *ς.—[y] κοινογενῆ ΣΥ.—[z] δεῖ δὴ Λ.—[a] μὴ Λ.—[b] ὥσπερ ΛCH.—[c] prius καὶ om ΛH.—[d] καὶ add 𝔄ΓΔΛΞΠΣΥBCH.—[e] τῇ δὲ Ξ.—[f] πεφυκυῖαν F.—

tionem illam τὸ ποῖον, respondetur adverbio ὅτι. vide igitur annon scribendum sit ὅ,τι, id est ὅπερ. Steph.

τί δ' ὁ πολιτικὸς ἆρ' ἐπιμ.] Steph. 'Scribendum puto τί δ' ὁ πολιτικός; ἆρ' ἐπιμέλ. κ. τ. λ. Videtur quoque πλεονάζειν adverbium πότερα, quum præcedat ἆρα· alioqui bimembrem esse hanc orationem oporteret, et prius membrum claudi verbo φαίνεται.' Recte. Jam in Bas. 2. interpunctum est sic, τί δ' ὁ πολιτικός; sed πότερα nobis redundare non videtur: nam ut ἆρα cohæret cum verbis ἐπιμέλειαν ἔχειν φαίνεται, ita πότερα refertur ad ἤ. Fisch.

ᾧπερ] Bas. 2. ὥσπερ. male, quum præcedat τίνι. Fisch.

ΝΕ. ΣΩ. Πῶς δ' οὐκ ἔστι; καὶ[g] δὴ καὶ σχεδὸν ὅ[h] βούλει δηλοῦν μανθάνω.

II. ii. 266. ΞΕ. Πρός[i] δὴ τούτοις ἕτερον αὖ τι τῶν πρὸς γέλωτα εὐδοκιμησάντων ἄν, ὦ Σώκρατες, ἆρα καθορῶμεν ἡμῖν γεγονὸς ἐν τοῖς διῃρημένοις;

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Τἀνθρώπινον ἡμῶν[j] ἅμα γένος ξυνειληχὸς καὶ ξυνδεδραμηκὸς γένει τῷ τῶν ὄντων γενναιοτάτῳ καὶ ἅμα εὐχερεστάτῳ.

ΝΕ. ΣΩ. Καθορῶ καὶ μάλ' ἀτόπως[k] ξυμβαῖνον.

ΞΕ. Τί δ'; οὐκ εἰκὸς ὕστατα ἀφικνεῖσθαι τὰ[l] βραδύτατα;

ΝΕ. ΣΩ. Ναί, τοῦτό γε.

ΞΕ. Τόδε δὲ[m] οὐκ ἐννοοῦμεν, ὡς ἔτι γελοιότερος ὁ βασιλεὺς φαίνεται[n] μετὰ τῆς ἀγέλης ξυνδιαθέων καὶ ξύνδρομα[o] πεπορευμένος τῷ τῶν ἀνδρῶν αὖ πρὸς τὸν εὐχερῆ βίον ἄριστα γεγυμνασμένῳ;[p]

ΝΕ. ΣΩ. Παντάπασι μὲν οὖν.

ΞΕ. Νῦν γάρ, ὦ Σώκρατες, ἐκεῖνό ἐστι καταφανὲς μᾶλλον τὸ ῥηθὲν τότ' ἐν τῇ περὶ τὸν σοφιστὴν ζητήσει.

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Ὅτι τῇ[q] τοιᾷδε μεθόδῳ τῶν λόγων οὔτε σεμνοτέρου μᾶλλον ἐμέλησεν ἢ μή, τόν τε σμικρότερον οὐδὲν ἠτίμακε πρὸ[r] τοῦ μείζονος, ἀεὶ δὲ[s] καθ' αὑτὴν περαίνει τἀληθέστατον.

II. ii. 267. ΝΕ. ΣΩ. Ἔοικεν.

ΞΕ. Οὐκοῦν μετὰ τοῦτο,[t] ἵνα[u] μή με φθῇς[v] ἐρωτήσας

[g] καὶ post δὴ om Λ.—[h] ᾧ C.—[i] πῶς Δ.—[j] ἡμῖν F.—[k] μάλα τὸ πῶς 𝔄ΓΔΛΠΣΥΒCH, μᾶλλον τὸ πῶς F.—[l] τὰ om Γ.—[m] γε 𝔄Δ et pr Π.—[n] ὁ βασιλεὺς φαίνεται 𝔄ΓΔΛΠΒCH: φαίνεται ὁ βασιλεύς *s.—[o] ξύνδραμα EF.—[p] ἐγγεγυμνασμένῳ F.—[q] τῇ om Δ.—[r] περὶ Γ.—[s] ἀλλ' ἀεὶ rc E, ἀεὶ pr F.—[t] τούτοιν 𝔄.—[u] ἃ 𝔄Δ.—[v] με φθῇς Ficinus, μ' ἔφθης 𝔄Δ (θ), μεμφθῇς ΓΛΞΣΥΒCFH et corr Π, μεμφης E: μεμφῇς *s.

τῷ] Ald. τῳ. Bas. 2. τό. male. Fisch.

μεμφῇς] Steph. 'Si emendanda sit hæc lectio, in μεμφθῇς mutanda fuerit.' Scilicet vidisse videtur, Ficinum locum vertisse, *Post hoc ne me prævenias* —. Unde eum legisse certissimum arbitror μή με φθῇς· quam lectionem ego genuinam puto; præsertim quum sequatur πρότερον ἔλθω, non ἔλθῃ, ut vitiose scriptum legitur in Bas. 2. Certe vulgata scriptura μέμφῃς manifeste mendosa est. Hæc quum scripsissem, vidi, Stephanum in notis ipsum probasse lectionem μή με φθῇς· 'Mihi tandem,' inquit, 'conjectura

τὴν βραχυτέραν ὁδὸν ἥ τις τότε ἦν ἐπὶ τὸν[w] τοῦ βασιλέως ὅρον, αὐτός σοι πρότερον ἔλθω;

ΝΕ. ΣΩ. Σφόδρα γε.

ΞΕ. Λέγω δὴ[x] δεῖν τότε εὐθὺς τὸ πεζὸν τῷ δίποδι πρὸς τετράπουν[y] γένος διανεῖμαι, κατιδόντα δὲ τἀνθρώπινον ἔτι μόνῳ τῷ πτηνῷ ξυνειληχὸς[z] τὴν δίποδα ἀγέλην πάλιν τῷ ψιλῷ καὶ τῷ πτεροφυεῖ τέμνειν, τμηθείσης δὲ αὐτῆς καὶ τότ' ἤδη τῆς ἀνθρωπονομικῆς δηλωθείσης τέχνης φέροντα τὸν πολιτικὸν καὶ βασιλικόν, οἷον ἡνίοχον εἰς αὐτὴν ἐνστήσαντα,[a] παραδοῦναι τὰς τῆς πόλεως ἡνίας, ὡς οἰκείας καὶ[b] αὐτῷ ταύτης οὔσης τῆς ἐπιστήμης.

ΝΕ. ΣΩ. Καλῶς καὶ καθαπερεὶ χρέος ἀποδέδωκάς[c] μοι τὸν λόγον, προσθεὶς τὴν ἐκτροπὴν οἷον τόκον καὶ ἀναπληρώσας[d] αὐτόν. II. 267.

§. 10. ΞΕ. Φέρε δή, καὶ ξυνείρωμεν ἐπανελθόντες ἐπὶ τὴν ἀρχὴν μέχρι τῆς τελευτῆς τὸν λόγον τοῦ ὀνόματος τῆς τοῦ πολιτικοῦ τέχνης.

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Τῆς γνωστικῆς τοίνυν ἐπιστήμης ἡμῖν ἦν κατ' ἀρχὰς μέρος ἐπιτακτικόν· τούτου δὲ ἀπεικασθὲν τὸ μόριον αὐτεπιτακτικὸν[e] ἐρρήθη. ζωοτροφικὴ δὲ πάλιν αὐτεπιτακτικῆς οὐ τὸ σμικρότατον τῶν γενῶν ἀπεσχίζετο· καὶ ζωοτροφικῆς εἶδος ἀγελαιοτροφικόν,[f] ἀγελαιοτροφικοῦ δ' αὖ II. ii. 268.

—[w] τὸν om ΣΥ.—[x] δὲ ΥΕF.—[y] πρὸς τὸ τετράπουν CH et rc ΠΒ, προστέτραπται Γ.—[z] συνειχὸς Δ.—[a] στήσαντα BC.—[b] καὶ om Ξ𝔰.—[c] ἀπέδωκάς ℵΔΠ.—[d] ἀνεπλήρωσας (ικ supra) Γ.—[e] αὐτεπιτακτικὸν ΓΛCH et mg F, αὐτεπιτακτὸν Ξ: αὐτεπίτακτον 𝔰.—

videor assequutus genuinam hujus loci scripturam: ut nimirum ex μεμφῇς faciamus, non μεμφθῇς, sed (sunt enim δεύτεραι φροντίδες σοφώτεραι) με φθῇς· ita legendo hunc locum, ἵνα μή με φθῇς ἐρωτήσας —. Ac ne quis huic meæ conjecturæ assentiri recuset afferam locum, in quo ἔφθην itidem participio jungitur, cujus eadem est quæ et illius ἐρώτησις significatio. Is est infr. p. 293. E. σμικρόν γε ἔφθης με ἐρόμενος.' Fisch.

χρέος] Sic scriptum legitur hoc nomen in omnibus libris editis. At ex observatione Eustathii et Mœridis scribi debet χρέως. nam Mœris quidem, χρέως, inquit, Ἀττικῶς· διὰ τοῦ ω μεγάλου· διὰ τοῦ ο μικροῦ, Ἕλληνες· sed Eustathius ad Il. Υ, 746. p. 958. Rom. hæc præcipit, ex Rhetorico quodam Lexico, τὸ δὲ πρωτότυπον χρέος ὅτι καὶ ἐκτείνεται καὶ συστέλλεται, δηλοῖ ὁ οὕτω γράψας ἐν Ῥητορικῷ Λεξικῷ· χρέως Ἀττικοὶ καὶ Ἴωνες, ὡς Πλάτων καὶ Δημοσθένης, διὰ τοῦ ω δηλαδὴ μεγάλου· λέγουσι δέ φησι καὶ χρέος, ἐν συστολῇ δηλονότι. Fisch.

πεζονομικόν. τοῦ δὲ πεζονομικοῦ μάλιστα ἀπετέμνετο τέχνη τῆς ἀκεράτου φύσεως θρεπτική. ταύτης δ' αὖ[g] τὸ μέρος οὐκ ἔλαττον τριπλοῦ[h] συμπλέκειν ἀναγκαῖον, ἂν εἰς[i] ἕν τις αὐτὸ ὄνομα ξυναγαγεῖν[j] βουληθῇ, γενέσεως ἀμίκτου[k] νομευτικὴν[l] ἐπιστήμην προσαγορεύων. τὸ δ' ἀπὸ τούτου τμῆμα, ἐπὶ ποίμνῃ δίποδι μέρος ἀνθρωπονομικὸν[m] ἔτι[n] λειφθὲν[o] μόνον, τοῦτ' αὐτό ἐστιν ἤδη[p] τὸ ζητηθέν, ἅμα βασιλικὸν ταὐτὸ[q] κληθὲν καὶ πολιτικόν.

ΝΕ. ΣΩ. Παντάπασι μὲν οὖν.

ΞΕ. Ἆρά γ', ὦ Σώκρατες, ἀληθῶς ἡμῖν τοῦτο, καθάπερ σὺ νῦν εἴρηκας, οὕτως ἐστὶ καὶ πεπραγμένον;[r]

ΝΕ. ΣΩ. Τὸ ποῖον δή;

ΞΕ. Τὸ παντάπασιν[s] ἱκανῶς εἰρῆσθαι τὸ προτεθέν. ἢ τοῦτ' αὐτὸ καὶ μάλιστα ἡ ζήτησις ἐλλείπει, τὸ τὸν λόγον εἰρῆσθαι μέν πως, οὐ μὴν παντάπασί γε τελέως ἀπειργάσθαι;[t]

ΝΕ. ΣΩ. Πῶς εἶπες;

ΞΕ. Ἐγὼ νῷν πειράσομαι τοῦτ' αὐτὸ ὃ διανοοῦμαι, νῦν ἔτι μᾶλλον δηλῶσαι.

II. ii. 269. ΝΕ. ΣΩ. Λέγοις ἄν.[u]

ΞΕ. Οὐκοῦν τῶν νομευτικῶν ἡμῖν πολλῶν φανεισῶν ἄρτι τεχνῶν μία τις ἦν ἡ πολιτικὴ καὶ μιᾶς τινὸς ἀγέλης ἐπιμέλεια;

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Ταύτην δέ γε διώριζεν ὁ λόγος οὐχ ἵππων εἶναι τροφὸν οὐδ' ἄλλων θηρίων, ἀλλ' ἀνθρώπων κοινοτροφικὴν ἐπιστήμην.

[f] ἀγελαιοτροφικόν om ΣΥ.—[g] αὖ om Γ.—[h] τριπλοῦν 𝔄ΓΔΛΠBCEFH.—[i] εἰ Λ et corr F.—[j] ξυναγαγεῖν 𝔄ΔΠ : ξυνάγειν ς.—[k] ἀμίκτου Bœckhius, οὐ μικτοῦ rc E cum ς : μικτοῦ ceteri.—[l] νομευτικὴν Heindorfius : libri νομευτικῆς.—[m] ἀνθρωπικὸν F.—[n] ἕνι 𝔄Δ et pr Π.—[o] ληφθὲν ΛF.—[p] δὴ Δ.—[q] ταυτὸ 𝔄ΔΛΠ : ταὐτὸν *ς.—
σται

[r] παραπεπραγμένον F.—[s] ante ἱκανῶς omisi καὶ cum 𝔄ΓΔΠ.—[t] ἀπειργάσθαι F,

§. 10. γενέσεως] Steph. 'Videri posset nomen γενέσεως mutandum in γένους, nisi talis usus nominis illius alibi extaret: sed μικτοῦ pro μικτῆς suspectum non immerito fortasse fuerit.' Mihi vero non suspectum est, quum sciam, Atticos solere hujusmodi adjectivis uti utroque in genere, ita ut dicant ὁ et ἡ μικτός. Vid. omnino Animadvers. ad Weller. p. 136. ss. Fisch.

§. 11. ΝΕ. ΣΩ. Οὕτως.

ΞΕ. Τὸ δὴ τῶν νομέων πάντων διάφορον καὶ τὸ τῶν βασιλέων θεασώμεθα.[v]

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Εἴ τις τῶν ἄλλων τὸ[w] τέχνης ἄλλης ὄνομα ἔχων[x] κοινῇ τῆς ἀγέλης ξύντροφος[y] εἶναί φησι καὶ[z] προσποιεῖται.[a]

ΝΕ. ΣΩ. Πῶς φῄς;

ΞΕ. Οἷον οἱ[b] ἔμποροι καὶ γεωργοὶ καὶ σιτουργοὶ πάντες, καὶ πρὸς τούτοις γυμνασταὶ καὶ τὸ τῶν ἰατρῶν γένος, οἶσθ'[c] ὅτι τοῖς περὶ τἀνθρώπινα[d] νομεῦσιν, οὓς πολιτικοὺς ἐκαλέσαμεν, παντάπασι τῷ λόγῳ διαμάχοιντ' ἂν οὗτοι[e] II. 268.
σύμπαντες, ὡς σφεῖς[f] τῆς τροφῆς ἐπιμελοῦνται τῆς ἀνθρωπίνης, οὐ μόνον[g] ἀγελαίων ἀνθρώπων ἀλλὰ καὶ τῆς[h] τῶν ἀρχόντων αὐτῶν;

ΝΕ. ΣΩ. Οὐκοῦν ὀρθῶς ἂν λέγοιεν;[i]

ΞΕ. Ἴσως. καὶ τοῦτο[j] μὲν ἐπισκεψόμεθα,[k] τόδε δὲ ἴσ- II. ii. 270.
μεν, ὅτι βουκόλῳ[l] γε οὐδεὶς ἀμφισβητήσει[m] περὶ τούτων οὐδενός, ἀλλ' αὐτὸς τῆς ἀγέλης τροφὸς ὁ βουφορβός, αὐτὸς ἰατρός,[n] αὐτὸς οἷον νυμφευτὴς καὶ περὶ τοὺς τῶν γιγνομένων τόκους καὶ λοχείας μόνος ἐπιστήμων τῆς μαιευτικῆς.[o] ἔτι τοίνυν παιδιᾶς καὶ μουσικῆς ἐφ' ὅσον αὐτοῦ τὰ θρέμματα φύσει μετείληφεν, οὐκ ἄλλος κρείττων παραμυθεῖσθαι καὶ κηλῶν πραΰνειν,[p] μετά τε[q] ὀργάνων καὶ ψιλῷ

σθ δ
ἀπείργασται Ε.—[u] λέγοις ἂν om ΛCEH.—[v] θεασόμεθα Γ.—[w] τῷ Β, τῳ ΛFH, τῷ
ει
corr Π, τὸ τῆς ΣΥ.—[x] ἔχων F, ἔχειν corr Π.—[y] ξύντροφον ΓΗ, σύντροφον C.—
ται σθ
[z] καὶ om ΛΗ.—[a] προσποιεῖσθαι Β, προσποιεῖσθαι ΓΛCH.—[b] οἵ τε Ξ.—[c] οἶδ' Ε, οἶδ' F.—[d] τἀνθρώπινα Γ.—[e] οὗτοι αὐτοὶ Γ.—[f] φεῖς Γ, φῂς ΣΥ, αὐτοὶ Η.—[g] μόνων Γ.—[h] τῇ Σ.—[i] λέγοιμεν ℨΔ et pr Π.—[j] τοῦτο Ξ.—[k] ἐπισκεψόμεθα ℨΓΔΞΠ : ἐπισκεψώμεθα *ς.—[l] ante βουκόλῳ omisi τῷ cum ΓΔΛΠΒCH.—[m] ἀμφισβητήσει ℨΓΔΞΠ ΣΥ, ἀμφισβητῆται F : ἀμφισβητεῖται *ς.—[n] αὐτὸς ὁ ἰατρὸς ΣΥ.—[o] μονευτικῆς ΣΥ.
θ
—[p] πραΰνει Σ et pr Ξ.—[q] τε ℨΓΔΛΞΠΒCFH : γε *ς.—[r] θῶμεν ℨΓΔΛΠΒCH, φῶ-

§. 11. θεασώμεθα] Ald. Bas. 1. 2. θεασόμεθα. At Ficinus, *videamus*. Fisch.

προσποιεῖται] Bas. 2. προσποιεῖσθαι· male. Fisch.

λέγοιεν; ΞΕ. ἴσως] Ald. λέγοιεν ἴσως. ΞΕ. male. Etiam Ficinus in versione reddidit alterum verborum ordinem. Fisch.

ἀμφισβητεῖται] Steph. 'Alias ἀμφισβητήσει· quod malo: aut certe ἀμφισβητεῖ.' Ficinus scilicet legisse videtur ἀμφισβητεῖ. vertit, *certat*. Sed magis placet ἀμφισβητήσει· quæ est Bas. 2. lectio. Fisch.

νυμφευτὴς] Pollux iii. 40. ὁ δὲ καλούμενος παρανύμφιος, νυμφευτὴς ὀνομάζεται. Idem iv. 208. λοχεία, ἡ τοῦ τεκεῖν ἐπιμέλεια. et μαιευτική, ἡ τέχνη. Fisch.

τῷ στόματι τὴν τῆς αὑτοῦ ποίμνης ἄριστα μεταχειριζόμενος μουσικήν. καὶ δὴ καὶ τῶν ἄλλων πέρι νομέων ὁ αὐτὸς τρόπος. ἢ γάρ;

ΝΕ. ΣΩ. Ὀρθότατα.

ΞΕ. Πῶς οὖν ἡμῖν ὁ λόγος ὀρθὸς φανεῖται καὶ ἀκέραιος ὁ περὶ τοῦ βασιλέως, ὅταν αὐτὸν νομέα καὶ τροφὸν ἀγέλης ἀνθρωπίνης θῶμεν[r] μόνον ἐκκρίνοντες μυρίων ἄλλων ἀμφισβητούντων;

ΝΕ. ΣΩ. Οὐδαμῶς.

ΞΕ. Οὐκοῦν ὀρθῶς ὀλίγον ἔμπροσθεν ἐφοβήθημεν ὑποπτεύσαντες μὴ λέγοντες μέν τι[s] τυγχάνοιμεν σχῆμα βασιλικόν, οὐ μὴν[t] ἀπειργασμένοι γε εἶμέν[u] πω δι' ἀκριβείας

μεν Ξ : φῶμεν *ς.—[s] τοι ΓΛ.—[t] οὐκοῦν Δ.—[u] εἶμεν Δ, εἰμέν 𝔄 : ἦμεν corr Π cum

ἀκέραιος] Steph. 'Legitur etiam ἀκριβής' nimirum in Bas. 2. At Ficinus quoque legit ἀκέραιος. vertit enim, *integer*. Atque hæc lectio haud dubie vera est, quum ἀκέραιος exquisitius sit elegantiusque dictum, quam ἀκριβής. Timæus: Ἀκέραιοι· οἱ ἔξω κηρός· ubi v. Ruhnquenius. Fisch.

φῶμεν] Steph. 'Est et alia lectio θῶμεν· quam sequitur Ficinus, eodem manente sensu. Sic autem dixit θήσομεν p. 258. circa finem.' Recte : nam versio Ficini habet, *ponimus:* et in Bas. 2. diserte scriptum est θῶμεν. Fisch.

ἐκκρίνοντες] Scribendum est sine dubio ἐγκρίνοντες. Hæc autem Regis cum pastore assimilatio insignem habet sublimitatis vim. Cf. Legg. iv. p. 713. C. ubi aurea ætate Saturnus dicitur hominibus præposuisse non homines, qui ipsos regerent, sed ejusmodi naturas, quæ tanto essent hominibus superiores, quanto nunc sunt gregibus pastores. Cf. infra p. 271. D. et Critia p. 109. B. Dii, cum terram invicem secundum varias ipsius regionis distribuissent, οἷον νομεῖς κτήματα καὶ ποίμνια καὶ θρέμματα ἑαυτῶν ἡμᾶς ἔτρεφον· πλὴν οὐ σώμασι σώματα βιαζόμενοι, καθάπερ ποιμένες κτήνη πληγῇ νέμοντες, ἀλλ' ᾗ μάλιστα διάνοιαν οὕτως ἄγοντες τὸ θνητὸν ἅπαν ἐκυβέρνων. Cui loco si conferamus quam ipsius versionem dedit Ficinus, reperiemus, multa ei et præclara jam deesse, quæ in Ficini Cod. exstiterunt. Sic enim vertit: *Hosce, veluti greges ipsorum possessionesque et armenta nutrivere, hoc tantum excepto, quod corporibus corpora cogere noluerunt, quemadmodum plagis pecora jumentaque pastores solent: at vero tamquam docile et obediens animal, quasi ex puppe navem agilem dirigentes, persuasione pro gubernaculis utebantur, eaque animam attingebant et pro arbitrio suo ita ducentes mortale genus omne gubernabant.* Sed sublimis sententiæ jacturam, ut hæc Ficini versio, ita Plutarchi locus aliquantum compensat, qui manifeste sententiam exprimit. Locus ille est in Præc. Ger. Reip. t. ii. p. 801. D. qui, etsi longiusculus, totus apponendus est, ut sensus appareat : Οὐ μὴν ἀμελητέον γε διὰ τοῦτο τῆς περὶ τὸν λόγον χάριτος καὶ δυνάμεως, ἐν ἀρετῇ θεμένους τὸ σύμπαν, ἀλλὰ τὴν ῥητορικὴν νομίσαντες μὴ δημιουργὸν, ἀλλά τι συνεργὸν εἶναι πειθοῦς, ἐπανορθωτέον τὸ τοῦ Μενάνδρου, Τρόπος ἐσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος. καὶ γὰρ ὁ τρόπος καὶ ὁ λόγος· εἰ μὴ νὴ Δία φήσει τις ὡς τὸν κυβερνήτην ἄγειν τὸ πλοῖον, οὐ τὸ πηδάλιον, καὶ τὸν ἱππέα στρέφειν τὸν ἵππον, οὐ τὸν χαλινὸν, οὕτως πόλιν πείθειν, οὐ λόγῳ ἀλλὰ τρόπῳ χρωμένην, ὥσπερ οἴακι καὶ χαλινῷ τὴν πολιτικὴν ἀρετὴν, ὅπερ εὐστροφώτατον ζῶον, ὥς φησι Πλάτων, οἷον ἐκ πρύμνης ἁπτομένην καὶ κατευθύνουσαν· Obiter moneo, in eodem dialogo paullo ante pro τοῖς δ' ἐνθένδε ἐκπλέουσιν ἐπὶ τὸ πᾶν πέλαγος legendum esse τ. δ' ἐ. ἐ. ἐπὶ τὸ πέραν πέλαγος. Heusd.

ἦμεν] Repono εἶμεν, quod sit per syncopen dictum pro εἴημεν et conveniat cum τυγχάνοιμεν. Steph.

τὸν[v] πολιτικόν, ἕως ἂν τοὺς περικεχυμένους αὐτῷ καὶ τῆς
συννομῆς[w] αὐτῷ ἀντιποιουμένους[x] περιελόντες[y] καὶ χωρί- II. ii. 271.
σαντες ἀπ' ἐκείνων καθαρὸν μόνον αὐτὸν ἀποφήνωμεν;

ΝΕ. ΣΩ. Ὀρθότατα μὲν[z] οὖν.

ΞΕ. Τοῦτο τοίνυν, ὦ Σώκρατες, ἡμῖν ποιητέον, εἰ μὴ μέλλοιμεν ἐπὶ τῷ τέλει καταισχῦναι τὸν λόγον.

ΝΕ. ΣΩ. Ἀλλὰ μὴν οὐδαμῶς τοῦτό γε δραστέον.

§. 12. ΞΕ. Πάλιν τοίνυν ἐξ ἄλλης[a] ἀρχῆς δεῖ καθ' ἑτέραν[b] ὁδὸν πορευθῆναί τινα.

ΝΕ. ΣΩ. Ποίαν δή;

ΞΕ. Σχεδὸν παιδιὰν ἐγκερασαμένους· συχνῷ γὰρ μέρει δεῖ[c] μεγάλου μύθου προσχρήσασθαι, καὶ τὸ λοιπὸν δή,[d] καθά περ ἐν τοῖς πρόσθεν, μέρος ἀεὶ[e] μέρους ἀφαιρουμένους ἐπ' ἄκρον[f] ἀφικνεῖσθαι τὸ ζητούμενον. οὐκοῦν[g] χρή;

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Ἀλλὰ δὴ τῷ μύθῳ μου[h] πάνυ πρόσεχε τὸν νοῦν, καθά περ οἱ παῖδες· πάντως οὐ πολλὰ ἐκφεύγεις[i] παιδιᾶς[j] ἔτη.

ΝΕ. ΣΩ. Λέγοις ἄν.

ΞΕ. Ἦν τοίνυν καὶ ἔτι ἔσται τῶν πάλαι λεχθέντων πολλά τε[k] ἄλλα καὶ δὴ καὶ[l] τὸ[m] περὶ τὴν Ἀτρέως τε καὶ Θυέστου λεχθεῖσαν ἔριν φάσμα. ἀκήκοας γάρ που καὶ ἀπομνημονεύεις ὅ φασι[n] γενέσθαι τότε.

ΝΕ. ΣΩ. Τὸ περὶ τῆς χρυσῆς ἀρνὸς ἴσως σημεῖον φρά- II. ii. 272.
ζεις.

ΞΕ. Οὐδαμῶς, ἀλλὰ τὸ περὶ τῆς μεταβολῆς δύσεώς II. 269.
τε καὶ ἀνατολῆς ἡλίου καὶ τῶν ἄλλων ἄστρων,[o] ὡς ἄρα

*ς.—[v] τὸ τὸν H.—[w] συννομῆς ΓΛΠΣΥBCEF, συνομῆς 𝔄ΔH: συννομικῆς ς.—[x] ἀντιποιουμένης Λ.—[y] περιλέγοντες F.—[z] μὲν om ΣΥ.—[a] ἄλλης om Λ, post ἀρχῆς ponit Γ.—[b] θατέραν F.—[c] δεῖ om Ξ.—[d] δεῖ 𝔄Δ et pr Π.—[e] αἰεὶ, ut solet, Δ.—[f] ἄκρων ΣΥ.—[g] : οὐκοῦν ΞCEH, quorum ΞCE id signum post οὖν om.—[h] που ς.—[i] ἐκφεύγης Δ.—[j] παιδίας ΥEF, παιδείας corr Π.—[k] τε καὶ ΣΥ.—[l] δὴ καὶ om

περιελόντες] Ald. περιελέγοντες. Bas. 1. περιλέγοντες. Sed in Bas. 2. est περιελόντες. recte. Ficinus vertit, *comprehendamus*. Fisch.

πάντως] Videri possit deesse particula γὰρ post πάντως. sic tamen ut ferri etiam lectio illa possit, nulla interjecta particula. Omnino autem παιδίας (quum de pueritia seu pucrili ætate intelligatur) non παιδιᾶς scribendum est, ut habent præced. edd. Steph. Recte. Sed ut ita censeret, adductus videtur versione Ficini, *neque enim a puerilibus annis procul abes*. Fisch.

ὅθεν[p] μὲν ἀνατέλλει νῦν, εἰς τοῦτον τότε τὸν τόπον ἐδύετο, ἀνέτελλε[q] δ'[r] ἐκ τοῦ ἐναντίου, τότε δὲ δὴ μαρτυρήσας ἄρα ὁ θεὸς Ἀτρεῖ μετέβαλεν[s] αὐτὸ[t] ἐπὶ τὸ νῦν σχῆμα.

ΝΕ. ΣΩ. Λέγεται γὰρ οὖν δὴ καὶ τοῦτο.

ΞΕ. Καὶ μὴν αὖ καὶ τήν γε βασιλείαν ἣν[u] ἦρξε Κρόνος πολλῶν ἀκηκόαμεν.

ΝΕ. ΣΩ. Πλείστων μὲν οὖν.

ΞΕ. Τί δέ; τὸ τοὺς ἔμπροσθεν φύεσθαι γηγενεῖς καὶ μὴ ἐξ ἀλλήλων[v] γεννᾶσθαι;

ΝΕ. ΣΩ. Καὶ τοῦτο ἓν τῶν πάλαι λεχθέντων.

ΞΕ. Ταῦτα τοίνυν ἔστι μὲν ξύμπαντα ἐκ ταὐτοῦ πάθους, καὶ πρὸς τούτοις ἕτερα μυρία καὶ τούτων ἔτι θαυμαστότερα, διὰ δὲ χρόνου πλῆθος τὰ μὲν αὐτῶν ἀπέσβηκε, τὰ δὲ διεσπαρμένα εἴρηται χωρὶς ἕκαστα ἀπ' ἀλλήλων. ὃ δ' ἐστὶ πᾶσι τούτοις αἴτιον τὸ πάθος, οὐδεὶς εἴρηκε, νῦν δὲ δὴ λεκτέον· εἰς γὰρ τὴν τοῦ βασιλέως ἀπόδειξιν πρέψει[w] ῥηθέν.

§. 13. ΝΕ. ΣΩ. Κάλλιστ' εἶπες, καὶ λέγε μηδὲν ἐλλείπων.[x]

II. ii. 273. ΞΕ. Ἀκούοις ἄν. τὸ γὰρ πᾶν τόδε τοτὲ μὲν αὐτὸς ὁ θεὸς ξυμποδηγεῖ πορευόμενον καὶ συγκυκλεῖ, τοτὲ δ' ἀνῆκεν,

δ λ
𝔄ΔΠ.—[m] τῶ F.—[n] φησὶ Γ.—[o] ἀστέρων Γ.—[p] οὐδὲν, in mg ὅθεν, F.—[q] ἀνέτελε Ξ, ἀνέτειλε ΣΥ.—[r] δὲ om Σ.—[s] μετέβαλλεν ΠΕF.—[t] αὐτὸν Π.—[u] ᾗ Δ et pr Π, η
λλ
𝔄.—[v] ἀδήλων BE, ἀδήλων ΓCFH.—[w] τὸ ΣΥ: vulgatam corr Ξ.—[x] ἐλλεῖπον 𝔄Δ

μετέβαλεν] Ald. Bas. 1. μετέβαλλεν· male. Fisch.

ἀλλήλων] Ald. Bas. 1. 2. ἀδήλων· quod Cornarius monuit mutandum esse in ἀλλήλων, ut ipse jam Ficinus legit. vertit enim, *e terra procreari, haud vero ex se invicem.* rectissime: ut §. 15. Fisch.

ἀπέσβηκε] Suidas: Ἀπέσβη· ἐσβέσθη, ἢ ἐπαύσατο, τέθνηκεν. Ἀπέσβηκε λέγουσι τὸ ἀπεσβέσθη, οἵ τε ἄλλοι, καὶ Πλάτων Πολιτικῷ. Timæus: Ἀπέσβη· τέθνηκεν· quam glossam Ruhnquenius putabat ex hoc loco sumtam esse, ita ut Timæus ἀπέσβη legisse videretur, non ἀπέσβηκε. recte. Sed si glossa sit Platonica, neque aliena; inserendum arbitror e Suida ἐπαύσατο ante τέθνηκεν, ut glossema respondeat glossæ. Fisch.

§. 13. τὸ γὰρ πᾶν κ. τ. λ.] Hic locus, inde a verbis τὸ γὰρ πᾶν usque ad verba γίγνηται τροπὴ §. 14. habetur apud Euseb. Præp. Evang. xi. 32. p. 559. Fisch.

πορευόμενον] Euseb. πορευόμενος· minus bene. Cæterum laudatur hic ipse locus a Demetrio Phalereo περὶ ἑρμ. §. 5. ita, Τὸ γὰρ δὴ πᾶν τόδε, τοτὲ μὲν αὐτὸς ὁ θεὸς πορευόμενον ξυμποδηγεῖ καὶ συγκυκλεῖ. Ita Victorius edidit, et post eum alii. recte. nam Aldus dederat πορευόμενος ποδηγεῖ. Δὴ non dubium est, quin recipi debeat in libros Platonis. Fisch.

τοτὲ δ' ἀνῆκεν] Ald. τὸ τὲ φανῆκεν. Fisch.

ὅταν αἱ περίοδοι τοῦ προσήκοντος αὐτῷ μέτρον εἰλήφωσιν[y] ἤδη χρόνου, τὸ δὲ πάλιν αὐτόματον εἰς τἀναντία περιάγεται, ζῷον ὂν καὶ φρόνησιν εἰληχὸς[z] ἐκ τοῦ συναρμόσαντος αὐτὸ κατ' ἀρχάς. τοῦτο δὲ αὐτῷ τὸ ἀνάπαλιν ἰέναι διὰ τόδ' ἐξ ἀνάγκης ἔμφυτον γέγονεν.

ΝΕ. ΣΩ. Διὰ τὸ ποῖον δή;

ΞΕ. Τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχειν ἀεὶ καὶ ταὐτὸν εἶναι τοῖς πάντων θειοτάτοις προσήκει μόνοις, σώματος δὲ φύσις οὐ ταύτης τῆς τάξεως. ὃν δὲ οὐρανὸν καὶ κόσμον ἐπωνομάκαμεν, πολλῶν μὲν[a] καὶ μακαρίων παρὰ τοῦ γεννήσαντος μετείληφεν, ἀτὰρ οὖν δὴ κεκοινώνηκέ γε καὶ σώματος. ὅθεν αὐτῷ μεταβολῆς ἀμοίρῳ[b] γίγνεσθαι διὰ παντὸς ἀδύνατον, κατὰ δύναμίν γε μὴν[c] ὅτι μάλιστα ἐν τῷ αὐτῷ κατὰ ταὐτὰ μίαν φορὰν κινεῖται· διὸ τὴν ἀνακύκλησιν[d] εἴληχεν, ὅτι[e] σμικροτάτην τῆς αὑτοῦ κινήσεως παράλλαξιν. αὐτὸ δὲ ἑαυτὸ στρέφειν ἀεὶ σχεδὸν οὐδενὶ δυνατὸν πλὴν τῷ[f] τῶν κινουμένων αὖ[g] πάντων[h] ἡγουμένῳ. κινεῖν δὲ τούτῳ[i] τοτὲ μὲν ἄλλως, αὖθις δὲ ἐναντίως οὐ θέμις. ἐκ πάντων δὴ τούτων τὸν κόσμον μήτε αὐτὸν χρὴ φάναι στρέφειν II. ii. 274.
ἑαυτὸν ἀεί, μήτ' αὖ ὅλον[j] ἀεὶ ὑπὸ θεοῦ[k] στρέφεσθαι διττὰς καὶ ἐναντίας περιαγωγάς, μήτ' αὖ δύο[l] τινὲ θεὼ φρονοῦντε II. 270.
ἑαυτοῖς ἐναντία στρέφειν αὐτόν, ἀλλ' ὅ περ ἄρτι ἐῤῥήθη καὶ μόνον λοιπόν, τοτὲ μὲν ὑπ' ἄλλης συμποδηγεῖσθαι θείας αἰτίας, τὸ ζῆν πάλιν ἐπικτώμενον καὶ λαμβάνοντα ἀθανασίαν ἐπισκευαστὴν[m] παρὰ[n] τοῦ δημιουργοῦ, τοτὲ δ' ὅταν

et pr Π.—[y] εἰλήφωσιν ΓΔΛΞΠΣΥΒΗ, εἰληφῶσιν 𝔄 : εἰλήφασιν ς.—[z] εἰληφὸς Γ.—[a] μὲν οὖν 𝔄ΔΠ.—[b] ἀμοίρων Λ.—[c] μὴν om ΣΥ.—[d] ἀνάκλησιν Η.—[e] τι 𝔄Δ et pr Π.—[f] τὸ 𝔄.—[g] αὖ add 𝔄ΓΔΠΣΥΒCEFH et rc Ξ.—[h] ἁπάντων Λ.—[i] τούτῳ (ο) E.—[j] ἄλλον ΣΥ, ὅσον E.—[k] ὑπὸ θεοῦ ἀεὶ Ξ.—[l] δύω ΓΞΣΥΒCFH.—[m] ἐπισκευαστικὴν Υ

εἰλήφασιν] Euseb. εἰλήφωσιν· recte. Mox τοτὲ δέ· πάλιν—dein εἰληφὸς—ξυναρμόσαντος—τὸ πάλιν—τόδε—γεγονέναι. (sed Cod. Ms. Eusebii γέγονε—recte, etiam Vigero judice)—κατὰ τὰ αὐτά—ὃν δὴ οὐρ.—διότι pro διό. Fisch.

ταυτὰ] Ald. Bas. 1. 2. ταῦτα. At Ficinus, *secundum eadem*. recte. Etiam Euseb. τὰ αὐτά. Fisch.

πάντων ἡγουμ.] Bas. 2. πάντων αὖ ἡγουμένῳ. Euseb. κινουμένων αὖ πάντων. recte. Fisch.

ὅλον] Ald. Bas. 1. ὅσον· sed Cornarius rescribendum docuit ὅλον· quæ lectio est in Bas. 2. expressa etiam a Ficino. recte. Idem Cornarius in aliquibus libris esse ait ἄλλον· quam tamen lectionem reperire nuspiam potuimus. nam etiam apud Euseb. μηθ' ὅλον legitur. Fisch.

ἀνεθῇ, δι' ἑαυτὸν αὐτὸν[o] ἰέναι[p] κατὰ καιρόν, ἀφεθέντα τοιοῦτον ὥστε ἀνάπαλιν πορεύεσθαι πολλὰς περιόδων[q] μυριάδας διὰ τὸ[r] μέγιστον ὂν καὶ ἰσοῤῥοπώτατον ἐπὶ σμικροτάτου[s] βαῖνον ποδὸς ἰέναι.

ΝΕ. ΣΩ. Φαίνεταί γ' οὖν δὴ καὶ μάλα εἰκότως εἰρῆσθαι πάνθ' ὅσα διελήλυθας.

§. 14. ΞΕ. Λογισάμενοι δὴ ξυννοήσωμεν τὸ πάθος ἐκ τῶν νῦν λεχθέντων, ὃ πάντων ἔφαμεν εἶναι τῶν θαυμαστῶν[t] αἴτιον. ἔστι γὰρ οὖν δὴ τοῦτ' αὐτό.

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Τὸ τὴν τοῦ παντὸς φορὰν τοτὲ μὲν ἐφ' ἃ νῦν κυκλεῖται φέρεσθαι, τοτὲ δ' ἐπὶ τἀναντία.

ΝΕ. ΣΩ. Πῶς δή;

II. ii. 275. ΞΕ. Ταύτην τὴν μεταβολὴν ἡγεῖσθαι δεῖ τῶν περὶ τὸν οὐρανὸν[u] γιγνομένων τροπῶν[v] πασῶν εἶναι μεγίστην καὶ τελεωτάτην[w] τροπήν.

ΝΕ. ΣΩ. Ἔοικε γοῦν.

ΞΕ. Μεγίστας[x] τοίνυν καὶ μεταβολὰς χρὴ νομίζειν γίγνεσθαι τότε τοῖς ἐντὸς ἡμῖν οἰκοῦσιν αὐτοῦ.

ΝΕ. ΣΩ. Καὶ τοῦτο εἰκός.

ΞΕ. Μεταβολὰς δὲ μεγάλας καὶ πολλὰς καὶ παντοίας[y] συμφερομένας ἆρ' οὐκ ἴσμεν τὴν τῶν ζώων φύσιν ὅτι χαλεπῶς ἀνέχεται;

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;

ΞΕ. Φθοραὶ τοίνυν[z] ἐξ ἀνάγκης τότε μέγισται συμβαίνουσι[a] τῶν τε[b] ἄλλων ζώων, καὶ δὴ καὶ τὸ τῶν ἀνθρώπων γένος[c] ὀλίγον τι περιλείπεται. περὶ δὲ τούτους ἄλλα τε παθήματα πολλὰ καὶ θαυμαστὰ καὶ καινὰ συμπίπτει, μέγιστον δὲ τόδε καὶ ξυνεπόμενον[d] τῇ τοῦ παντὸς ἀνειλίξει,[e] τότε ὅταν ἡ τῆς νῦν καθεστηκυίας ἐναντία γίγνηται τροπή.

et pr Ξ.—[n] παρὰ om ΣΥ.—[o] ἑαυτὸν 𝔄ΔΠ.—[p] ἱέναι Δ.—[q] προόδων C.—[r] διὰ δὲ τὸ 𝔄ΓΔΠΣΥ.—[s] μικροτάτου 𝔄.—[t] θαυμάτων ΣΥ.—[u] τῶν οὐρανῶν Η.—[v] τρόπων 𝔄.—[w] τελεωτάτην 𝔄ΔΞΠ : τελειοτάτην ς.—[x] : μεγίστας ΓΞC.—[y] παντοίας καὶ πολλὰς Π.—[z] τοίνυν...δὴ om Σ.—[a] συμβαίνουσαι Λ.—[b] τε om Λ.—[c] γένος om pr Π.—

δι' ἑαυτὸν ἰέναι] Ald. Bas. 1. 2. δι' ἑαυτὸν αὐτὸν ἰέναι. Euseb. δι' ἑαυτοῦ αὐτὸν ἰέναι. recte. Fisch.

§. 14. ξυννοήσωμεν] Ald. Bas. 1. 2. ξυννοήσομεν. male. Fisch.

μεγάλας καὶ πολλὰς] Euseb. πολλὰς ἢ μεγάλας. male. Fisch.

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Ἣν ἡλικίαν ἕκαστον εἶχε τῶν ζώων, αὕτη πρῶτον μὲν ἔστη[f] πάντων, καὶ ἐπαύσατο πᾶν ὅσον ἦν θνητὸν ἐπὶ τὸ γεραίτερον ἰδεῖν πορευόμενον, μεταβάλλον[g] δὲ πάλιν ἐπὶ τοὐναντίον οἷον νεώτερον καὶ ἁπαλώτερον ἐφύετο.[h] καὶ τῶν μὲν πρεσβυτέρων αἱ[i] λευκαὶ τρίχες ἐμελαίνοντο,[j] τῶν δ' αὖ II. ii. 276. γενειώντων αἱ παρειαὶ λεαινόμεναι πάλιν ἐπὶ τὴν παρελθοῦσαν ὥραν ἕκαστον καθίστασαν,[k] τῶν δὲ[l] ἡβώντων τὰ σώματα λεαινόμενα[m] καὶ σμικρότερα[n] καθ' ἡμέραν καὶ νύκτα ἑκάστην[o] γιγνόμενα πάλιν εἰς τὴν τοῦ νεογενοῦς παιδὸς φύσιν ἀπῄει, κατά τε[p] τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα ἀφομοιούμενα· τὸ δ' ἐντεῦθεν ἤδη μαραινόμενα κομιδῇ τὸ πάμπαν ἐξηφανίζετο. τῶν δ' αὖ βιαίως τελευτώντων ἐν τῷ τότε χρόνῳ τὸ τοῦ νεκροῦ σῶμα[q] ταὐτὰ ταῦτα πάσχον παθήματα διὰ τάχους[r] ἄδηλον ἐν ὀλίγαις ἡμέραις II. 271. διεφθείρετο.

§. 15. ΝΕ. ΣΩ. Γένεσις δὲ δὴ[s] τίς τότ' ἦν, ὦ ξένε, ζώων; καὶ τίνα τρόπον ἐξ ἀλλήλων ἐγεννῶντο;

ΞΕ. Δῆλον, ὦ Σώκρατες, ὅτι τὸ μὲν ἐξ ἀλλήλων οὐκ ἦν ἐν τῇ τότε φύσει γεννώμενον, τὸ δὲ γηγενὲς εἶναί ποτε γένος λεχθέν, τοῦτ' ἦν τὸ κατ' ἐκεῖνον τὸν χρόνον ἐκ γῆς πάλιν ἀναστρεφόμενον, ἀπεμνημονεύετο δὲ ὑπὸ τῶν ἡμετέρων προγόνων τῶν πρώτων,[t] οἳ τελευτώσῃ[u] μὲν τῇ προτέρᾳ

[d] ξυνεπόμενον CH et corr B.—[e] ἀνελίξει Eϛ.—[f] ἐστι 𝔄Δ et pr Π.—[g] μεταβάλλειν H.—[h] ἐφίετο Ξ.—[i] αἱ om pr Ξ.—[j] ἐλευκαίνοντο ΣΥ.—[k] καθέστασαν ϛ.—[l] δὲ 𝔄ΔΛ
δε ατ
ΠΗ, τε B : τε *ϛ.—[m] λιαινόμενα 𝔄ΔΠ.—[n] σμικρότερα B, σμικρότατα ΓΛΗ, σμικρότεραν Υ.—[o] ἑκάστην post νύκτα ponunt 𝔄ΔΠ, ante ἡμέραν ΓΞΣ, post ἡμέραν *ϛ.—[p] τε om ΓΛΒCEFH.—[q] σῶμα om 𝔄Δ et pr Π.—[r] τάχους 𝔄ΔΠΗ et γρ ΛΒC : τέλους *ϛ.—[s] δ' ἢ 𝔄.—[t] τῶν πρώτων om H.—[u] τελευτῶσι Δ et pr Λ.—[v] γοῦν C et

ἕκαστον] Vel ἑκάστου reponendum videtur, vel καθέστασαν mutandum in καθίστασαν, ut sit activa significatio. Steph. Posterior ratio verissima est. Fisch.

κατά τε] In Ald. Bas. 1. deest τε· quam tamen particulam etiam Ficinus reddidit. Fisch.

διὰ τέλους] Steph. 'Legitur etiam διὰ τάχους pro διὰ τέλους.' Nempe in Bas. 2. qui liber diserte scriptum exhibet διατάχους. rectius, ut opinor. Ficinus quoque expressisse videtur eandem lectionem, alieno quamvis loco; vertit enim, *Cadavera præterea illorum, qui cælestis mutatione vertiginis subito corruerunt, idem patiuntur*. Fisch.

§. 15. γένεσις δὲ δὴ κ. τ. λ.] Hunc locum habet Eusebius Præp. Evang. xi. 33. p. 561. inde ab his verbis usque ad verba ἕπεται τοῖς ἔμπροσθεν· sed legit, γένεσις δὲ τίς. Fisch.

προτέρᾳ] Euseb. τελευταίᾳ. Sed altera lectio est melior et significantior, judice Vigero. Fisch.

περιφορᾷ τὸν ἑξῆς χρόνον ἐγειτόνουν, τῆσδε δὲ κατ' ἀρχὰς ἐφύοντο· τούτων γὰρ οὗτοι κήρυκες ἐγένονθ' ἡμῖν τῶν λόγων, οἳ νῦν ὑπὸ πολλῶν οὐκ[v] ὀρθῶς ἀπιστοῦνται. τὸ γὰρ
II. ii. 277. ἐντεῦθεν, οἶμαι, χρὴ ξυννοεῖν. ἑχόμενον γάρ ἐστι τῷ[w] τοὺς πρεσβύτας ἐπὶ τὴν τοῦ παιδὸς ἰέναι φύσιν, ἐκ τῶν[x] τετελευτηκότων αὖ, κειμένων δὲ ἐν γῇ πάλιν ἐκεῖ ξυνισταμένους καὶ ἀναβιωσκομένους[y] ἕπεσθαι[z] τῇ τροπῇ συνανακυκλουμένης εἰς τἀναντία τῆς γενέσεως, καὶ γηγενεῖς δὴ κατὰ τοῦτον τὸν λόγον ἐξ ἀνάγκης φυομένους[a] οὕτως ἔχειν τοὔνομα καὶ τὸν λόγον, ὅσους μὴ θεὸς αὐτῶν εἰς ἄλλην μοῖραν ἐκόμισεν.[b]

ΝΕ. ΣΩ. Κομιδῇ μὲν οὖν τοῦτό γε ἕπεται τοῖς ἔμπροσθεν. ἀλλὰ δὴ τον βίον ὃν ἐπὶ τῆς Κρόνου φῂς εἶναι δυνάμεως,[c] πότερον[d] ἐν ἐκείναις[e] ἦν ταῖς τροπαῖς ἢ ἐν ταῖσδε; τὴν μὲν γὰρ τῶν ἄστρων τε καὶ ἡλίου μεταβολὴν δῆλον ὡς ἐν ἑκατέραις συμπίπτει ταῖς τροπαῖς γίγνεσθαι.

ΞΕ. Καλῶς τῷ λόγῳ συμπαρηκολούθηκας. ὃ δ' ἤρου

corr ΠΒ.—[w] τὸ ΔΠ.—[x] τῶν om Λ.—[y] ἀναβιοσκομένους 𝔄.—[z] ἕπεσθαι om 𝔄Δ et
σ η
pr Π.—[a] φυομένους ἐξ ἀνάγκης Λ.—[b] ἐκόμισεν 𝔄ΔΠΣΥ, ἐκόμισε ΛΞBC, ἀνεκόσμησε H : ἐκόσμησε *ς.—[c] δυναστείας ΞΗ, γρ BC, mg Λ, corr Π.—[d] πρότερον E.—[e] ἐν

ἐγένονθ'] Euseb. ἐγίνονθ'. Mox γηγενεῖς δὲ, non male. Fisch.

κατὰ τοῦτον τὸν] Steph. 'For. κατὰ τὸν λόγον.' male, ut opinor. Nam Ξένος ait, tales homines nominari propterea γηγενεῖς, et ferri e terra natos. Fisch.

τοὔνομα καὶ τὸν λόγον] Neque Eusebii lectionem τοὔνομα καὶ τὸν τρόπον, nec vero Stephani conjecturam τοὔνομα κατὰ τὸν λόγον; sed unice vulgatam τοὔνομα καὶ τὸν λόγον germanam esse judicem. Sensus est: *terrigenas et nomine dici et definitione significari.* Ita fere ὄνομα et λόγος a se invicem distinguuntur, ut λόγος sit, *quo nomen definitur ac declaratur.* V. Sophist. p. 218. C. 221. A. Euthydem. p. 285. et 286. Cf. Dan. Heins. ad Max. Tyr. in not. p. 90. Cæterum ne Eusebii lectionem omnino negligamus, ipsius forte τὸν τρόπον substituendum pro priore τὸν λόγον, ut legatur κατὰ τοῦτον τὸν τρόπον. Quod autem dicit τῷ τοὺς πρεσβύτας ἐπὶ τὴν τοῦ παιδὸς ἰέναι φύσιν proverbium respicit, quod memorat Legg. i. p. 646. A. Οὐ μόνον ἄρ', ὡς ἔοικεν, ὁ γέρων δὶς παῖς γίγνοιτ' ἂν, ἀλλὰ καὶ ὁ μεθυσθείς. Heusd.

ἐκόσμησε] Steph. 'Quidam vet. ἐκόμισε. Ficini interpretatio utramque lectionem complectitur, *Quotcunque deus ipsorum in aliam formam non transtulit exornavitque.*' Scilicet ἐκόμισε legitur in Bas. 2. et e versione Ficini cognoscitur, eum in codice suo scriptum invenisse ἐκόμισε καὶ ἐκόσμησε, atque adeo in libris nonnullis olim fuisse ἐκόμισε, in aliis ἐκόσμησε· quas duas lectiones conjunxit is, qui descripsit codicem, quo Ficinus usus est, inserta etiam particula καί· quam rationem non novam esse, non fugit harum litterarum peritos. Etiam apud Eusebium est ἐκόμισε. Fisch.

δυνάμεως] Steph. 'Pro δυνάμεως legitur etiam δυναστείας· quod malo.' Nimirum in Bas. 2. Etiam Ficinus ita legit haud dubie. vertit, *sub Saturni regno.* Fisch.

περὶ τοῦ πάντα αὐτόματα γίγνεσθαι τοῖς ἀνθρώποις, ἥκιστα
τῆς νῦν ἐστὶ καθεστηκυίας φορᾶς, ἀλλ' ἦν[f] καὶ τοῦτο τῆς
ἔμπροσθεν. τότε γὰρ αὐτῆς πρῶτον τῆς[g] κυκλήσεως[h] ἦρχεν
ἐπιμελούμενος ὅλης ὁ θεός, ὡς νῦν κατὰ τόπους ταὐτὸν τοῦ-
το ὑπὸ θεῶν ἀρχόντων πάντῃ τὰ τοῦ κόσμου μέρη διειλημ-
μένα. καὶ δὴ καὶ τὰ ζῶα κατὰ γένη καὶ ἀγέλας οἷον νο-
μῆς[i] θεῖοι διειλήφεσαν δαίμονες, αὐτάρκης εἰς πάντα ἕκα- II. ii. 278.
στος ἑκάστοις ὢν οἷς αὐτὸς ἔνεμεν, ὥστε οὔτ' ἄγριον ἦν οὐ-
δὲν οὔτε ἀλλήλων ἐδωδαί, πόλεμός τε οὐκ ἐνῆν οὐδὲ στάσις
τὸ παράπαν· ἄλλα θ' ὅσα τῆς τοιαύτης ἐστὶ κατακοσμή-
σεως ἑπόμενα, μυρί'[j] ἂν[k] εἴη λέγειν. τὸ δ' οὖν τῶν ἀνθρώπων
λεχθὲν αὐτομάτου πέρι βίου διὰ τὸ τοιόνδε εἴρηται, θεὸς
ἔνεμεν[l] αὐτοὺς αὐτὸς[m] ἐπιστατῶν, καθά περ νῦν ἄνθρωποι,
ζῶον ὂν ἕτερον[n] θειότερον, ἄλλα γένη φαυλότερα αὐτῶν[o] νο-
μεύουσι. νέμοντος δὲ ἐκείνου πολιτεῖαί τε οὐκ ἦσαν οὐδὲ
κτήσεις γυναικῶν καὶ παίδων· ἐκ γῆς γὰρ ἀνεβιώσκοντο[p] II. 272.
πάντες, οὐδὲν μεμνημένοι τῶν πρόσθεν·[q] ἀλλὰ τὰ μὲν τοι-
αῦτα ἀπῆν πάντα, καρποὺς δὲ ἀφθόνους εἶχον ἀπό τε δέν-
δρων[r] καὶ πολλῆς ὕλης ἄλλης,[s] οὐχ ὑπὸ γεωργίας φυομέ-
νους, ἀλλ' αὐτομάτης ἀναδιδούσης τῆς γῆς. γυμνοὶ δὲ καὶ
ἄστρωτοι θυραυλοῦντες τὰ πολλὰ ἐνέμοντο· τὸ γὰρ τῶν
ὡρῶν αὐτοῖς ἄλυπον ἐκέκρατο, μαλακὰς δὲ εὐνὰς εἶχον
ἀναφυομένης ἐκ γῆς πόας ἀφθόνου.[t] τὸν δὴ βίον, ὦ Σώκρα-
τες, ἀκούεις μὲν τὸν τῶν[u] ἐπὶ Κρόνου· τόνδε[v] δ' ὃν[w] λόγος

δυναστείαις ἐκείναις Γ.—[f] ἀλλὰ μὴν Δ.—[g] τοῖς CF et pr E, om ΣΥ.—[h] κλήσεως F.
—[i] νομῆς ΓΛBCH et pr F: νομεῖς ς.—[j] μυρί' ΓΥΗ.—[k] αὖ pr Ξ.—[l] ἕνεκεν Λ.—
ω
[m] αὐτῶν ΞΣΥ.—[n] ἕτερον Η.—[o] ἑαυτῶν Ξ.—[p] ἀνεβιόσκοντο 𝔄.—[q] ἔμπροσθεν pr F.
υ
—[r] δένδρων 𝔄ΓΔΛΠBCEFH, δρων Υ: δρυῶν ς.—[s] ἄλλης om Λ.—[t] ἀφθόνους Υ,
ἀφθόνως Σ.—[u] τῶν om F.—[v] τοῦδε F.—[w] δ' ὂν ὡς CH et rc B: δ' ὡς *ς.—[x] δια-

ταυτὸν τοῦτο] For. κατὰ ταυτὸν τοῦ-
τὸ. nisi ταυτὸν pro alia voce irrepsit.
Steph.

θεῖοι] Fortasse θεῖοι jungi etiam potest
cum δαίμονες. Steph. qui sic in not.
' In iis quæ margini adscripsi, dixi θεῖοι
fortasse jungi posse etiam cum δαίμονες:
sed fateor jam exemplis melius defendi
adjectivi θεῖοι cum substantivo νομεῖς
quam cum illo altero conjunctionem. nam
itidem postea θεῖον νομέα non uno in loco
dicit.'

πολιτεῖαί τε] Scribendum potius πολι-
τεῖαί γε. Steph.

θυραυλοῦντες] Timæus: Θυραυλεῖν·
ἔξω τῶν θυρῶν αὐλίζεσθαι καὶ ἀναστρέ-
φεσθαι. Fisch.

II. ii. 279. ἐπὶ Διὸς εἶναι, τὸν νυνὶ παρὼν αὐτὸς ᾔσθησαι. κρῖναι δ' αὐτοῖν τὸν εὐδαιμονέστερον ἆρ' ἂν δύναιό τε καὶ ἐθελήσειας;

ΝΕ. ΣΩ. Οὐδαμῶς.

ΞΕ. Βούλει δῆτα ἐγώ σοι τρόπον τινὰ διακρίνω;[x]

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

§. 16. ΞΕ. Εἰ μὲν τοίνυν οἱ τρόφιμοι τοῦ Κρόνου, παρούσης αὐτοῖς οὕτω πολλῆς σχολῆς καὶ δυνάμεως πρὸς τὸ μὴ μόνον ἀνθρώποις ἀλλὰ καὶ θηρίοις διὰ λόγων δύνασθαι συγγίγνεσθαι,[y] κατεχρῶντο τούτοις σύμπασιν ἐπὶ φιλοσοφίαν,[z] μετά τε θηρίων καὶ μετ' ἀλλήλων ὁμιλοῦντες, καὶ πυνθανόμενοι παρὰ πάσης φύσεως[a] εἴ τινά τις ἰδίαν δύναμιν[b] ἔχουσα ᾔσθετό τι διάφορον τῶν ἄλλων εἰς συναγυρμὸν φρονήσεως, εὔκριτον ὅτι τῶν νῦν οἱ τότε μυρίῳ πρὸς εὐδαιμονίαν διέφερον. εἰ δὲ ἐμπιπλάμενοι[c] σίτων ἄδην[d] καὶ ποτῶν διελέγοντο πρὸς ἀλλήλους καὶ τὰ θηρία μύθους οἷοι[e] δὴ καὶ τὰ νῦν περὶ αὐτῶν λέγονται, καὶ τοῦτο, ὥς γε[f] κατὰ τὴν ἐμὴν δόξαν ἀποφήνασθαι, καὶ μάλ' εὔκριτον. ὅμως δ' οὖν ταῦτα μὲν[g] ἀφῶμεν, ἕως ἂν ἡμῖν[h] μηνυτής τις ἱκανὸς[i] φανῇ, ποτέρως οἱ τότε τὰς ἐπιθυμίας εἶχον περί τε ἐπιστημῶν καὶ τῆς τῶν λόγων χρείας· οὗ δ' ἕνεκα τὸν μῦθον
II. ii. 280. ἠγείραμεν, τοῦτο λεκτέον, ἵνα τὸ μετὰ τοῦτο εἰς τὸ πρόσθεν περαίνωμεν. Ἐπειδὴ γὰρ πάντων τούτων χρόνος ἐτελεώθη[j] καὶ μεταβολὴν ἔδει γίγνεσθαι καὶ δὴ καὶ τὸ γήϊνον ἤδη πᾶν ἀνήλωτο γένος, πάσας ἑκάστης τῆς ψυχῆς τὰς γενέσεις ἀποδεδωκυίας, * καὶ[k] ὅσα ἦν ἑκάστῃ[l] προσταχθέντα,[m] τοσαῦτα εἰς γῆν σπέρματα πεσούσης, τότε δὴ τοῦ

κρινῶ 𝔄.—[y] γίγνεσθαι Λ.—[z] φιλοσοφία Δ.—[a] πάσης τῆς φύσεως Γ.—[b] ἰσοδυναμίαν ΣΥ.—[c] ἐμπιμπλάμενοι 𝔄Λ.—[d] ἅδδην Η.—[e] οἷοι Ξς: ceteri οἷα.—[f] ὥσγε ΓΛΞ et
γ
corr F, ὥστε BC: ὥστε *ς.—[g] μὲν om ΣΥ.—[h] ἡμῖν om Δ.—[i] ἱκανῶς Δ.—[j] ἐτελεώθη 𝔄ΔΠ: ἐτελειώθη ς.—[k] καὶ meis deest.—[l] ἑκάστην 𝔄Λ.—[m] προσταχθέντυς
η α
αὐτὰ 𝔄ΓΔΛΞΣΥ et pr ΠΒ, προσταχθέντος αὐτὰ Ε, προσταχθέντος αὐτὰ F, προσ-

§. 16. φύσεως] Steph. 'Al. τῆς φύσεως.' Nimirum in Bas. 2. Fisch.

συναγυρμὸν] Pollux iii. 129. et ix. 142. habet formam συναγερμός· fortassis ex hoc loco. At Etymol. M. Ἀγερμὸς, οὐκ ἀγυρμός. Πλάτων δὲ ἀγυρμὸν εἴρηκε τὸν συναθροισμόν. Fisch.

ἐπειδὴ κ. τ. λ.] Habet locum Eusebius Præp. Evang. xi. 34. p. 562. hinc usque ad verba ἐν αὐτῷ τε καὶ ἑαυτοῦ. Legit γενέσθαι—οἷα πηδαλ. Fisch.

καὶ προσταχθέντα] In Ald. Bas. 1. 2. deest καὶ, et pro προσταχθέντα legitur, ut apud Eusebium, προσταχθέν. At jam

παντὸς ὁ μὲν κυβερνήτης, οἷον πηδαλίων οἴακος[n] ἀφέμενος, εἰς τὴν αὑτοῦ περιωπὴν[o] ἀπέστη, τὸν δὲ δὴ κόσμον πάλιν ἀνέστρεφεν εἱμαρμένη τε καὶ ξύμφυτος ἐπιθυμία. πάντες οὖν οἱ κατὰ τοὺς τόπους συνάρχοντες τῷ[p] μεγίστῳ δαίμονι θεοί, γνόντες ἤδη τὸ γιγνόμενον, ἀφίεσαν αὖ τὰ μέρη τοῦ κόσμου τῆς αὑτῶν ἐπιμελείας. ὁ δὲ μεταστρεφόμενος καὶ II. 273.
συμβάλλων, ἀρχῆς τε καὶ τελευτῆς ἐναντίαν ὁρμὴν ὁρμηθείς, σεισμὸν πολὺν ἐν ἑαυτῷ[q] ποιῶν, ἄλλην αὖ φθορὰν ζώων παντοίων ἀπειργάσατο. μετὰ δὲ ταῦτα προελθόντος[r] ἱκανοῦ χρόνου, θορύβων[s] τε καὶ ταραχῆς ἤδη παυόμενος καὶ τῶν σεισμῶν,[t] γαλήνης ἐπιλαβόμενος εἴς τε τὸν εἰωθότα δρόμον τὸν ἑαυτοῦ κατακοσμούμενος ᾔει,[u] ἐπιμέλειαν καὶ κράτος ἔχων αὐτὸς τῶν ἐν αὐτῷ τε καὶ ἑαυτοῦ, τὴν τοῦ δημιουργοῦ καὶ πατρὸς ἀπομνημονεύων[v] διδαχὴν εἰς δύναμιν. κατ' ἀρχὰς μὲν οὖν ἀκριβέστερον ἀπετέλει, τελευτῶν II. ii. 281.
δὲ ἀμβλύτερον. τούτων δὲ αὐτῷ[w] τὸ σωματοειδὲς[x] τῆς συγκράσεως[y] αἴτιον, τὸ τῆς πάλαι ποτὲ φύσεως ξύντροφον, ὅτι πολλῆς ἦν μετέχον[z] ἀταξίας πρὶν εἰς τὸν νῦν κόσμον

ταχθὲν τοσαῦτα CH et corr ΠΒ.—[n] οἴακας corr Π.—[o] περιοπὴν ΔEF.—[p] τῷ om Γ.—[q] ἐν αὐτῷ ΓΛEF, αὐτῷ ΣΥ.—[r] προσελθόντος 𝔄ΔΠ.—[s] θορύβων 𝔄ΔΗ : θορύβου *ς.—[t] τοῦ σεισμοῦ Γ.—[u] εἴη Σ, ἴει Ξ.—[v] ἀμνημονεύων Δ.—[w] αὐτῶν ΓΣΥ et pr Ξ.—[x] σῶμα τὸ εἶδος 𝔄ΔΠ.—[y] κράσεως F.—[z] μετέχον ΓΔΠΒCH : μέτοχον ς.—

Ficinus in suo codice ita scriptum invenit, ut Stephanus edidit, admonitu, ut videtur, Cornarii; vertit enim, *quotque erant mandata*. Fisch.

πεσούσης] Steph. 'Sic et Ficinus vertit, *semina projecisset*, tanquam legens σπέρματα βαλούσης. Sed alia affertur lectio διδούσης· quum tamen tempus præsens hic non conveniat, ideoque δούσης aptius esse possit. Illud quidem certe participium πεσούσης nullo hoc ferri modo potest.' Scilicet διδούσης fuit conjectura Cornarii, quam ab Stephano recte repudiatam arbitror, præsertim quum verbum διδόναι non satis aptum sit naturæ rei, de qua hic sermo institutus est. Jam etsi lectio βαλούσης magis placere possit: tamen non necesse esse puto, ut circumspiciatur remedium, quum locus sanus sit haud dubie, ita ut etiam Ficinus legisse πεσούσης videatur, ut Eusebius. Nam multa verba neutra usurpantur, ut activa. Sic Antiphon dixit ἁγνεύετε τὴ νπόλιν, ἀντὶ τοῦ ἁγνίζετε, Harpocratione interprete: Antiphanes Comicus in Adelphis ἀνακάμψει scripsit pro ἀναστρέψαι ποιήσει, auctore grammatico Ms. Bibl. Sangermanensis apud Koppiers. Observat. Philolog. p. 7. et apud ipsum Platonem Phædon. §. 66. κατακλαίειν est *lacrymas movere*. nam etiam Codex Augustanus bis κατέκλαυσε habet. Quidni igitur Plato πεσούσης hoc loco dicere pro καταβαλούσης potuerit? Neque vero dubito, quin ipse Ficinus verbum illud ita accipiendum viderit, neque adeo aliam suis in libris scripturam invenerit. Etiam Vigerus in notis ad Eusebium animadvertit, Platonem πεσούσης active sumsisse, raro admodum exemplo. Fisch.

οἴακος] Pollux i. 89. τὸ δὲ ἄκρον τοῦ πηδαλίου, οἴαξ. Fisch.

περιωπὴν] Bas. 1. 2. περιοπήν· male. Hesychius: Περιωπή· ἄποψις, τόπος ὑψηλὸς, ὅθεν ἐστὶ περισκοπῆσαι ἀκρώρεια. Fisch.

τοὺς τόπους] Vigerus deleri jubebat articulum. Fisch.

ἀφικέσθαι. παρὰ μὲν γὰρ τοῦ συνθέντος[a] πάντα τὰ[b] καλὰ κέκτηται·[c] παρὰ[d] δὲ τῆς ἔμπροσθεν ἕξεως, ὅσα χαλεπὰ καὶ ἄδικα ἐν οὐρανῷ γίγνεται,[e] ταῦτα ἐξ ἐκείνης αὐτός τε ἔχει καὶ τοῖς ζῴοις ἐναπεργάζεται. μετὰ μὲν οὖν τοῦ κυβερνήτου τὰ ζῷα τρέφων ἐν αὑτῷ σμικρὰ[f] μὲν φλαῦρα,[g] μεγάλα δὲ ἐνέτικτεν ἀγαθά· χωριζόμενος δὲ ἐκείνου τὸν ἐγγύτατα χρόνον ἀεὶ τῆς ἀφέσεως[h] κάλλιστα πάντα διάγει, προϊόντος δὲ τοῦ χρόνου καὶ λήθης ἐγγιγνομένης ἐν αὐτῷ μᾶλλον καὶ δυναστεύει[i] τὸ τῆς παλαιᾶς ἀναρμοστίας πάθος, τελευτῶντος δὲ ἐξανθεῖ τοῦ χρόνου καὶ σμικρὰ μὲν τἀγαθά, πολλὴν δὲ τὴν τῶν ἐναντίων κρᾶσιν ἐπεγκεραννύμενος[j] ἐπὶ διαφθορᾶς κίνδυνον αὑτοῦ τε ἀφικνεῖται καὶ τῶν ἐν αὑτῷ. διὸ δὴ καὶ τότ᾽ ἤδη θεὸς ὁ κοσμήσας αὐτόν, καθορῶν ἐν ἀπορίαις ὄντα, κηδόμενος ἵνα μὴ χειμασθεὶς ὑπὸ ταραχῆς διαλυθεὶς[k] εἰς τὸν τῆς ἀνομοιότητος ἄπειρον[l] ὄντα
II. ii. 282. τόπον δύῃ, πάλιν ἔφεδρος αὐτοῦ τῶν πηδαλίων γιγνόμενος, τὰ νοσήσαντα καὶ λυθέντα ἐν τῇ καθ᾽ αὑτὸν[m] προτέρᾳ περιόδῳ στρέψας, κοσμεῖ τε καὶ[n] ἐπανορθῶν ἀθάνατον αὐτὸν καὶ ἀγήρων[o] ἀπεργάζεται. τοῦτο μὲν οὖν[p] τέλος ἁπάντων εἴρηται· τὸ δ᾽ ἐπὶ τὴν τοῦ βασιλέως ἀπόδειξιν ἱκανὸν ἐκ τοῦ πρόσθεν ἁπτομένοις τοῦ λόγου. στρεφθέντος[q] γὰρ

υ τ
[a] συνθέτος H.—[b] τὰ add 𝔄ΔΠ.—[c] κέκτηται 𝔄ΓΔΞΠΗ et corr F, κέκληται ΛΒCΕ: κέκληται ς.—[d] περὶ H.—[e] γίγνηται F.—[f] σμικρὰ 𝔄ΔΠ: μικρὰ *ς.—μὲν om H.—[g] λαῦρα H.—[h] φύσεως 𝔄ΓΔΠΗ et γρ ΛΒC.—[i] κινδυναστεύει, in mg posito συν, H.—[j] ἐπαγκεραννύμενος H, ἐπικεραννύμενος Γ, ἀποκεραννύμενος Λ.—[k] διαλυθῇ Γ.—[l] ἄπειρον om ΣΥ.—[m] ἑαυτὸν 𝔄ΓΞΥCFH.—[n] κοσμεῖται καὶ Δ et pr Π.—[o] ἀγήρων
ν
𝔄ΓΔΛΠΒCΗ, ἀγήρω Ξ: ἀγήρω ς.—[p] οὖν om F.—[q] στραφέντος Γ.—[r] πολιᾶι 𝔄,

κέκληται] Bas. 1. 2. κέκτηται· male. Fisch.

ἀφέσεως] Steph. ‘Extat et lectio φύσεως pro ἀφέσεως. Nimirum in Bas. 2. Ficinus, *discessus*. recte. Fisch.

διὸ δὴ καὶ] Laudat locum Eusebius P. E. xi. 34. p. 552. hinc usque ad verba πάντων εἴρηται. Fisch.

γιγνόμενος] Euseb. γενόμενος. recte. Mox καὶ ἐπανελθών—dein ἄγηρων—τοῦτο μὲν τέλος πάντων εἴρηται· minus bene. Sed in scriptura verbi ἀγήρω et ἄγηρων discrepant inter se etiam aliorum scriptorum Codices veteres: cujus discrepantiæ caussa intelligi potest est ex iis, quæ apud Suidam in v. Ἀγήρως leguntur. Fisch.

τὰ νοσήσαντα κ. τ. λ.] Magnifica profecto et sublimis sententia! Sed vitium latet, quod orationem impeditum reddit. Expungendum videtur τὰ ut νοσήσαντα καὶ λυθέντα ad κόσμον referatur. Verte: *Iterum ad ejus gubernacula præsidens, ægrotantem eum ac dissolutum ad priorem circumvolutationem dirigens in ordinem redigit.* Supra παρὰ μὲν γὰρ τοῦ συνθέντος πάντα καλὰ κέκληται, præeunte Ficino, corrige κέκτηται. Heusd.

ἁπτομένοις] Ald. Bas. 1. 2. ἁπτόμενοι. Fisch.

αὖ τοῦ κόσμου τὴν ἐπὶ τὴν νῦν γένεσιν ὁδὸν τὸ τῆς ἡλικίας αὖ πάλιν ἵστατο καὶ καινὰ τἀναντία ἀπεδίδου τοῖς τότε. τὰ μὲν γὰρ ὑπὸ σμικρότητος ὀλίγου δέοντα ἠφανίσθαι τῶν ζώων ηὐξάνετο, τὰ δ' ἐκ γῆς νεογενῆ σώματα πολιὰ[r] φύντα πάλιν ἀποθνήσκοντα εἰς γῆν κατῄει. καὶ τἆλλά τε πάντα μετέβαλλεν,[s] ἀπομιμούμενα καὶ ξυνακολουθοῦντα τῷ τοῦ II. 274.
παντὸς παθήματι, καὶ δὴ καὶ τὸ[t] τῆς κυήσεως καὶ γεννήσεως καὶ τροφῆς μίμημα[u] συνείπετο τοῖς πᾶσιν ὑπ' ἀνάγκης. οὐ γὰρ ἐξῆν ἔτ' ἐν γῇ δι' ἑτέρων συνιστάντων φύεσθαι ζῶον,[v] ἀλλὰ καθά περ τῷ κόσμῳ προσετέτακτο αὐτοκράτορα εἶναι τῆς αὐτοῦ πορείας, οὕτω δὴ κατὰ[w] ταὐτὰ καὶ τοῖς μέρεσιν αὐτοῖς δι' αὑτῶν, καθ' ὅσον οἷόν τ' ἦν, φύειν[x] τε καὶ γεννᾶν καὶ τρέφειν προσετάττετο ὑπὸ τῆς ὁμοίας ἀγωγῆς. οὗ δὲ ἕνεκα ὁ λόγος ὥρμηκε πᾶς, ἐπ' αὐτῷ νῦν ἐσμὲν ἤδη. περὶ μὲν[y] γὰρ τῶν ἄλλων θηρίων πολλὰ ἂν καὶ μα- II. ii. 283.
κρὰ[z] διεξελθεῖν γίγνοιτο, ἐξ ὧν ἕκαστα καὶ δι' ἃς αἰτίας μεταβέβληκε· περὶ[a] δὲ ἀνθρώπων βραχύτερα καὶ μᾶλλον προσήκοντα. τῆς γὰρ τοῦ κεκτημένου καὶ νέμοντος ἡμᾶς δαίμονος ἀπερημωθέντες ἐπιμελείας, τῶν[b] πολλῶν αὖ θηρίων, ὅσα χαλεπὰ τὰς φύσεις ἦν,[c] ἀπαγριωθέντων, αὐτοὶ δὲ ἀσθενεῖς ἄνθρωποι καὶ ἀφύλακτοι γεγονότες, διηρπάζοντο ὑπ' αὐτῶν, καὶ ἔτ' ἀμήχανοι καὶ ἄτεχνοι κατὰ τοὺς πρώτους ἦσαν χρόνους, ἅτε τῆς μὲν αὐτομάτης τροφῆς ἐπιλελοιπυίας, πορίζεσθαι δὲ[d] οὐκ ἐπιστάμενοί πω[e] διὰ τὸ μηδεμίαν αὐτοὺς χρείαν πρότερον[f] ἀναγκάζειν. ἐκ τούτων πάντων ἐν μεγάλαις ἦσαν[g] ἀπορίαις. ὅθεν δὴ τὰ πάλαι λεχθέντα παρὰ θεῶν δῶρα ἡμῖν δεδώρηται μετ' ἀναγκαίας διδαχῆς καὶ παιδεύσεως, πῦρ μὲν παρὰ Προμηθέως, τέχναι δὲ παρ' Ἡφαίστου καὶ τῆς συντέχνου, σπέρματα δὲ αὖ

δ

πολλὰ ΛBCEF.—[s] μετέβαλεν H.—[t] τῷ F.—[u] μίμημα om ΣΥ.—[v] ζώων 𝔄ΔΠΥ.—[w] καὶ F.—[x] φύρειν ΛH.—[y] μὲν om F.—[z] μακρὰν Σ.—[a] μετὰ Λ.—[b] τῶν om F.—[c] ἢ 𝔄Δ et pr Π.—[d] δὲ om 𝔄Δ et pr Π.—[e] τί ὧν 𝔄Δ et fortasse pr Π.—[f] πότερον

αὐτοὶ δὲ] Vocula δὲ vel expungenda (licet alicubi παρέλκουσα etiam inveniatur) vel in δὴ mutanda esse videtur. Steph. Posterior ratio placet. Fisch.

διὰ τὸ] Deest τὸ in Ald. Bass. Fisch.

καὶ φυτὰ παρ' ἄλλων·[h] καὶ πάνθ' ὁπόσα[i] τὸν ἀνθρώπινον βίον συγκατεσκεύακεν,[j] ἐκ τούτων γέγονεν, ἐπειδὴ τὸ μὲν ἐκ θεῶν, ὅ περ ἐῤῥήθη νῦν δή,[k] τῆς ἐπιμελείας ἐπέλιπεν[l] ἀνθρώπους, δι' ἑαυτῶν δὲ[m] ἔδει[n] τήν τε διαγωγὴν[o] καὶ τὴν ἐπιμέλειαν αὐτοὺς αὑτῶν ἔχειν καθά περ ὅλος ὁ κόσμος, ᾧ
II. ii. 284. ξυμμιμούμενοι[p] καὶ ξυνεπόμενοι τὸν ἀεὶ χρόνον νῦν μὲν οὕτω, τότε δ'[q] ἐκείνως ζῶμέν τε καὶ φυόμεθα. καὶ τὸ μὲν δὴ[r] τοῦ μύθου τέλος ἐχέτω, χρήσιμον δὲ αὐτὸν ποιησόμεθα[s] πρὸς τὸ κατιδεῖν ὅσον ἡμάρτομεν ἀποφηνάμενοι τὸν βασιλικόν τε καὶ πολιτικὸν ἐν τῷ πρόσθε[t] λόγῳ.

§. 17. ΝΕ. ΣΩ. Πῶς οὖν καὶ πόσον ἁμάρτημα φῂς εἶναι γεγονὸς ἡμῖν;

ΞΕ. Τῇ μὲν βραχύτερον, τῇ δὲ μάλα γενναῖον καὶ πολλῷ μεῖζον καὶ πλέον[u] ἢ τότε.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Ὅτι μὲν ἐρωτώμενοι τὸν ἐκ τῆς νῦν περιφορᾶς καὶ γενέσεως βασιλέα καὶ πολιτικὸν τὸν[v] ἐκ τῆς ἐναντίας πε-
II. 275. ριόδου[w] ποιμένα τῆς τότε[x] ἀνθρωπίνης ἀγέλης εἴπομεν, καὶ ταῦτα θεὸν ἀντὶ θνητοῦ, ταύτῃ μὲν πάμπολυ παρηνέχθημεν· ὅτι δὲ[y] ξυμπάσης τῆς[z] πόλεως ἄρχοντα αὐτὸν ἀπεφήναμεν, ὅν τινα δὲ τρόπον[a] οὐ διείπομεν,[b] ταύτῃ δὲ αὖ τὸ μὲν[c] λεχθὲν ἀληθές, οὐ μὴν ὅλον γε οὐδὲ σαφὲς ἐῤῥήθη, διὸ καὶ βραχύτερον ἢ κατ' ἐκεῖνο ἡμαρτήκαμεν.

ΝΕ. ΣΩ. Ἀληθῆ.

II. ii. 285. ΞΕ. Δεῖ τοίνυν τὸν τρόπον,[d] ὡς ἔοικε, διορίσαντας[e] τῆς ἀρχῆς τῆς πόλεως οὕτω τελέως τὸν πολιτικὸν ἡμῖν εἰρῆσθαι προσδοκᾶν.

Ξ.—[g] ἦσαν ἀπορίαις Γ: ἀπορίαις ἦσαν *ς.—[h] ἀλλήλων 𝔄ΛΞΠΣΥ et pr BEF.—[i] ὅσα F.—[j] συγκατεσκευάκαμεν F.—[k] δὴ om ΣΥEF et pr Ξ.—[l] ἀπέλιπεν Δ.—[m] δὲ 𝔄: δ τε *ς.—[n] ἔχει Δ.—[o] διαδοχὴν pr F.—[p] ξ. ΓΛBCH.—[q] δὴ ς.—[r] δὴ om Γ.—[s] ποιησώμεθα BCH.—[t] πρόσθε Δ et pr Π: πρόσθεν *ς.—[u] καὶ πλέον om Γ.—[v] τὸν om Λ.—[w] ἐναντίας τι περιόδου ΣΥ.—[x] τε ΛBCEFH.—[y] δὲ om ΓΣΥ.—[z] τῆς om Γ.—[a] τρέπομεν Γ.—[b] οὐ διείπομεν om ΓΛBEFH et pr C.—[c] μὲν om ΛCH.—[d] ὡς ἔοικε

ἄλλων] Ald. Bas. 1. 2. ἀλλήλων· male. Stephanus sequutus est versionem Ficini, in qua est, *ab aliis*. Fisch.

τότε δὴ] Steph. 'For. τοτὲ δέ.' Immo, τότε δὲ δή. Fisch.

§. 17. διορίσαντας] Ald. Bas. 1. 2. διορίσαντες· male, quum referatur ad verbum δεῖ. Fisch.

ΝΕ. ΣΩ. Καλῶς.

ΞΕ. Διὰ ταῦτα μὴν καὶ τὸν μῦθον παρεθέμεθα, ἵνα ἐνδείξαιτο περὶ[f] τῆς ἀγελαιοτροφίας μὴ μόνον ὡς πάντες αὐτῆς ἀμφισβητοῦσι τῷ ζητουμένῳ τὰ νῦν, ἀλλὰ κἀκεῖνον αὐτὸν ἐναργέστερον ἴδοιμεν,[g] ὃν προσήκει μόνον κατὰ τὸ παράδειγμα[h] ποιμένων τε καὶ βουκόλων τῆς[i] ἀνθρωπίνης ἐπιμέλειαν[j] ἔχοντα[k] τροφῆς τούτου μόνου ἀξιωθῆναι τοῦ προσρήματος.

ΝΕ. ΣΩ. Ὀρθῶς.[l]

ΞΕ. Οἶμαι δ᾽ ἔγωγε, ὦ Σώκρατες,[m] τοῦτο μὲν ἔτι[n] μεῖζον ἢ κατὰ βασιλέα εἶναι τὸ[o] σχῆμα τὸ τοῦ θείου νομέως, τοὺς δ᾽ ἐνθάδε νῦν ὄντας πολιτικοὺς τοῖς ἀρχομένοις ὁμοίους τε εἶναι μᾶλλον πολὺ[p] τὰς φύσεις καὶ παραπλησιαίτερον[q] παιδείας μετειληφέναι καὶ τροφῆς.

ΝΕ. ΣΩ. Πάντως που.

ΞΕ. Ζητητέοι[r] γε μὴν οὐδὲν ἂν εἴησαν[s] οὔθ᾽ ἧττον οὔτε μᾶλλον, εἴθ᾽ οὕτως εἴτ᾽ ἐκείνως πεφύκασιν.

ΝΕ. ΣΩ. Πῶς γὰρ οὔ;

ΞΕ. Τῇδε[t] δὴ πάλιν ἐπανέλθωμεν. ἣν γὰρ ἔφαμεν[u] αὐτεπιτακτικὴν μὲν[v] εἶναι τέχνην[w] ἐπὶ ζώοις, οὐ μὴν ἰδίᾳ γε ἀλλὰ κοινῇ τὴν ἐπιμέλειαν ἔχουσαν,[x] καὶ προσείπομεν II. ii. 286.
δὴ τότε γε[y] εὐθὺς ἀγελαιοτροφικήν,—μέμνησαι γάρ;

ΝΕ. ΣΩ. Ναί.

τὸν τρόπον Λ.—[e] διορίσαντες EF.—[f] τὸ F.—[g] εἴδοιμεν 𝔄.—[h] μόνον κατὰ τὸ παρά-
τῆς ν
δειγμα 𝔄ΓΔΛΠBCH : κατὰ τὸ παρ. μόνον ς.—[i] τῆς corr B, τὸν E, τὸ 𝔄ΓΛ et corr
ν
Π, τὸ Ξ, τὸ ΣΥ.—[j] ἐπιμελείας ΛΠ.—[k] ἔχοντες ΣΥ.—[l] ὀρθῶς om 𝔄ΔΠ.—[m] δέ γ᾽ ὦ σώκρατες 𝔄ΔΠ, δέ γε ὦ σώκρατες ἔγωγε Λ.—[n] μὲν ἔτι om 𝔄ΔΠ.—[o] τὸ om F.
αί
—[p] πολὺ μᾶλλον Ξς.—[q] παραπλησιέστερον Ξ.—[r] ζητητέοι corr Γ : ζητητέον *ς.—[s] εἴησαν 𝔄ΓΔΠ et corr E, ἦσαν ΞΣΥ : εἰ ἦσαν *ς.—[t] τῇδε ς : libri τί δέ.—[u] ἔφαμεν 𝔄ΔΠ : φαμὲν *ς.—[v] μὲν om F.—[w] τέχνην om 𝔄Δ et pr Π.—[x] ἔχουσα 𝔄.

εἰ ἦσαν] Steph. 'Ante voculam εἰ suspicor deesse verbum εἴη' Recte, opinor. Fisch.

ζητητέον γε μὴν οὐδὲν ἂν εἰ ἦσαν] His verbis omnem, opinor, obscuritatem hac emendatione eximas: Ζητητεοί γε μὴν οὐδὲν ἂν εἴησαν οὔθ᾽ ἧττον οὔτε μᾶλλον, εἴθ᾽ κ. τ. λ. *Verumtamen, sive hoc, sive illo modo se habeant, nihilominus quærendi sunt.* Ita paulo ante ἀμφισβητοῦσι τῷ ζητουμένῳ τανῦν. Simili emendatione expedimus Critiam p. 117. E. Τοῦτο δὴ πᾶν συνῴκει τὸ μὲν ὑπὸ πολλῶν καὶ πυκνῶν οἰκήσεων, ut legamus:—συνῳκεῖτο. Heusd.

τῇδε δὴ] Pro τῇδε δὴ (quam scripturam agnoscit et Ficinus, *sic porro*) male in præced. edit. τί δὲ δὴ legitur. Steph.

ΞΕ. Ταύτης τοίνυν πῃ διημαρτάνομεν.[z] τὸν γὰρ πολιτικὸν οὐδαμοῦ[a] συνελάβομεν οὐδ' ὠνομάσαμεν, ἀλλ' ἡμᾶς ἔλαθε κατὰ τὴν ὀνομασίαν ἐκφυγών.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Τοῦ τὰς ἀγέλας ἑκάστας τρέφειν τοῖς μὲν ἄλλοις που πᾶσι μέτεστι νομεῦσι, τῷ πολιτικῷ δὲ οὐ μετὸν ἐπηνέγκαμεν τοὔνομα, δέον τῶν[b] κοινῶν ἐπενεγκεῖν τι σύμπασιν.

ΝΕ. ΣΩ. Ἀληθῆ λέγεις, εἴ περ ἐτύγχανέ γε ὄν.

ΞΕ. Πῶς δ' οὐκ ἦν τό γε[c] θεραπεύειν που[d] πᾶσι κοινόν, μηδὲν διορισθείσης τροφῆς μηδέ τινος ἄλλης[e] πραγματείας; ἀλλ' ἤ[f] τινα ἀγελαιοκομικὴν ἢ θεραπευτικὴν ἢ καί τινα ἐπιμελητικὴν αὐτὴν ὀνομάσασιν,[g] ὡς κατὰ πάντων,[h] ἐξῆν περικαλύπτειν καὶ τὸν πολιτικὸν ἅμα τοῖς[i] ἄλλοις, ἐπειδὴ δεῖν[j] τοῦτ' ἐσήμαινεν[k] ὁ λόγος.

§. 18. ΝΕ. ΣΩ. Ὀρθῶς. ἀλλ' ἡ μετὰ τοῦτο διαίρε-
II. 276. σις αὖ τίνα τρόπον ἐγίγνετ' ἄν;

ΞΕ. Κατὰ ταὐτὰ καθά περ ἔμπροσθεν διῃρούμεθα τὴν

α η

—[y] γε om 𝔄ΔΠΣ et pr Ξ.—[z] διημαρτάνομεν B, διαμαρτάνομεν ΛC, διαμαρτάνομεν ΔΗ.—[a] οὐδαμοῦ 𝔄ΓΔΛΠΒCΗ : οὐδαμῇ *ς.—[b] δέον τῶν ΛΞΣΥΒCΗ et corr ΓΠΕ, δέόν τι corr F, δὲ ὄντι pr E, λεόντων 𝔄Δ et pr Π : δέοντι τῶν ς.—[c] τό τε 𝔄ΔΠ.—[d] πολὺ 𝔄ΔΠ.—[e] ἄλλου Υ.—[f] ἀλλ' ἤ ΔΠ et mg F, ἀλλή 𝔄, ἄλλην ceteri : καὶ ἄλλην δέ ς.—[g] ὀνομάσωσιν E.—[h] καὶ ἁπάντων 𝔄Δ et pr Π.—[i] γὰρ Λ.—[j] δεῖν om

δέοντι] Videtur scribendum *δέον*, absque *τὶ*, nisi paulo post hæc vocula expungatur. Steph.

Recte. Certe *δέοντι* nullo modo ferri potest. At fortassis melius mutabitur in *δέον δή*. Sic non necesse est, ut tollatur *τι*, et particula *δὴ* eleganter ita comes adjungitur hujusmodi verbis a Platone. Fisch.

Locus non una parte depravatus. Ferri enim non potest, Politicum dici humani generis non esse pastorem. Hoc in antecedentibus omnium maxime demonstratum est. Deinde nihili esse videtur Socratis responsum. Equidem legendum conjeci: *τῷ πυλιτικῷ δὲ αὖ μετὸν, ἐπηνέγκαμεν τοὔνομα, δεόν γε τῶν κοινῶν ἐπενεγκεῖν τι σύμπασι. ΣΩ. Ἀληθῆ λέγεις, εἴπερ ἐτύγχανε μετὸν πᾶσι.* ΞΕΝ. Πῶς κ. τ. λ. Huc redit Hospitis sententia. 'Politicum nondum cepimus, quia nomine eum definivimus, quod a cæteris eum pastoribus non distinguit, sed his item commune est.' Verte: *Effugit nos Politicus secundum nomen quod ipsi imposuimus.* So. *Quomodo?* Hosp. *Greges alere cæteris pastoribus omnibus proprium est, et, cum Politico item proprium sit, hoc ei nomen imposuimus, etiamsi commune nomen omnibus imponendum sit pastoribus.* So. *Vere dicis, si quidem omnibus hoc proprium sit.* Hosp. *Quidni vero cura omnibus propria sit?* Πᾶσι, quod inserendum puto, a sequentibus *πῶς* absorptum videtur. Heusd.

μηδὲν] Steph. 'Malim *μηδέ*.' sine caussa idonea. nam *μηδὲν* eleganter positum est pro *μή*. Fisch.

καὶ ἄλλην δέ τινα] Ald. Bas. 1. 2. *ἄλλην τινὰ*, omissis particulis *καὶ δὲ*, quas Steph. [tacite] addidit Cornarii admonitu. Etiam in Ficini versione est, *et alium quandam appellationem inferre*, immo *atque adeo aliam* —. nam particulæ *καὶ δὲ* habent vim augendæ orationis, ut apud Latinos *et vero*. Fisch.

§. 18. *καθάπερ*] Commode etiam scri-

ἀγελαιοτροφικὴν πεζοῖς τε καὶ ἀπτῆσι,[l] καὶ ἀμίκτοις τε καὶ ἀκεράτοις, τοῖς αὐτοῖς ἄν που τούτοις διαιρούμενοι καὶ II. ii. 287. τὴν ἀγελαιοκομικὴν[m] τήν τε νῦν καὶ τὴν ἐπὶ Κρόνου βασιλείαν περιειληφότες ἂν ἦμεν ὁμοίως ἐν τῷ λόγῳ.

ΝΕ. ΣΩ. Φαίνεται· ζητῶ δὲ αὖ τί τὸ μετὰ τοῦτο.

ΞΕ. Δῆλον ὅτι λεχθέντος οὕτω τοῦ τῆς ἀγελαιοκομικῆς[n] ὀνόματος οὐκ ἄν ποτ' ἐγένεθ'[o] ἡμῖν τό τινας ἀμφισβητεῖν ὡς οὐδ' ἐπιμέλεια τὸ παράπαν ἐστίν, ὥς περ τότε[p] δικαίως ἠμφισβητήθη μηδεμίαν εἶναι τέχνην ἐν ἡμῖν ἀξίαν τούτου τοῦ θρεπτικοῦ προσρήματος· εἰ δ' οὖν τις εἴη, πολλοῖς[q] πρότερον αὐτῆς[r] καὶ μᾶλλον προσήκειν ἢ[s] τινι τῶν βασιλέων.

ΝΕ. ΣΩ. Ὀρθῶς.

ΞΕ. Ἐπιμέλεια δέ γε[t] ἀνθρωπίνης συμπάσης κοινωνίας οὐδεμία ἂν ἐθελήσειεν ἑτέρα μᾶλλον[u] καὶ[v] πρᾳοτέρα τῆς βασιλικῆς φάναι καὶ κατὰ πάντων ἀνθρώπων ἀρχῆς εἶναι τέχνη.[w]

ΝΕ. ΣΩ. Λέγεις ὀρθῶς.

ΞΕ. Μετὰ ταῦτα δέ γε,[x] ὦ Σώκρατες, ἆρ' ἐννοοῦμεν ὅτι πρὸς αὐτῷ δὴ τῷ τέλει συχνὸν αὖ διημαρτάνετο;

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Τόδε, ὡς ἄρ' εἰ καὶ διενοήθημεν ὅτι μάλιστα τῆς

𝔄ΔΠ.—[k] ἐσήμανεν EF, ἐπεσήμαινεν Γ.—[l] ἀπτοῖσι Σ et pr Υ.—[m] ἀγελαιονομικὴν ΣΥ.—[n] ἀγελαιονομικῆς E, ἀγελαιονομικῆς ΣΥF.—[o] ἐγένεθ' Γ.—[p] τότε καὶ ϛ.—[q] πολὺ ΞΣΥ.—[r] αὐτὴν mg F.—[s] εἴ 𝔄.—[t] γε om ΔΠ.—[u] ἑτέρα μᾶλλον ΓΔΛΠΒCH, ἕτερα μᾶλλον 𝔄: μᾶλλον ἑτέρα ϛ.—[v] καὶ om Λ.—[w] τέχνην 𝔄.—[x] λέγε 𝔄Δ et pr

beretur hoc loco (atque adeo commodius) καθ' ἅπερ, quum hæ duæ voces respondeant duabus illis, κατὰ ταῦτα. Steph.

ἀπτῆσι] Steph. 'Pro ἀπτῆσι reponitur πτηνοῖς, sicut Ficinus interpretatur, *volatilium*.' Scilicet in margine Bas. 1. notatur lectio πτηνοῖς. Fisch.

ἐπιμέλεια δέ γε] Excerpsit hunc locum, inde a verbis ἐπιμέλεια δέ γε usque ad verba ἑκατέρου τρόπον.—Ἀληθῆ, sed omissis nominibus personarum inter se colloquentium, Stob. Ecl. Eth. c. 45. p. 325. Fisch.

μᾶλλον ἕτερα] Stob. ἑτέρα μᾶλλον· qui verborum ordo etiam magis prodit vitium scripturæ, quod est in omnibus libris editis, et fuit in Ficini codicibus. vertit enim, *Nulla vero ars alia de hoc contendit, quasi sit totius humanæ communionis curatio major mitiorque quam regia.* Manifestum autem puto, Ficinum primo ἑτέρα conjunxisse cum οὐδεμία· deinde verbis duobus *major mitiorque* reddidisse unum verbum πρᾳοτέρα. At sic redundare apparet particulam καί. Unde Cornarius recte judicavit, pro ἑτέρα reponendum esse ἑταῖρα· quæ duo verba constat innumeris locis permutata esse a librariis. Atque ex hactenus dictis lectores sponte poterunt statuere de gravitate Stephani, quo teste 'Alia lectio affertur μᾶλλον ἑταῖρα.' Fisch.

II. ii. 288. δίποδος ἀγέλης εἶναί τινα θρεπτικὴν τέχνην, οὐδέν τι μᾶλλον ἡμᾶς ἔδει βασιλικὴν αὐτὴν εὐθὺς[y] καὶ πολιτικὴν ὡς ἀποτετελεσμένην προσαγορεύειν.

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Πρῶτον μὲν ὃ[z] ἐλέγομεν τοὔνομα μετασκευωρήσασθαι,[a] πρὸς τὴν ἐπιμέλειαν μᾶλλον[b] προσαγαγόντας[c] ἢ τὴν τροφήν, ἔπειτα ταύτην τέμνειν· οὐ γὰρ σμικρὰς ἂν ἔχοι τμήσεις ἔτι.

ΝΕ. ΣΩ. Ποίας;

ΞΕ. Ἧι τε[d] τὸν θεῖον ἄν που διειλόμεθα νομέα χωρὶς καὶ τὸν ἀνθρώπινον ἐπιμελητήν.

ΝΕ. ΣΩ. Ὀρθῶς.

ΞΕ. Αὖθις δέ γε τὴν ἀπονεμηθεῖσαν[e] ἐπιμελητικὴν δίχα τέμνειν ἀναγκαῖον ἦν.

ΝΕ. ΣΩ. Τίνι;

ΞΕ. Τῷ βιαίῳ τε καὶ ἑκουσίῳ.

ΝΕ. ΣΩ. Τί δή;

ΞΕ. Καὶ ταύτῃ[f] που τὸ πρότερον ἁμαρτάνοντες εὐηθέστερα τοῦ δέοντος εἰς ταὐτὸν βασιλέα[g] καὶ τύραννον συνέθεμεν, ἀνομοιοτάτους ὄντας αὐτούς τε καὶ τὸν τῆς ἀρχῆς ἑκατέρου τρόπον.

ΝΕ. ΣΩ. Ἀληθῆ.

ΞΕ. Νῦν δέ[h] γε πάλιν ἐπανορθούμενοι, καθά περ εἶπον, τὴν ἀνθρωπίνην ἐπιμελητικὴν δίχα διαιρώμεθα,[i] τῷ βιαίῳ τε καὶ ἑκουσίῳ;

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

II. ii. 289. ΞΕ. Καὶ τὴν μέν γέ που τῶν βιαίων τυραννικήν, τὴν δὲ

Π.—[y] αὐτὴν εὐθὺς 𝔄ΓΔΛΞΠΣΥΒCH : εὐθὺς αὐτὴν ς.—[z] ὃ om 𝔄ΔΠ.—[a] μετασκευωρίσασθαι ΞΣΥ.—[b] μᾶλλον ἢ C.—[c] ἐπαγαγόντας E, προσ ἐπαγαγόντας F : ἐπαγαγόντας ς.—[d] γε F.—[e] ἐπινεμηθεῖσαν Υ.—[f] ταύτην F.—τὸ om ΞΣΥ.—[g] ταυτὸν τὸν βασιλέα Ξ.—[h] ὧδέ 𝔄ΔΠ.—[i] διαιρώμεθά τε F, διαρώμεθά (κ) γε Eς.—[j] ἀγελαιονομικὴν

εὐθὺς αὐτὴν] Stob. αὐτὴν εὐθύς. Mox, προσαγαγόντας. non male: præsertim quum præcedat πρὸς τὴν ἐπιμέλειαν. Nam §. 20. est ἐπάγειν αὐτοὺς ἐπὶ τὰ μήπω γιγνωσκόμενα. Fisch.

τὸν ἀνθρώπινον] Stob. τῶν ἀνθρωπίνων· sed in marg. Gesnerus posuit lectionem alteram, quam Ficinus quoque expressit, *et humanum curatorem*. Fisch.

ἑκούσιον καὶ ἑκουσίων διπόδων ἀγελαιοκομικὴν[j] ζώων προσειπόντες πολιτικήν, τὸν ἔχοντα αὖ[k] τὴν[l] τέχνην ταύτην καὶ ἐπιμέλειαν ὄντως ὄντα βασιλέα καὶ πολιτικὸν ἀποφαινώμεθα;

§. 19. ΝΕ. ΣΩ. Καὶ[m] κινδυνεύει γε, ὦ ξένε, τελέως II. 277.
ἂν ἡμῖν οὕτως ἔχειν ἡ περὶ τὸν πολιτικὸν[n] ἀπόδειξις.

ΞΕ. Καλῶς ἄν, ὦ Σώκρατες, ἡμῖν[o] ἔχοι. δεῖ δὲ μὴ σοὶ μόνῳ ταῦτα, ἀλλὰ κἀμοὶ[p] μετὰ σοῦ κοινῇ ξυνδοκεῖν.[q] νῦν δὲ κατά γε τὴν ἐμὴν οὔπω[r] φαίνεται τέλεον ὁ βασιλεὺς ἡμῖν σχῆμα ἔχειν, ἀλλὰ καθά περ ἀνδριαντοποιοὶ[s] παρὰ καιρὸν ἐνίοτε σπεύδοντες πλείω καὶ μείζω τοῦ δέοντος ἕκαστα τῶν ἔργων ἐπεμβαλλόμενοι βραδύνουσι, καὶ νῦν ἡμεῖς,[t] ἵνα δὴ πρὸς τῷ ταχὺ[u] καὶ μεγαλοπρεπῶς δηλώσαιμεν τὸ τῆς ἔμπροσθεν ἁμάρτημα διεξόδου, τῷ βασιλεῖ νομίσαντες πρέπειν μεγάλα παραδείγματα ποιεῖσθαι, θαυμαστὸν ὄγκον ἀράμενοι τοῦ μύθου, μείζονι τοῦ[v] δέοντος ἠναγκάσθημεν αὐτοῦ μέρει προσχρήσασθαι.[w] διὸ μακροτέραν τὴν ἀπόδειξιν πεποιήκαμεν καὶ πάντως τῷ μύθῳ τέλος οὐκ ἐπέθεμεν,[x] ἀλλ' ἀτεχνῶς ὁ λόγος ἡμῖν ὥς περ ζῶον τὴν ἔξωθεν μὲν περιγρα-

E, ἀγελαιονομικὴν ΣΥF.—[k] αὖ 𝔄ΓΔΛΠΒCH : οὖν *ς.—[l] τὴν cum ς solus Ξ.—[m] καὶ om F.—[n] τὸν πολιτικὸν 𝔄ΔΠΗ : τῶν πολιτικῶν *ς.—[o] ἡμῖν ὦ σώκρατες Λ.—[p] καὶ μὴ Δ.—[q] ξ. Γ.—[r] ἐμὴν δόξαν οὔπω CH et rc ΠΒ.—[s] οἱ ἀνδριαντοποιοὶ F,
οἱ ει
ἀνδριαντοποιὸν E.—[t] ἡμᾶς ΣΥ.—[u] τῳ ταχὺ 𝔄ΛΠΒEFH et pr ΓΥ, τῷ ταχὺ C, τὸ ταχὺ Δ : τῷ ταχεῖ ς.—[v] μεῖζον ἢ τοῦ ΓΛΣΥΒCEFH.—[w] προσχρῆσθαι ΣΥF.—[x] ἐπε-

§. 19. *κατά γε τὴν ἐμὴν*] Steph. 'Post *ἐμὴν* invenitur accusativus *δόξαν*, in quibusdam vett. sed cum *φαίνεται* nihil his verbis, *κατά γε τὴν ἐμὴν δόξαν*, aliisque hujusmodi, opus esse puto: ac videndum potius esse, annon cum *ἐμὴν* subaudire oporteat *ἀπόδειξιν*, ex præcedentibus repetitum.' Hæc vero observatio Stephani non uno nomine notanda est et reprehendenda. Nam primo lectio *κατά γε τὴν ἐμὴν δόξαν* extat tantum in Bas. 2. ut non debuisset *quorundam veterum librorum* lectio dici: deinde etiam tirones norunt hodie, *κατὰ τὴν ἐμὴν* absolute dictum esse pro *κατὰ τὴν ἐμὴν δόξαν*, vel *γνώμην*, ita ut *δόξαν*, quod Bas. 2. habet, glossema grammaticorum putari debeat. Etsi enim Plato ipse Theæt. §. 32. scripsit *κατὰ τὴν σὴν δόξαν*, et supra §. 3. *κατά γε τὴν ἐμὴν δόξαν*· §. 16. *κατὰ τὴν ἐμὴν δόξαν*· et Soph. §. 19. *κατὰ γνώμην τὴν ἐμήν*· tamen §. 30. hujus dialogi dixit *κατά γε τὴν ἐμήν*. vid. Kœnius ad Gregorium de Dialectis p. 12. Denique *κατά γε τὴν ἐμὴν δόξαν φαίνεται* æque recte dictum est, atque a Latinis dicitur, *me quidem judice et auctore, videtur; meo quidem judicio et sententia, videtur*. Fisch.

μείζονι] Ald. Bas. 1. *μεῖζον ἤ*. Bas. 2. *μείζονι ἤ*. male. Scilicet Arlenius fecerat *μείζονι* ex *μεῖζον*, sed oblitus erat delere particulam *ἤ*. Fisch.

ὥσπερ ὕπαρ] Ficinus verba *ὥσπερ ὕπαρ* vertit *re vera*. recte. Hesychius: *Ὕπαρ· τὸ μεθ' ἡμέραν ὄναρ—οἷον φανερῶς, ἐναρ-*

II. ii. 290. φὴν ἔοικεν ἱκανῶς ἔχειν, τὴν δὲ οἷον τοῖς φαρμάκοις καὶ τῇ[y] συγκράσει τῶν χρωμάτων ἐνάργειαν[z] οὐκ ἀπειληφέναι πω. γραφῆς δὲ καὶ ξυμπάσης[a] χειρουργίας λέξει καὶ λόγῳ δηλοῦν πᾶν ζῶον μᾶλλον πρέπει τοῖς δυναμένοις ἕπεσθαι· τοῖς δ' ἄλλοις διὰ χειρουργιῶν.

ΝΕ. ΣΩ. Τοῦτο μὲν ὀρθῶς· ὅπῃ δὲ ἡμῖν οὔπω φῂς ἱκανῶς εἰρῆσθαι,[b] δήλωσον.[c]

ΞΕ. Χαλεπόν, ὦ δαιμόνιε, μὴ παραδείγμασι χρώμενον ἱκανῶς[d] ἐνδείκνυσθαί τι τῶν μειζόνων. κινδυνεύει γὰρ ἡμῶν ἕκαστος οἷον ὄναρ εἰδὼς ἅπαντα πάντ'[e] αὖ πάλιν ὥς περ ὕπαρ ἀγνοεῖν.

ΝΕ. ΣΩ. Πῶς τοῦτ' εἶπες;

ΞΕ. Καὶ μάλ' ἀτόπως[f] ἔοικά γε[g] ἐν τῷ παρόντι[h] κινῆσαι[i] τὸ περὶ τῆς ἐπιστήμης πάθος[j] ἐν[k] ἡμῖν.

a
θήκαμεν EF.—[y] τὸ F.—[z] ἐνέργειαν 𝔄Δ et pr Π, ἐνέργειαν E.—[a] ξ. Γ.—[b] εἰρῆσθαι
ον
...ἱκανῶς om Σ.—[c] δήλωσαι Ξ, δόλωσιν F.—[d] ἱκανῶς om F.—[e] πάντ' om 𝔄ΔΠ.—[f] τὸ πῶς 𝔄Δ et pr Π.—[g] ἔυικά γε 𝔄ΔΠΗ et γρ BC, ἐοίκαμεν (πῶς addit Γ) ἕκαστον ἐν ταῖς τῶι (τὸ Γ et corr EF) ἑξῆς βραχυτάταις γε ΓBCEF et (γε omisso) Λ: ἐοίκαμεν s.—[h] παριόντι 𝔄Δ, pr Π, corr H.—[i] κινήσας 𝔄ΔΠΗ.—[j] πάθος om Λ.—[k] ἐν om

γῶς ἀληθές. Etymol. M. ὕπαρ· ἀληθῶς. Cæterum Stobæus Eclog. Eth. ii. p. 157. a Cantero editis, excerpsit locum ita, χαλεπὸν, ὦ δαιμόνιε — ἐνδείξασθαί τι—εἰδὼς, ἕκαστα πάντα αὖ —. "Εκαστα videtur glossema verbi ἅπαντα esse, quod irrepserit e margine, aut ab ipso Stobæo profectum. Fisch.

ἐοίκαμεν κ. τ. λ.] Ald. Bas. 1. ἐοίκαμεν ἕκαστον, ἐν ταῖς ἑξῆς βραχυτάταις γε ἐν τῷ παρόντι κινῆσαι, τὸ περὶ τῆς ἐπιστ. πάθος ἐν ἡ. Bas. 2. ἔοικά γε ἕκαστον, ἐν τῷ παριόντι κινήσας, τὸ περὶ τῆς ἐπιστήμης, ἐν ταῖς τῷ ἑξῆς βραχυτάταις γε πάθος ἐν ἡμῖν. Ficinus vertit, *Absurdum admodum, o Socrates, affectum animæ circa scientiam nunc movimus. Nempe in magnis arduisque incepimus, quod in minimis et facilibus erat per ordinem inchoandum.* Sed quum nec ex istis librorum veterum lectionibus, nec ex hac interpretatione Ficini, sensus commodus existat: Cornarius monuit, verba ἕκαστον ἐν ταῖς ἑξῆς βραχυτάταις γε delenda esse, quæ huc venissent e sequentibus, et ἐν τῷ παριόντι mutandum in ἐν τῷ παρόντι, ita, *Et valde quidem absurde videmur in præsentia, in nobis de scientia affectionem commovisse.* Hanc igitur Cornarii emendationem secutus Stephanus ita edidit, uti nos cum eo edidimus. Sed adjiciemus ipsam Stephani ad hunc locum observationem: cui quid tribuendum sit, lectores e supra dictis existimare ipsi facile poterunt. 'Scriptum est,' inquit, 'etiam, sed perperam ἐοίκατε (immo ἔοικά γε in Bas. 2.) pro ἐοίκαμεν. Post quam vocem in præced. edit. habentur hæc verba ἕκαστον ἐν ταῖς ἑξῆς βραχυτάταις γε ἐν τῷ παρόντι· quum hæc ἐν τῷ παρόντι debeant proxime sequi verbum ἐοίκαμεν· et quæ sunt interjecta, plane aliena sint ab hoc loco, ex iis, quæ paulo post sequuntur, huc translata. Conatus est tamen et Ficinus aliquem ex illis aliisque sensum, divinatione, ut opinor, utens, eruere.' Fisch.

Exciderunt nonnulla, quæ in codice suo Ficinus reperisse videtur; quæque apprime huic loco conveniunt, præsertim cum ab Hospite dicantur, qui per totum hunc dialogum analyticam disserendi rationem sequitur. Heusd.

ΝΕ. ΣΩ. Τί δή;

ΞΕ. Παραδείγματος, ὦ μακάριε, αὖ μοι καὶ τὸ παράδειγμα αὐτὸ δεδέηκεν.[l]

ΝΕ. ΣΩ. Τί οὖν; λέγε μηδὲν ἐμοῦ γε[m] ἕνεκα ἀποκνῶν.

§. 20. ΞΕ. Λεκτέον, ἐπειδὴ καὶ σὺ ἕτοιμος[n] ἀκολουθεῖν. τοὺς γάρ που παῖδας ἴσμεν, ὅταν ἄρτι γραμμάτων ἔμπειροι γίγνωνται.

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Ὅτι τῶν στοιχείων ἕκαστον ἐν ταῖς βραχυτάταις II. ii. 291.
καὶ ῥάσταις τῶν συλλαβῶν ἱκανῶς διαισθάνονται, καὶ τἀληθῆ φράζειν περὶ ἐκεῖνα δυνατοὶ γίγνονται.

ΝΕ. ΣΩ. Πῶς γὰρ οὔ; II. 278.

ΞΕ. Ταὐτὰ δέ γε[o] ταῦτα ἐν ἄλλαις ἀμφιγνοοῦντες πάλιν δόξῃ τε[p] ψεύδονται[q] καὶ λόγῳ.

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.[r]

ΞΕ. Ἆρ' οὖν οὐχ ὧδε ῥᾷστον καὶ κάλλιστον ἐπάγειν αὐτοὺς ἐπὶ τὰ μή πω γιγνωσκόμενα;

ΝΕ. ΣΩ. Πῶς;[s]

ΞΕ. Ἀνάγειν[t] πρῶτον ἐπ' ἐκεῖνα ἐν οἷς ταὐτὰ[u] ταῦτα ὀρθῶς ἐδόξαζον, ἀναγαγόντας[v] δὲ τιθέναι παρὰ τὰ μή πω γιγνωσκόμενα, καὶ παραβάλλοντας ἐνδεικνύναι τὴν αὐτὴν ὁμοιότητα καὶ φύσιν ἐν ἀμφοτέραις οὖσαν[w] ταῖς[x] συμπλοκαῖς, μέχρι περ ἂν πᾶσι τοῖς ἀγνοουμένοις τὰ δοξαζόμενα ἀληθῶς παρατιθέμενα δειχθῇ,[y] δειχθέντα δέ, παραδείγμαθ' οὕτω[z] γιγνόμενα, ποιήσῃ[a] τῶν στοιχείων ἕκαστον πάντων[b] ἐν πάσαις ταῖς συλλαβαῖς, τὸ μὲν ἕτερον ὡς τῶν ἄλλων

ηλω δεδέηκε
Η.—[l] δέδηκεν �AΔ et pr Π, δεδέηκε Β, δεδήλωκε Ε, δεδήλωκεν ΓF et γρ Π.—[m] γε om �AΔΠ.—[n] σὺ ἕτοιμος �AΔΠ, σύ γ' εἶ ἕτοιμος Ξ, σύ γε ἕτοιμος *ϛ.—[o] γε om Υ.—
αι
[p] τε δόξῃ F.—[q] ψεύδοντι Ε, ψεύδοντι F.—[r] οὖν om F.—[s] πῶς ἄν �AI : πῶς...γιγνωσκόμενα om Λ.—[t] ἀνάγειν �AΔΠ : ἀναγαγεῖν *ϛ.—[u] ταυτὰ om Δ.—[v] ἀνάγοντας �AΔ Π, ἀναγαγόντες ΣΥ.—[w] οὖσι �AΔ et pr Π.—[x] ταῖς om ϛ.—[y] δειχθείη �AΔΠ.—
η
[z] τούτων ΓΛΣΥΒCEFH.—[a] ποιήσει Η, ποιήσει Ξ.—[b] πάντων ἕκαστον �AΔΠ, ἕκασ-

§. 20. ἀκολουθεῖν] Ficinus legisse videtur ἀκούειν. vertit enim, *Dicendum, postquam ipse es audire paratus.* Sed fieri tamen potest, ut reddere voluerit potestatem verbi ἀκολουθεῖν. quod certe nil est, nisi ἀκούειν, hoc loco. FISCH.

ἕτερον ὄν, τὸ δὲ ταὐτὸν ὡς ταὐτὸν ἀεὶ κατὰ ταὐτὰ ἑαυτῷ προσαγορεύεσθαι.

ΝΕ. ΣΩ. Παντάπασι μὲν οὖν.

ΞΕ. Οὐκοῦν τοῦτο μὲν ἱκανῶς συνειλήφαμεν,[c] ὅτι πα-
II. ii. 292. ραδείγματός γ' ἐστὶ τότε γένεσις, ὁπόταν ὂν ταὐτὸν ἐν ἑτέρῳ[d] διεσπασμένῳ, δοξαζόμενον ὀρθῶς καὶ συναχθὲν περὶ ἑκάτερον ὡς[e] συνάμφω μίαν ἀληθῆ[f] δόξαν ἀποτελῇ;

ΝΕ. ΣΩ. Φαίνεται.

ΞΕ. Θαυμάζοιμεν[g] ἂν οὖν εἰ ταὐτὸν τοῦτο ἡμῶν ἡ ψυχὴ φύσει[h] περὶ τὰ τῶν πάντων στοιχεῖα πεπονθυῖα τοτὲ μὲν ὑπ'[i] ἀληθείας περὶ ἓν ἕκαστον ἔν τισι[j] συνίσταται, τοτὲ δὲ[k] περὶ ἅπαντα[l] ἐν ἑτέροις αὖ φέρεται,[m] καὶ τὰ μὲν αὐτῶν ἁμῇ γέ πῃ[n] τῶν συγκράσεων ὀρθῶς δοξάζει, μετατιθέμενα δ' εἰς τὰς[o] τῶν πραγμάτων μακρὰς καὶ μὴ ῥᾳδίους συλλαβὰς ταὐτὰ ταῦτα[p] πάλιν ἀγνοεῖ;

ΝΕ. ΣΩ. Καὶ θαυμαστόν γε οὐδέν.

ΞΕ. Πῶς γάρ, ὦ φίλε, δύναιτ'[q] ἄν τις ἀρχόμενος ἀπὸ δόξης ψευδοῦς, ἐπί τι τῆς ἀληθείας καὶ μικρὸν μέρος ἀφικόμενος κτήσασθαι φρόνησιν;

ΝΕ. ΣΩ. Σχεδὸν οὐδαμῶς.

ΞΕ. Οὐκοῦν ταῦτα εἰ ταύτῃ[r] πέφυκεν, οὐδὲν δὴ[s] πλημμελοῖμεν ἂν ἐγώ τε[t] καὶ σὺ πρῶτον μὲν ἐπιχειρήσαντες ὅλου παραδείγματος ἰδεῖν τὴν φύσιν ἐν σμικρῷ κατὰ μέρος ἄλλῳ παραδείγματι, μετὰ δὲ ταῦτα μέλλοντες,[u] ἐπὶ

τον ἁπάντων F.—[c] συνειλήφαμεν...532, 2. στήμονος] quibus hæc continentur, folia duo in decimum de re publica librum intulit bibliopegus Π.—[d] ἑκατέρῳ corr Π.
εν
—[e] καὶ Π.—[f] ἀληθῆ om ΛBCH.—[g] θαυμάζοιμεν ℭΓΔΛΠBCH, θαυμάζοιμ' E : θαυ-
ὑπὸ
μάζοιμ' *ς.—[h] φύσει τὰ ΣΥ.—[i] περὶ E, περὶ F.—[j] ἕν τι ℭΔΠ.—[k] δὲ om EF.—
α
[l] ἅπαντα ℭΔΠ, πάντα ΓΛBCH, πάντων Ξ : πάντων *ς.—[m] φαίνεται F.—[n] ἁμηγέπῃ ΛBCF.—[o] τὰς om Δ.—[p] ταῦτα om pr Π.—[q] δύναιτ' Γ, δύνατο H.—[r] ἐν ταύτῃ ΣΥ, ἐπ' αὐτῇ ℭΔ : εἰ ταύτῃ cum *ς corr Π.—[s] οὐδένα ᾗ ℭΔ : οὐδὲν δὴ cum *ς corr Π.—[t] τε om ΓΛΣΥBCEFH.—[u] μέλλοντες ℭΛΞΠΣΥBCEFH, μέλλοντος mg F, μέλοντες

ἑκάτερον] Steph. 'Legitur etiam ἕτερον pro ἑκάτερον· et fortasse melius.' Videlicet Cornarius ἕτερον reponendum censuit. Addit Stephanus, 'Paulo post Μὴ θαυμάζοιμ' ἂν κ. λ. Sed interrogative legendo, θαυμάζοιμ' ἄν, idem fuerit sensus.' recte. Sed μὴ θαυμάζοιμ' ἂν fuit ejusdem Cornarii conjectura. Fisch.

μεταβάλλοντες] Ald. Bas. 1. 2. μέλλοντες· quæ lectio quum careat omni sensu : Cornarius jam μεταβάλλοντες reponendum censuit. Quam quidem cor-

τὸ[v] τοῦ βασιλέως μέγιστον ὂν ταὐτὸν εἶδος ἀπ'[w] ἐλαττό-
νων φέροντές ποθεν, διὰ παραδείγματος ἐπιχειρεῖν αὖ τὴν[x] II. ii. 293.
τῶν κατὰ πόλιν θεραπείαν τέχνῃ γνωρίζειν, ἵνα ὕπαρ ἀντ'
ὀνείρατος ἡμῖν γίγνηται;

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν ὀρθῶς.

ΞΕ. Πάλιν δὴ τὸν ἔμπροσθεν λόγον ἀναληπτέον, ὡς II. 279.
ἐπειδὴ τῷ βασιλικῷ γένει τῆς περὶ τὰς πόλεις ἐπιμελείας
ἀμφισβητοῦσι μυρίοι, δεῖ δὴ πάντας ἀποχωρίζειν τούτους
καὶ μόνον ἐκεῖνον λιπεῖν.[y] καὶ πρὸς τοῦτο δὴ παραδείγμα-
τος ἔφαμεν δεῖν τινὸς ἡμῖν.[z]

ΝΕ. ΣΩ. Καὶ μάλα.

§. 21. ΞΕ. Τί δῆτα παράδειγμά τις ἄν, ἔχον[a] τὴν αὐτὴν πολιτικὴν πραγματείαν,[b] σμικρότατον παραθέμενος ἱκανῶς ἂν εὕροι τὸ[c] ζητούμενον; βούλει πρὸς Διός,[d] ὦ Σώκρατες, εἰ μή τι πρόχειρον ἕτερον ἔχομεν, ἀλλ' οὖν τήν γε ὑφαντικὴν προελώμεθα; καὶ ταύτην, εἰ δοκεῖ,[e] μὴ πᾶσαν; ἀποχρήσει γὰρ ἴσως ἡ περὶ τὰ ἐκ τῶν ἐρίων ὑφάσματα· τάχα γὰρ ἄν[f] ἡμῖν καὶ τοῦτο τὸ μέρος αὐτῆς μαρτυρήσειε[g] προαιρεθὲν ὃ βουλόμεθα.

ΝΕ. ΣΩ. Τί γὰρ οὔ;

ΞΕ. Τί δῆτα οὐ, καθάπερ ἐν τοῖς ἔμπροσθε[h] τέμνοντες
μέρη μερῶν ἕκαστον διῃρούμεθα, καὶ νῦν περὶ ὑφαντικὴν
ταὐτὸν[i] τοῦτ'[j] ἐδράσαμεν, καὶ κατὰ δύναμιν ὅτι μάλιστα II. ii. 294.
διὰ βραχέων ταχὺ πάντ' ἐπελθόντες πάλιν ἤλθομεν ἐπὶ τὸ
νῦν χρήσιμον;

δ
Γ: μεταβάλλοντες ς.—[v] τῶ Γ.—[w] ἐπ' Υ.—[x] αὐτὴν 𝔄.—[y] λειπεῖν ΔΠ, λειπειν 𝔄.
ο
—[z] τινος ἡμῖν 𝔄ΔΠ: ἡμῖν τινός *ς.—[a] ἔχων Ε, ἔχων ΓΞΣΥBCFH et corr Π.—
[b] παραδειγματείαν 𝔄ΔΠ.—[c] εὕροιτο τὸ F.—[d] πρὸς τὸ διὸς Σ.—[e] δοκῇ Σ.—[f] ἂν om
ε
pr Ξ.—[g] μαρτυρήσεις Η.—[h] ἔμπροσθε Δ et pr Γ: ἔμπρυσθεν *ς.—[i] ταυτὸν 𝔄ΔΞΠ

rectionem confirmat, præter ipsam rem verborumque structuram, versio Ficini, in qua est *maximum illud aggressi regis exemplum*: ut certum sit, Fic. ipsum quoque legisse μεταβάλλοντες. nam μεταβάλλειν exquisite positum legitur apud Platonem ejusque imitatores, in his apud Philonem, ut Medium, ita ut idem sit, quod μεταβαίνειν, στρέφεσθαι. Fisch.

παράδ. τ. ἂν ἔχον] Ald. Bas. 1. παράδειγμα τὶς ἄν, ἔχων. Bas. 2. παράδειτά τις ἂν ἔχων —. mendose. nam ἔχον satis manifestum est cohærere cum nomine παράδειγμα· et Ficinus jam legit ἔχον. vertit enim, *exemplum exiguum quidem et eandem civilem continens facultatem.* Fisch.

πρόχειρον] Hesychius: Πρόχειρος· ἕτοιμος: Idem mox Παραπετάσματα· παρακαλύμματα. Fisch.

ΝΕ. ΣΩ. Πῶς λέγεις;[k]

ΞΕ. Αὐτὴν τὴν διέξοδον ἀπόκρισίν σοι ποιήσομαι.

ΝΕ. ΣΩ. Κάλλιστ' εἶπες.

ΞΕ. Ἔστι τοίνυν πάντα ἡμῖν ὁπόσα[l] δημιουργοῦμεν καὶ κτώμεθα, τὰ μὲν ἕνεκα τοῦ ποιεῖν τι, τὰ δὲ τοῦ μὴ πάσχειν ἀμυντήρια· καὶ τῶν ἀμυντηρίων τὰ μὲν ἀλεξιφάρμακα καὶ θεῖα καὶ ἀνθρώπινα, τὰ δὲ προβλήματα· τῶν δὲ[m] προβλημάτων τὰ μὲν πρὸς τὸν πόλεμον ὁπλίσματα, τὰ δὲ φράγματα· καὶ τῶν[n] φραγμάτων τὰ μὲν παραπετάσματα, τὰ δὲ πρὸς χειμῶνας καὶ καύματα ἀλεξητήρια·[o] τῶν δὲ ἀλεξητηρίων τὰ μὲν στεγάσματα, τὰ δὲ σκεπάσματα· καὶ τῶν σκεπασμάτων ὑποπετάσματα μὲν ἄλλα, περικαλύμματα δὲ ἕτερα· περικαλυμμάτων[p] δὲ τὰ μὲν ὁλόσχιστα, σύνθετα δὲ ἕτερα· τῶν δὲ συνθέτων τὰ μὲν τρητά, τὰ δὲ ἄνευ τρήσεως ξυνδετά· καὶ τῶν ἀτρήτων τὰ μὲν νεύρινα φυτῶν ἐκ γῆς, τὰ δὲ τρίχινα· τῶν δὲ τριχίνων τὰ μὲν ὕδασι καὶ γῇ κολλητά, τὰ δὲ αὐτὰ αὑτοῖς συνδετά.
τουτοισὶ[q] δὴ τοῖς ἐκ τῶν ἑαυτοῖς[r] συνδουμένων[s] ἐργασθεῖσιν
II. ii. 295. ἀμυντηρίοις καὶ σκεπάσμασι τὸ μὲν ὄνομα ἱμάτια ἐκαλέ-
σαμεν· τὴν δὲ τῶν ἱματίων μάλιστα ἐπιμελουμένην τέχ-
II. 280. νην, ὥς περ τότε τὴν τῆς πόλεως πολιτικὴν εἴπομεν, οὕτω
καὶ νῦν ταύτην προσείπωμεν ἀπ' αὐτοῦ τοῦ πράγματος ἱματιουργικήν;[t] φῶμεν δὲ[u] καὶ ὑφαντικήν, ὅσον ἐπὶ τῇ τῶν ἱματίων ἐργασίᾳ μέγιστον ἦν μόριον, μηδὲν διαφέρειν πλὴν ὀνόματι ταύτης τῆς ἱματιουργικῆς, καθά περ κἀκεῖ τότε τὴν βασιλικὴν τῆς πολιτικῆς;

ΝΕ. ΣΩ. Ὀρθότατά γε.

ΞΕ. Τὸ μετὰ τοῦτο δὴ συλλογισώμεθα, ὅτι τὴν ἱματίων[v] ὑφαντικὴν οὕτω ῥηθεῖσάν τις τάχ' ἂν ἱκανῶς εἰρῆσθαι

ΣΥ: ταυτὸ *ς.—[j] τοῦτ' Γ.—[k] λέγετε 𝔄.—[l] ὅσα Λ.—[m] δ' αὖ γε Eς.—[n] τῶν δὲ ΞΣ.—[o] ἀλεξητήρια...ἀλεξητηρίων Υ: ἀλεξιτήρια...ἀλεξιτηρίων *ς.—[p] ante περικαλυμμάτων omisi τῶν cum 𝔄ΓΔΛΠΒCH: τῶν δὲ περικαλυμμάτων F.—[q] τουτοισὶ ΓΛ BCH, τούτοις Ξ: τούτοισι *ς.—[r] ἑαυτοῖς Ξ: αὐτῶν *ς.—[s] libri συνδουμένοις.—[t] ἱματιουργικήν 𝔄ΔΠΣΥ cum pr Ξ et corr B, ἱμαντουργικήν Λ, ἱμμαντουργικήν H: ἱματουργικήν *ς. similiter mox.—[u] δὲ om F.—[v] τὴν ἱματίων 𝔄ΓΔΛΠΥBCEFH: τὴν

ξυνδετά] Hæc et cætera hujus generis vocabula, quibus Plato hoc capite utitur, congessit Pollux vii. 208. Fisch.

αὐτὰ αὑτοῖς] Bas. 2. τὰ αὐτοῖς. Mox αὑτοῖς vice αὐτῶν. Fisch.

δόξειε, μὴ δυνάμενος συννοεῖν ὅτι τῶν μὲν[w] ἐγγὺς συνεργῶν οὔπω διώρισται, πολλῶν δὲ ἑτέρων συγγενῶν ἀπεμερίσθη.

§. 22. ΝΕ. ΣΩ. Ποίων, εἰπέ, συγγενῶν;

ΞΕ. Οὐχ ἕσπου[x] τοῖς λεχθεῖσιν, ὡς φαίνει· πάλιν οὖν ἔοικεν ἐπανιτέον ἀρχόμενον ἀπὸ τελευτῆς.[y] εἰ γὰρ συννοεῖς τὴν οἰκειότητα, τὴν μὲν διετέμομεν ἀπ' αὐτῆς νῦν δή, τὴν τῶν στρωμάτων σύνθεσιν, περιβολῇ χωρίζοντες καὶ ὑποβολῇ.

ΝΕ. ΣΩ. Μανθάνω.

ΞΕ. Καὶ μὴν τὴν[z] ἐκ τῶν λίνων[a] καὶ σπάρτων[b] καὶ πάντων,[c] ὁπόσα[d] φυτῶν ἄρτι νεῦρα κατὰ λόγον εἴπομεν, II. ii. 296. δημιουργίαν πᾶσαν[e] ἀφείλομεν· τήν τ' αὖ πιλητικὴν[f] ἀφωρισάμεθα καὶ τὴν τρήσει[g] καὶ ῥαφῇ χρωμένην σύνθεσιν, ἧς ἡ πλείστη σκυτοτομική.

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Καὶ τοίνυν[h] τὴν τῶν ὁλοσχίστων σκεπασμάτων θεραπείαν δερματουργικὴν καὶ τὰς τῶν στεγασμάτων, ὅσαι[i] τε[j] ἐν οἰκοδομικῇ καὶ ὅλῃ τεκτονικῇ καὶ ἐν ἄλλαις τέχναις ῥευμάτων στεκτικαὶ γίγνονται, συμπάσας[k] ἀφείλομεν, ὅσαι τε[l] περὶ τὰς κλοπὰς[m] καὶ τὰς βίᾳ πράξεις διακωλυτικὰ ἔργα παρέχονται[n] τέχναι φραγμάτων, περί τε γένεσιν ἐπι-

τῶν ἱματίων *ς.—[w] μὲν om ΣΥ.—[x] ἕπου (σ) E, ἕπου F, ἕπη (η) corr Γ.—[y] ἀπὸ τῆς τελευτῆς F.—[z] τῶν Γ.—[a] λινῶν 𝔄Π.—[b] σπαρτῶν Π.—[c] πάντα ΔΠ.—[d] ὁπόσα ΓΔΛΞΠΣΥΒCH : ὅσα ς.—[e] πᾶσα Σ.—[f] πιλιτικὴν (ϊ) Υ et mg F, πολιτικὴν CE, πολιτικὴν ΓΛΣ BFH.—[g] τὴν τῇ τρήσει 𝔄ΔΠ.—[h] καίτοι νῦν F.—[i] ὅσα Γ.—[j] τε om ΣΥ.—[k] συμπάσης Δ, καὶ συμπάσας Λ.—[l] τε om 𝔄ΓΔΛΣΥΒCEFH.—[m] κλόπας (κ) Γ, πλοκὰς (π) B :

πιλητικὴν] In præc. edit. magno errore scriptum est πολιτικὴν pro πιλητικήν. Steph. qui sic in not. 'In Ald. et Basil. πολιτικὴν scriptum est: sed Basiliensis margini adscriptum est κολλητικὴν, ex alicujus conjectura: mali quidem certe hac in re conjectoris, quum non κολλητικὴν sed πιλητικὴν substituendum esset, ut a me substitutum fuit.'

πιλητικὴν] Ald. Bas. 1. 2. πολιτικήν· quod jam Cornarius monuit mutandum esse in πιλητικήν. Etiam Ficinus legit πιλητικήν. vertit enim, *pileorum compositionem.* Neque aliter scriptum erat in codice Falquenburgiano Pollucis, e quo Lederlinus recepit πιλητικὴ pro πηνητικὴ, quod Kuhnius Polluci, atque adeo Platoni, reddendum censuerat. Sed multo minus probandum est κολλητικὴν, quod legitur in marg. Bas. 1. Fuit autem aut Ioh. Oporini, aut Simonis Grynæi, conjectura quam Stephanus recte rejecit. Fisch.

διακωλυτικὰ] Ald. Bas. 1. 2. διακολυτικά. Apud Pollucem vii. 209. est in libris editis antiquis διακολλητικά· sed Lederlinus restituit διακωλυτικὰ e codicibus scriptis. Fisch.

θηματουργίας οὖσαι[o] καὶ τὰς τῶν θυρωμάτων πήξεις, γομφωτικῆς ἀπονεμηθεῖσαι[p] μόρια τέχνης· τήν τε ὁπλοποιικὴν[q] ἀπετεμόμεθα, μεγάλης καὶ παντοίας τῆς προβληματουργικῆς τμῆμα οὖσαν δυνάμεως· καὶ δὴ καὶ τὴν μαγευτικὴν τὴν περὶ τὰ ἀλεξιφάρμακα κατ' ἀρχὰς εὐθὺς διωρισάμεθα ξύμπασαν, καὶ λελοίπαμεν, ὡς δόξαιμεν ἄν, αὐτὴν τὴν ζητηθεῖσαν[r] ἀμυντικὴν χειμώνων, ἐρεοῦ[s] προβλήματος ἐργαστικήν, ὄνομα δὲ ὑφαντικὴν λεχθεῖσαν.

ΝΕ. ΣΩ. Ἔοικε γὰρ[t] οὖν.

II. ii. 297. ΞΕ. Ἀλλ' οὐκ ἔστι πω[u] τέλεον, ὦ παῖ, τοῦτο[v] λελεγμένον. ὁ γὰρ ἐν ἀρχῇ τῆς τῶν ἱματίων ἐργασίας ἁπτόμενος
II. 281. τοὐναντίον ὑφῇ δρᾷν φαίνεται.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Τὸ μὲν τῆς ὑφῆς συμπλοκή τίς ἐστί που.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Τὸ δέ γε τῶν[w] συνεστώτων καὶ συμπεπιλημένων[x] διαλυτική.

ΝΕ. ΣΩ. Τὸ ποῖον δή;

ΞΕ. Τὸ τῆς τοῦ ξαίνοντος τέχνης ἔργον. ἢ τὴν ξαντικὴν τολμήσομεν ὑφαντικὴν καὶ τὸν ξάντην ὡς ὄντα ὑφάντην καλεῖν;

ΝΕ. ΣΩ. Οὐδαμῶς.

ΞΕ. Καὶ μὴν τήν γε αὖ στήμονος ἐργαστικὴν καὶ κρόκης εἴ τις ὑφαντικὴν προσαγορεύει, παράδοξόν τε καὶ ψεῦδος ὄνομα λέγει.

ΝΕ. ΣΩ. Πῶς γὰρ οὔ;

ΞΕ. Τί δαί;[y] κναφευτικὴν σύμπασαν καὶ τὴν ἀκεστι-

οὖ
πλοκὰς *ϛ.—[n] παρέχεται Γ.—[o] ὕσαι Λ, ὅσαι ΓΥΒΕFΗ et mg C.—[p] ἀπονεμηθείσας Fϛ.—[q] ὁπλοποιϊκὴν 𝔄ΔΛΞΣΥΒCΗ : ὁπλοποιητικὴν *ϛ.—[r] συζητηθεῖσαν Δ.—[s] ἐρίου corr Σ, ἐρέου ϛ.—[t] γὰρ om ΣΥ.—[u] πω 𝔄ΓΔΠ : που *ϛ.—[v] τοῦτο τέλεον ΣΥ.—

οὖσαι] Bas. 2. ὅσαι. Mox Ald. Bas. 1. 2. ἀπονεμηθεῖσαι. Fisch.

μαγευτικὴν] Vocem μαγευτικὴν confudit et Fic. cum μαγειρευτικήν : interpretans et ipse *coquinariam:* quum tamen quod de alexipharmacis subjungitur, ad μάγους et μαγεύειν, non ad μαγείρους et μαγειρεύειν pertineat : et coquinariam vocent potius μαγειρικήν. Steph. Apud Pollucem l. c. legitur μαγγανευτική· cui tamen lectioni Jungermanus et Lederlinus alteram recte prætulisse videntur. Fisch.

κὴν πότερα[z] μηδεμίαν ἐπιμέλειαν μηδέ τινα θεραπείαν ἐσθῆτος θῶμεν, ἢ καὶ ταύτας πάσας ὡς ὑφαντικὰς λέξομεν;

ΝΕ. ΣΩ. Οὐδαμῶς.

ΞΕ. Ἀλλὰ μὴν τῆς γε θεραπείας ἀμφισβητήσουσιν[a] αὗται ξύμπασαι καὶ τῆς γενέσεως τῆς τῶν ἱματίων τῇ τῆς II. ii. 298.
ὑφαντικῆς δυνάμει, μέγιστον μὲν[b] μέρος ἐκείνῃ διδοῦσαι,[c] μεγάλα δὲ καὶ σφίσιν[d] αὑταῖς ἀπονέμουσαι.

ΝΕ. ΣΩ. Πάνυ γε.

ΞΕ. Πρὸς τοίνυν ταύταις ἔτι τὰς τῶν ἐργαλείων[e] δημιουργοὺς τέχνας, δι' ὧν ἀποτελεῖται[f] τὰ τῆς ὑφῆς ἔργα, δοκεῖν χρὴ τό γε[g] συναιτίας εἶναι προσποιήσασθαι παντὸς ὑφάσματος.

ΝΕ. ΣΩ. Ὀρθότατα.

ΞΕ. Πότερον οὖν ἡμῖν ὁ περὶ τῆς ὑφαντικῆς λόγος, οὗ προειλόμεθα μέρους, ἱκανῶς ἔσται διωρισμένος, ἐὰν ἄρ' αὐτὴν τῶν[h] ἐπιμελειῶν ὁπόσαι περὶ τὴν ἐρεᾶν[i] ἐσθῆτα ἐς[j] τὴν[k] καλλίστην καὶ μεγίστην πασῶν τιθῶμεν; ἢ λέγοιμεν μὲν ἄν τι ἀληθές, οὐ μὴν σαφές γε οὐδὲ τέλεον, πρὶν ἂν[l] καὶ ταύτας αὐτῆς πάσας περιέλωμεν;

ΝΕ. ΣΩ. Ὀρθῶς.

§. 23. ΞΕ. Οὐκοῦν μετὰ ταῦτα ποιητέον ὃ λέγομεν, ἵν' ἐφεξῆς ἡμῖν ὁ λόγος ἴῃ;

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;

ΞΕ. Πρῶτον μὲν τοίνυν δύο τέχνας οὔσας περὶ πάντα τὰ δρώμενα θεασώμεθα.

ΝΕ. ΣΩ. Τίνας;

ΞΕ. Τὴν μὲν γενέσεως οὖσαν συναίτιον, τὴν δ' αὐτὴν II. ii. 299.
αἰτίαν.

[w] ταῖς, in mg τῶν, F.—[x] συμπεπλημένων H.—[y] δαὶ ΞΣΥ.—[z] πότερον Ξ.—[a] ἀμφισ- ησ βητοῦσιν Ξ, ἀμφισβητοῦσιν ΛΥ.—[b] μὲν om Δ.—[c] δοῦσαι ΣΥ et pr Ξ.—[d] σφῆσιν ΛBF, φῆσιν H.—[e] ἐργαλίων ϒ.—[f] ἀπολεῖται Σ et pr Υ.—[g] τόγε H: τότε *s.—[h] τῶν om Δ.—[i] ῥέαν ΣΥ.—[j] ἐς ΞΣΥ: εἰς *s.—[k] γῆν Δ, τὴν corr Π.—[l] ἂν ΣΥ: αὖ

§. 23. πρῶτον μὲν τοίνυν] Hic locus extat apud Stob. Ecl. Eth. c. 58. p. 380. ita scriptus, πρῶτον μὲν—τῆς γενέσεως—τὴν δὲ αὐτὴν—πρᾶγμ' αὐτὸ—ποτ' ἐργασθείη—δ' αὐτὸ τὸ πρᾶγμ' ἀπεργ.—ἔχει γοῦν λόγον. Et articulus quidem ante γενέσεως recte additus est: etiam γὰρ οὖν magis placet quam γοῦν. Fisch.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Ὅσαι μὲν τὸ πρᾶγμα αὐτὸ μὴ[m] δημιουργοῦσι, ταῖς δὲ δημιουργούσαις ὄργανα παρασκευάζουσιν, ὧν μὴ παραγενομένων οὐκ ἄν ποτε ἐργασθείη τὸ προστεταγμένον[n] ἑκάστῃ τῶν τεχνῶν, ταύτας μὲν ξυναιτίους, τὰς δὲ αὐτὸ τὸ πρᾶγμα ἀπεργαζομένας[o] αἰτίας.

ΝΕ. ΣΩ. Ἔχει γοῦν λόγον.

ΞΕ. Μετὰ τοῦτο δὴ τὰς μὲν περί τε ἀτράκτους καὶ κερκίδας καὶ ὁπόσα[p] ἄλλα ὄργανα τῆς περὶ τὰ ἀμφιέσματα γενέσεως κοινωνεῖ, πάσας ξυναιτίους[q] εἴπωμεν, τὰς δὲ αὐτὰ θεραπευούσας καὶ δημιουργούσας αἰτίας;

ΝΕ. ΣΩ. Ὀρθότατα.

II. 282. ΞΕ. Τῶν αἰτιῶν δὴ πλυντικὴν[r] μὲν καὶ ἀκεστικὴν καὶ πᾶσαν τὴν περὶ ταῦτα θεραπευτικήν, πολλῆς οὔσης τῆς κοσμητικῆς[s] τοὐνταῦθα αὐτῆς μόριον, εἰκὸς μάλιστα περιλαμβάνειν ὀνομάζοντας πᾶν τῇ τέχνῃ[t] τῇ κναφευτικῇ.

ΝΕ. ΣΩ. Καλῶς.

ΞΕ. Καὶ μὴν ξαντική[u] γε[v] καὶ νηστικὴ[w] καὶ πάντα
II. ii. 300. αὖ τὰ περὶ τὴν ποίησιν αὐτὴν τῆς ἐσθῆτος ἧς λέγομεν μέρη, μία τίς ἐστι τέχνη τῶν ὑπὸ πάντων λεγομένων ἡ ταλασιουργική.

ΝΕ. ΣΩ. Πῶς γὰρ οὔ;

ΞΕ. Τῆς δὴ ταλασιουργικῆς δύο τμήματά ἐστον, καὶ τούτοιν ἑκάτερον ἅμα δυοῖν πεφύκατον τέχναιν μέρη.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Τὸ μὲν ξαντικὸν καὶ τὸ τῆς κερκιστικῆς[x] ἥμισυ καὶ ὅσα τὰ συγκείμενα ἀπ᾽ ἀλλήλων ἀφίστησι, πᾶν τοῦτο ὡς ἓν φράζειν τῆς τε ταλασιουργίας αὐτῆς ἐστί που, καὶ μεγάλα τινὲ κατὰ πάντα ἡμῖν ἤστην τέχνα, ἡ συγκριτική τε καὶ διακριτική.

*ς.—[m] μὴ om pr F.—[n] προστεταμένον E.—[o] ἐργαζομένας pr Ξ.—[p] ὅτι ὅσα H.—[q] ξυναιτίους H.—[r] πλεοντικὴν H.—[s] κοσμικῆς EF, κοσμιότητος Σ, κοσμιοτηκῆς Υ.—[t] πάντῃ τέχνῃ ΣΥCEF.—[u] ξαντική ς.—[v] τε ꝞΔΠ.—[w] νηστικὴ ς.—[x] κερκιτικῆς

ὅσαι] Ald. Bas. 1. 2. ὅσα· vitiose. Mox Bas. 2. ἔχω· male. Fisch.

ξαντικὴ] Ald. Bas. 1. 2. ξαντικήν·— νηστικήν· male. Fisch.

ταλασ.] Timæus: Ταλασιουργία· ἡ περὶ τῶν ἐρίων ἐργασίμη τέχνη. Fisch.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Τῆς τοίνυν διακριτικῆς ἥ τε ξαντικὴ καὶ τὰ νῦν δὴ ῥηθέντα ἅπαντά ἐστιν· ἡ γὰρ ἐν ἐρίοις τε καὶ στήμοσι διακριτική, κερκίδι μὲν ἄλλον τρόπον γιγνομένη, χερσὶ δὲ ἕτερον, ἔσχεν ὅσα[y] ἀρτίως ὀνόματα ἐρρήθη.

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Αὖθις δὴ πάλιν συγκριτικῆς μόριον ἅμα καὶ ταλασιουργίας ἐν αὐτῇ γιγνόμενον λάβωμεν· ὅσα δὲ τῆς διακριτικῆς ἦν[z] αὐτόθι, μετίωμεν ξύμπαντα,[a] δίχα τέμνοντες τὴν ταλασιουργίαν[b] διακριτικῷ τε[c] καὶ συγκριτικῷ τμήματι.

ΝΕ. ΣΩ. Διῃρήσθω. II. ii. 301.

ΞΕ. Τὸ συγκριτικὸν τοίνυν αὖ σοι καὶ ταλασιουργικὸν ἅμα[d] μόριον, ὦ Σώκρατες, διαιρετέον, εἴ περ ἱκανῶς μέλλομεν τὴν προρρηθεῖσαν ὑφαντικὴν αἱρήσειν.

ΝΕ. ΣΩ. Οὐκοῦν χρή.

ΞΕ. Χρὴ μὲν οὖν· καὶ λέγωμέν[e] γε αὐτῆς τὸ μὲν εἶναι στρεπτικόν, τὸ δὲ συμπλεκτικόν.

ΝΕ. ΣΩ. Ἆρ'[f] οὖν μανθάνω; δοκεῖς γάρ μοι τὸ περὶ τὴν[g] τοῦ στήμονος ἐργασίαν λέγειν στρεπτικόν.

ΞΕ. Οὐ μόνον γε, ἀλλὰ καὶ κρόκης. ἢ γένεσιν ἄστροφόν τινα[h] αὐτῆς εὑρήσομεν;

ΝΕ. ΣΩ. Οὐδαμῶς.

ΞΕ. Διόρισαι δὴ[i] καὶ τούτοιν ἑκάτερον· ἴσως γὰρ ὁ διορισμὸς[j] ἔγκαιρος ἄν σοι γένοιτο.

ΝΕ. ΣΩ. Πῇ;

ΞΕ. Τῇδε. τῶν[k] περὶ ξαντικὴν ἔργων μηκυνθέν τε[l] καὶ σχὸν πλάτος λέγομεν εἶναι[m] κάταγμά τι;

ΝΕ. ΣΩ. Ναί.

C.—[y] ὅσα om Σ.—[z] ἧς Δ.—[a] ξ. Γ.—[b] ταλασιουργικὴν Γ.—[c] τε om Υ et pr Ξ.—[d] ἅμα om Λ.—[e] λέγομεν F.—[f] : ἆρ' ΓΞΥCF.—[g] τὴν om F.—[h] τινα ἄστροφον Γ.
—[i] δὲ (ἢ) B, δὲ ΓF.—[j] ὁ διορισμὸς ℵΔΞΠΣΥ: ὅδ' ὁρισμὸς *ς.—[k] τὸ H.—[l] μηκυν-

ταλασιουργίας] Bas. 2. ταλασιουργίαν· vitiose. Fisch.

ἆρ' οὖν μανθ.] Bas. 1. 2. ΣΩ. ἆρ' οὖν· recte. Steph. ' For. ἆρ' οὐ·' male. Fisch.

κάταγμα] Timæus Κάταγμα· ἐρίου σπάσμα καὶ μήρυμα. Melius Suidas: Κάταγμα· ἐρίου κατάσπασμα, ἢ μήρυμα.

ΞΕ. Τούτου δὴ τὸ μὲν ἀτράκτῳ τε στραφὲν καὶ στερεὸν νῆμα[n] γενόμενον στήμονα μὲν φάθι[o] τὸ νῆμα, τὴν δ' ἀπευθύνουσαν αὐτὸ[p] τέχνην εἶναι στημονονητικήν.[q]

ΝΕ. ΣΩ. Ὀρθῶς.

II. ii. 302. ΞΕ. Ὅσα δέ γε αὖ τὴν μὲν[r] συστροφὴν χαύνην λαμβάνει, τῇ δὲ τοῦ στήμονος ἐμπλέξει πρὸς τὴν τῆς γνάψεως[s] ὁλκὴν ἐμμέτρως τὴν μαλακότητα ἴσχει,[t] ταῦτ' ἄρα κρόκην μὲν τὰ νηθέντα, τὴν δὲ ἐπιτεταγμένην[u] αὐτοῖς εἶναι
II. 283. τέχνην τὴν[v] κροκονητικὴν φῶμεν.

ΝΕ. ΣΩ. Ὀρθότατα.[w]

ΞΕ. Καὶ μὴν τό γε[x] τῆς ὑφαντικῆς μέρος ὃ προὐθέμεθα, παντί που δῆλον ἤδη. τὸ γὰρ[y] συγκριτικῆς τῆς ἐν ταλασιουργίᾳ μόριον ὅταν εὐθυπλοκίᾳ κρόκης καὶ στήμονος ἀπεργάζηται[z] πλέγμα, τὸ μὲν πλεχθὲν[a] σύμπαν ἐσθῆτα ἐρεᾶν, τὴν δ' ἐπὶ τούτῳ τέχνην οὖσαν προσαγορεύομεν ὑφαντικήν.

ΝΕ. ΣΩ. Ὀρθότατα.

§. 24. ΞΕ. Εἶεν. τί δή ποτε οὖν οὐκ[b] εὐθὺς ἀπεκρινάμεθα πλεκτικὴν εἶναι κρόκης καὶ στήμονος ὑφαντικήν,[c] ἀλλὰ περιήλθομεν ἐν κύκλῳ πάμπολλα διοριζόμενοι μάτην;

ΝΕ. ΣΩ. Οὔκουν ἔμοιγε, ὦ ξένε, μάτην οὐδὲν τῶν ῥηθέντων ἔδοξε ῥηθῆναι.

ΞΕ. Καὶ[d] θαυμαστόν γε οὐδέν· ἀλλὰ[e] τάχ' ἄν, ὦ μακάριε, δόξειε. πρὸς δὴ τὸ νόσημα τὸ τοιοῦτον, ἂν ἄρα
II. ii. 303. πολλάκις ὕστερον ἐπίῃ—θαυμαστὸν γὰρ οὐδέν—, λόγον ἄκουσόν τινα προσήκοντα περὶ πάντων τῶν τοιούτων ῥηθῆναι.

ΝΕ. ΣΩ. Λέγε μόνον.[f]

ΞΕ. Πρῶτον τοίνυν ἴδωμεν[g] πᾶσαν[h] τήν τε ὑπερβολὴν

σ
θέντες 𝔄.—[m] εἶναί που rc Π.—[n] νῆμμα E.—[o] φάθι 𝔄ΓΔΛΠΥ, φάθι B: φασι *ς.—[p] αὐτὰ 𝔄ΔΠ.—[q] στημονονητικὴν ΔΞΠΣΥ, στημονητικὴν 𝔄Γ: στημονικήν *ς.—[r] μὲν om ΣΥ.—[s] γνάμψεως ΣΥ, τοῦ κναφέως Ξ.—[t] ἔχει Γ.—[u] ἐπιτεταμένην G.—[v] τὴν om Ξς.—[w] ὀρθότητα H.—[x] τότε Υ.—[y] γὰρ τῆς ΞΣ.—[z] ἀπεργάζονται F.—[a] πλαχθὲν H.—[b] οὐκοῦν Δ, οὐκοῦν οὐκ 𝔄.—[c] ὑφαντὴν Δ.—[d] καὶ...] hæc eidem continuat Ξ.—[e] : ἀλλὰ Ξ.—[f] λεγόμενον Δ.—[g] ἴδωμεν γρ Ξ: εἰδῶμεν *ς.—[h] πᾶσαν

Nam Pollux vii. 29. κάταγμα· τὸ δ' αὐτὸ, καὶ μήρυμα. Fisch.

γνάψεως] Bas. 2. γνάφεως· vitiose. mox ἔσχει· dein λεχθέν· mendose. Fisch.

§. 24. δόξειε] In verbo δόξειε sistendam puto orationem: et illa, θαυμαστὸν γὰρ οὐδὲν, per parenthesin legenda. Steph.

καὶ τὴν[i] ἔλλειψιν, ἵνα κατὰ λόγον ἐπαινῶμεν καὶ ψέγωμεν τὰ μακρότερα τοῦ δέοντος ἑκάστοτε λεγόμενα καὶ τἀναντία περὶ τὰς τοιάσδε[j] διατριβάς.

ΝΕ. ΣΩ. Οὐκοῦν χρή.

ΞΕ. Περὶ δὴ τούτων αὐτῶν ὁ λόγος ἡμῖν, οἶμαι, γιγνόμενος ὀρθῶς ἂν γίγνοιτο.

ΝΕ. ΣΩ. Τίνων;

ΞΕ. Μήκους τε πέρι καὶ βραχύτητος καὶ πάσης ὑπεροχῆς τε[k] καὶ ἐλλείψεως. ἦ[l] γάρ που μετρητικὴ[m] περὶ πάντ᾽ ἐστὶ ταῦτα.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Διέλωμεν τοίνυν αὐτὴν δύο μέρη· δεῖ γὰρ δὴ πρὸς ὃ νῦν σπεύδομεν.

ΝΕ. ΣΩ. Λέγοις ἂν τὴν διαίρεσιν ὅπῃ.

ΞΕ. Τῇδε, τὸ μὲν κατὰ τὴν πρὸς ἄλληλα μεγέθους καὶ σμικρότητος κοινωνίαν, τὸ δὲ κατὰ[n] τὴν[o] τῆς γενέσεως ἀναγκαίαν οὐσίαν.

ΝΕ. ΣΩ. Πῶς λέγεις;

ΞΕ. Ἆρ᾽ οὐ κατὰ φύσιν δοκεῖ σοι τὸ μεῖζον μηδενὸς ἑτέρου δεῖν μεῖζον λέγειν[p] ἢ τοῦ ἐλάττονος, καὶ τοὔλαττον αὖ[q] τοῦ μείζονος ἔλαττον, ἄλλου δὲ[r] μηδενός; II. ii. 304.

ΝΕ. ΣΩ. Ἔμοιγε.

ΞΕ. Τί δέ; τὸ[s] τὴν τοῦ[t] μετρίου φύσιν ὑπερβάλλον[u] καὶ ὑπερβαλλόμενον ὑπ᾽ αὐτῆς ἐν λόγοις εἴτε καὶ ἐν ἔργοις ἆρ᾽ οὐκ αὖ λέξομεν ὡς ὄντως[v] γιγνόμενον, ἐν ᾧ καὶ διαφέρουσι μάλιστα ἡμῶν οἵ[w] τε κακοὶ καὶ οἱ ἀγαθοί;

ΝΕ. ΣΩ. Φαίνεται.

om Γ.—[i] τήν τε Λ.—[j] τοιάσδε 𝔄ΔΠ: τοιαύτας *ϛ.—[k] τε add 𝔄ΓΔΠ et pr Ξ.—[l] ἢ (ἡ superscr.) C, ἡ ΓΞ.—[m] μετρηκὴ Δ.—[n] δὲ κατὰ ΓΔΞΠΣΥ: δὲ τὸ κατὰ *ϛ.—[o] τὴν om ΣΥ.—[p] λέγειν μεῖζον Γ.—[q] ἄντι 𝔄, αντὶ Δ: αὖ cum *ϛ corr Π.—[r] δὲ om Λ.—[s] τὸ om ΣΥ.—[t] τοῦ om pr Ξ.—[u] φύσιν δοκεῖ ὑπερβ. Δ.—[v] ὄντος ΞΣΥ.—[w] οἱ post καὶ add

' δύο μέρη] Videtur deesse præpos. εἰς ante δύο: quæ tamen et alibi apud hunc scriptorem in simili loco omissa est. STEPH. Recte. At non modo a Platone, sed etiam ab Herodoto, Xenophonte, aliisque omnibus, verbis dividendi sic jungi solet simpliciter accusativus. Herodot. vii. 121. τρεῖς μοῖρας ὁ Ξέρξης δασάμενος πάντα τὸν πεζὸν στρατόν· quo loco apud Suidam in v. Δάσασθαι male legitur εἰς τρεῖς μοῖρας. Vid. ibi Valquenarius p. 558. FISCH.

ΞΕ. Διττὰς ἄρα ταύτας οὐσίας καὶ κρίσεις τοῦ μεγάλου καὶ τοῦ σμικροῦ θετέον, ἀλλ' οὐχ, ὡς[x] ἔφαμεν ἄρτι πρὸς ἄλληλα μόνον δεῖν, ἀλλ' ὥς περ νῦν εἴρηται, μᾶλλον τὴν μὲν πρὸς ἄλληλα λεκτέον, τὴν δ' αὖ πρὸς τὸ μέτριον.[y] οὗ δὲ ἕνεκα, μαθεῖν ἆρ' ἂν βουλοίμεθα;

ΝΕ. ΣΩ. Τί μήν;

II. 284. ΞΕ. Εἰ πρὸς μηδὲν ἕτερον τὴν τοῦ μείζονος ἐάσει τις φύσιν ἢ πρὸς τοὔλαττον, οὐκ ἔσται ποτὲ πρὸς τὸ μέτριον. ἦ γάρ;

ΝΕ. ΣΩ. Οὕτως.

ΞΕ. Οὐκοῦν τὰς τέχνας τε αὐτὰς καὶ τἆργα αὐτῶν ξύμπαντα[z] διολοῦμεν[a] τούτῳ τῷ λόγῳ, καὶ δὴ καὶ τὴν ζη-
II. ii. 305. τουμένην[b] νῦν πολιτικὴν καὶ τὴν ῥηθεῖσαν[c] ὑφαντικὴν ἀφανιοῦμεν; ἅπασαι γὰρ αἱ τοιαῦταί που τὸ τοῦ μετρίου πλέον καὶ ἔλαττον οὐχ ὡς οὐκ ὂν ἀλλ' ὡς ὂν[d] χαλεπὸν περὶ τὰς πράξεις παραφυλάττουσι,[e] καὶ τούτῳ δὴ[f] τῷ τρόπῳ[g] τὸ μέτρον[h] σώζουσαι πάντα ἀγαθὰ καὶ καλὰ[i] ἀπεργάζονται.

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Οὐκοῦν ἂν τὴν πολιτικὴν ἀφανίσωμεν, ἄπορος ἡμῖν ἡ μετὰ τοῦτο ἔσται[j] ζήτησις τῆς βασιλικῆς ἐπιστήμης;

ΝΕ. ΣΩ. Καὶ μάλα.

ΞΕ. Πότερον οὖν, καθά περ ἐν τῷ σοφιστῇ προσηναγκάσαμεν εἶναι τὸ μὴ ὄν, ἐπειδὴ κατὰ τοῦτο[k] διέφυγεν ἡμᾶς ὁ λόγος, οὕτω καὶ νῦν τὸ[l] πλέον αὖ καὶ ἔλαττον μετρητὰ προσαναγκαστέον γίγνεσθαι μὴ πρὸς ἄλληλα μόνον ἀλλὰ καὶ πρὸς τὴν τοῦ μετρίου γένεσιν; οὐ γὰρ δὴ δυνατόν γε οὔτε πολιτικὸν[m] οὔτ' ἄλλον τινὰ τῶν[n] περὶ τὰς πράξεις ἐπιστήμονα ἀναμφισβητήτως γεγονέναι τούτου μὴ[o] συνομολογηθέντος.

𝔄ΔΠ.—[x] ἀλλ' ὡς οὐκ γρ Π.—[y] μέτρον Γ.—[z] ξ. Γ.—[a] libri διελοῦμεν.—[b] ζητουμένην νῦν 𝔄ΔΠ : νῦν ζητουμένην *ς.—[c] τὴν νῦν ῥηθεῖσαν ΞΣ.—[d] οὐ ΣΥ et pr Ξ.—[e] διαφυλάττουσι pr Ξ.—[f] δὴ om Σ et pr Ξ.—[g] τῶν τρόπων F.—[h] μέτρον 𝔄ΔΞΠΣΥ.—[i] καὶ καλὰ om Λ.—[j] ἔσται om Π.—[k] τοῦτο Δς : ceteri τοῦτον.—[l] τὸ om ΣΥ et pr Ξ.—[m] post πολιτικὸν omisi γε cum 𝔄ΔΠ et corr Γ.—[n] τὸν 𝔄ΔΛΞΠΣΥ.—[o] μὴ

τοῦτον] Ald. Bas. 1. 2. τοῦτον. dosc. Fisch.
Mox Bas. 2. συνομολοχηθέντος· men-

ΝΕ. ΣΩ. Οὐκοῦν καὶ νῦν ὅτι μάλιστα χρὴ ταὐτὸν ποιεῖν.

§. 25. ΞΕ. Πλέον, ὦ Σώκρατες, ἔτι τοῦτο τὸ ἔργον ἢ ἐκεῖνο·[p] καί τοι κἀκείνου γε[q] μεμνήμεθα τὸ μῆκος ὅσον ἦν. ἀλλ' ὑποτίθεσθαι μὲν τὸ τοιόνδε περὶ αὐτῶν καὶ μάλα δίκαιον.

ΝΕ. ΣΩ. Τὸ ποῖον; II. ii. 306.

ΞΕ. Ὥς ποτε δεήσει τοῦ νῦν λεχθέντος πρὸς τὴν περὶ αὐτὸ τἀκριβὲς ἀπόδειξιν. ὅτι[r] δὲ πρὸς τὰ νῦν καλῶς καὶ ἱκανῶς δείκνυται,[s] δοκεῖ μοι βοηθεῖν μεγαλοπρεπῶς ἡμῖν οὗτος ὁ λόγος, ὡς ἄρα ἡγητέον ὁμοίως τὰς τέχνας πάσας[t] εἶναι καὶ[u] μεῖζόν τι[v] ἅμα καὶ ἔλαττον μετρεῖσθαι μὴ πρὸς ἄλληλα μόνον ἀλλὰ καὶ πρὸς τὴν τοῦ μετρίου γένεσιν. τούτου τε[w] γὰρ ὄντος ἐκεῖνα ἔστι κἀκείνων οὐσῶν[x] ἔστι καὶ τοῦτο,[y] μὴ δὲ[z] ὄντος[a] ποτέρου τούτων οὐδέτερον αὐτῶν ἔσται ποτέ.

ΝΕ. ΣΩ. Τοῦτο μὲν ὀρθῶς· ἀλλὰ τί δὴ τὸ μετὰ τοῦτο;

ΞΕ. Δῆλον ὅτι διαιροῖμεν ἂν τὴν μετρητικήν, καθά περ ἐρρήθη, ταύτῃ δίχα τέμνοντες, ἓν μὲν τιθέντες αὐτῆς[b] μόριον συμπάσας τέχνας,[c] ὁπόσαι τὸν ἀριθμὸν καὶ μήκη καὶ βάθη[d] καὶ πλάτη καὶ παχύτητας[e] πρὸς τοὐναντίον με-

om ΓΣ.—[p] ἐκεῖνο ΞΣΥ : κεῖνο *ς.—[q] γε om ΓΣ et pr Ξ.—[r] ἔτι ς.—[s] δείκνυσθαι ς cum (?) 𝔄.—[t] πάσας om Σ.—[u] καὶ add CH et rc B.—[v] $\overset{ε}{τι}$ F.—[w] τε om pr Ξ.—[x] οὐσῶν 𝔄ΓΔΛΞΠΣΥBCFH : ὄντων *ς.—[y] τοῦτο Ξς : ceteri ταῦτα.—[z] μὴ δὲ ΓΛΞΣΥFH : μηδὲ *ς.—[a] ὄντος δὲ H.—[b] αὐτῆς om Σ.—[c] συμπάσας τὰς $\overset{α}{τέχνας}$ Ξ.—[d] καὶ βάθη om EF.—[e] παχύτητας 𝔄ΔΞΠΣΥ : ταχυτῆτας *ς.—[f] ὁπόσαι H.—[g] ἴδη

§. 25. ἔτι δὲ] In præced. edit. perperam ὅτι pro ἔτι, et δείκνυται pro δείκνυσθαι. Sed et τὸ ante τὰ deesse hic videtur: ut ita legamus, ἔτι δὲ πρὸς τὸ τὰ νῦν etc. Quinetiam particula καὶ deesse ante μεῖζόν τι videtur. Paulo post, male in iisdem ἔστι καὶ ταῦτα, pro ἔστι καὶ τοῦτο. Steph. qui sic in not. 'Ut hic τὸ deesse puto post πρὸς, sic etiam in quodam loco p. 274. deest in præced. edit. post διά.'

Ald. Bas. 1. 2. ὅτι—δείκνυσθαι. Ficinus quoque legisse videtur ὅτι—δείκνυται. vertit enim, *quod autem ad præsentia pertinere, egregie sufficienterque monstraverimus.* At jam Cornarius monuit, reponi oportere ἔτι—δείκνυται· quem adeo Stephanus secutus est. Fisch.

τοῦτο] Ald. Bas. 1. 2. ταῦτα· ut Ficinus, *hæc sunt:* quod in τοῦτο mutari recte jussit Cornarius. Fisch.

δηλονότι] Steph. 'Rectius disjuncte scribetur δῆλον ὅτι.' Cæterum in Ald. nomen ΞΕ. perperam positum legitur ante ἀλλὰ τί δὴ, et omissum ante δηλονότι. Fisch.

ταχυτῆτας] Steph. 'Al. παχυτῆτας.' Scilicet in Bas. 2. est παχύτητος· haud

τροῦσι, τὸ δὲ ἕτερον, ὁπόσαι[f] πρὸς τὸ μέτριον καὶ τὸ πρέπον καὶ τὸν καιρὸν καὶ τὸ δέον καὶ πάνθ' ὁπόσα εἰς τὸ μέσον ἀπῳκίσθη τῶν ἐσχάτων.

ΝΕ. ΣΩ. Καὶ *μέγα γ' ἑκάτερον τμῆμα εἶπες, καὶ πολὺ διαφέρον ἀλλήλοιν.*

II. ii. 307. ΞΕ. Ὃ *γὰρ ἐνίοτε, ὦ Σώκρατες, οἰόμενοι δή τι σοφὸν*
II. 285. *φράζειν πολλοὶ τῶν κομψῶν λέγουσιν, ὡς ἄρα μετρητικὴ περὶ πάντ' ἐστὶ τὰ γιγνόμενα, τοῦτ' αὐτὸ τὸ νῦν λεχθὲν ὂν τυγχάνει. μετρήσεως μὲν γὰρ δή τινα τρόπον πάνθ' ὁπόσα ἔντεχνα μετείληφε· διὰ δὲ τὸ μὴ κατ' εἴδη συνειθίσθαι σκοπεῖν διαιρουμένους ταῦτά τε τοσοῦτον διαφέροντα συμβάλλουσιν εὐθὺς εἰς ταὐτὸν ὅμοια νομίσαντες, καὶ τοὐναντίον αὖ τούτου δρῶσιν ἕτερα οὐ κατὰ μέρη διαιροῦντες, δέον, ὅταν μὲν τὴν τῶν πολλῶν τις πρότερον αἴσθηται κοινωνίαν, μὴ προαφίστασθαι πρὶν ἂν ἐν αὐτῇ τὰς διαφορὰς ἴδῃ[g] πάσας, ὁπόσαι περ ἐν εἴδεσι κεῖνται, τὰς δὲ αὖ παντοδαπὰς ἀνομοιότητας,[h] ὅταν ἐν πλήθεσιν ὀφθῶσι, μὴ δυνατὸν εἶναι δυσωπούμενον παύεσθαι, πρὶν ἂν σύμπαντα τὰ οἰκεῖα ἐντὸς μιᾶς ὁμοιότητος[i] ἕρξας[j] γένους τινὸς οὐσίᾳ περιβάληται.[k] ταῦτα μὲν οὖν ἱκανῶς περί τε τούτων καὶ περὶ τῶν ἐλλείψεων καὶ ὑπερβολῶν εἰρήσθω· φυλάττωμεν δὲ μόνον ὅτι δύο γένη περὶ αὐτὰ ἐξεύρηται[l] τῆς μετρητικῆς καὶ ἅ φαμεν αὔτ' εἶναι μεμνώμεθα.*

§. 26. ΝΕ. ΣΩ. Μεμνησόμεθα.

II. ii. 308. ΞΕ. Μετὰ *τοῦτον[m] δὴ τὸν λόγον ἕτερον προσδεξώμεθα περὶ αὐτῶν τε τῶν ζητουμένων καὶ περὶ πάσης τῆς ἐν τοῖς τοιοῖσδε λόγοις διατριβῆς.*

𝔄ΓΔΠ: *εἰδῇ* *ς.—[h] *ὁμοιότητας* ΞF.—[i] *οἰκειότητος* ΓΗ et *γρ* ΣBC.—[j] *ἕρξας* CE FH: *ἕρξας* ς.—[k] *περιβάλληται* 𝔄ΔΠF, *περιβάλλῃ* ΞΣΥ.—[l] *ἐξεύρηνται* pr F.—

dubie, operarum incuria, pro *ταχύτητας*· inde Stephanus finxit ipse lectionem *παχυτῆτας*. Certe alteram scripturam Ficinus quoque reddidit, *et velocitatem*: qui etiam *καὶ πλάτη καὶ βάθη*, ordine verborum inverso, scriptum in suo codice invenisse videtur, quum versio ejus Latina habeat, *latitudinem, profunditatem.* Fisch.

κομψῶν] Schol. Augustanus: *κομψῶν*· *κομψὸς*; *τωθαστὴς, γελοιαστὴς, σκωπτικὸς, ἢ καλὸς, ἢ μέτριος*· recte. At apud Platonem per *τοὺς κομψοὺς* intelligi debent Sophistæ. Vid. Ruhnquenius ad Tim. p. 116. Fisch.

δυσωπούμ.] Timæus *Δυσωπεῖσθαι*· *ὑφορᾶσθαι καὶ ὑπόπτως ἔχειν.* Fisch.

περιβάληται] Steph. 'Legitur *περιβάλῃ*.' Scilicet Bas. 2. *περιβάλλῃ*. Fisch.

αὔτ'] Cornarius correxit *αὔτ' εἶναι* h. e. *ipsa esse*. recte. Fisch.

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Εἴ τις ἀνέροιτο ἡμᾶς τὴν περὶ γράμματα[n] συνουσίαν τῶν μανθανόντων, ὁπόταν τις ὁτιοῦν ὄνομα ἐρωτηθῇ τίνων ἐστὶ γραμμάτων, πότερον αὐτῷ τότε φῶμεν γίγνεσθαι τὴν ζήτησιν[o] ἑνὸς ἕνεκα μᾶλλον τοῦ προβληθέντος[p] ἢ τοῦ περὶ πάντα τὰ προβαλλόμενα γραμματικωτέρῳ γίγνεσθαι;

ΝΕ. ΣΩ. Δῆλον ὅτι τοῦ περὶ ἅπαντα.

ΞΕ. Τί δ' αὖ; νῦν ἡμῖν ἡ περὶ τοῦ πολιτικοῦ ζήτησις ἕνεκ'[q] αὐτοῦ τούτου προβέβληται μᾶλλον ἢ τοῦ περὶ πάντα διαλεκτικωτέροις[r] γίγνεσθαι;

ΝΕ. ΣΩ. Καὶ τοῦτο δῆλον[s] ὅτι τοῦ περὶ πάντα.

ΞΕ. Ἦ που τὸν τῆς ὑφαντικῆς γε[t] λόγον αὐτῆς ταύτης ἕνεκα θηρεύειν οὐδεὶς ἂν ἐθελήσειε νοῦν ἔχων. ἀλλ', οἶμαι, τοὺς πλείστους[u] λέληθεν ὅτι τοῖς μὲν τῶν ὄντων[v] ῥᾳδίως καταμαθεῖν αἰσθηταί[w] τινες ὁμοιότητες πεφύκασιν, ἃς οὐδὲν χαλεπὸν δηλοῦν, ὅταν αὐτῶν τις βουληθῇ τῷ λόγον[x] αἰτοῦντι περί του μὴ μετὰ πραγμάτων ἀλλὰ χωρὶς λόγου[y] ῥᾳδίως ἐνδείξασθαι· τοῖς δ' αὖ μεγίστοις οὖσι καὶ II. ii. 309.
τιμιωτάτοις οὐκ ἔστιν εἴδωλον οὐδὲν πρὸς τοὺς ἀνθρώπους II. 286.
εἰργασμένον ἐναργῶς, οὗ δειχθέντος τὴν τοῦ πυνθανομένου ψυχὴν ὁ βουλόμενος ἀποπληρῶσαι, πρὸς τῶν αἰσθήσεών τινα προσαρμόττων, ἱκανῶς πληρώσει. διὸ δεῖ[z] μελετᾷν λόγον

[m] τοῦτο pr Γ.—[n] γράμματι Η, τὰ γράμματα ΓΞ.—[o] συζήτησιν ΔΞΣΥ.—[p] προβλήματα ΣΥ.—[q] ἕνεκ' Γ.—[r] διαλεκτικωτέροις...πάντα om Η.—[s] δὴ δῆλον Γ.—[t] γε om
ν
ΣΥ.—[u] πλείους Η.—[v] ὄντως Η.—[w] αἰσθηταί ς: αἰσθητικαί mei omnes.—[x] λόγῳ

§. 26. δῆλον ὅτι] Ald. Bas. 1. δηλονότι. Bas. 2. καὶ τοῦτο σχεδὸν πολλῷ πλέον τοῦ περὶ πάντα· male, ut mox dicetur. Ficinus expressit scripturam exempli Stephaniani, *patet id quoque, quod omnium gratia*. Fisch.

ἦπου] Schol. Augustanus; ἦπου· ἴσως, σχεδόν· ἤπουγε· πολλῷ πλέον. nam sic interpungi debere, e Suida patet, qui habet glossas duas has, Ἦπου· ἴσως, σχεδόν —. Ἦπου γε· πολλῷ πλέον. Ex quo existimari posse videtur, verba σχεδὸν πολλῷ πλέον, quæ in Bas. 2. pro δῆλον ὅτι leguntur, in codices antiquos venisse e marginibus, adscripta a grammaticis, interpretationis caussa, ad ἦπου. At ἦπου est, hoc loco, ὄντως που, ut Hesychius rectissime interpretatur. Fisch.

αἰσθηταί] Ald. Bas. 1. 2. αἰσθητικαί· quod jam Cornarius vidit mutandum esse in αἰσθηταί. Ficinus, *sensibiles*. recte. Gloss. vett. Αἰσθητὸς, *sensibilis*. Fisch.

μὴ μετὰ πραγμάτων] Sententiam habebis et integram et perspicuam, si μὴ ante μετὰ πραγμάτων, quod menti auctoris repugnat, expungas: deinde ῥαδίως καταμαθεῖν, duce Ficino, in ῥαδίοις καταμαθεῖν immutes. Heusd.

ἑκάστου δυνατὸν εἶναι δοῦναι[a] καὶ δέξασθαι· τὰ γὰρ ἀσώματα, κάλλιστα ὄντα καὶ μέγιστα, λόγῳ μόνῳ,[b] ἄλλῳ δὲ οὐδενὶ σαφῶς δείκνυται,[c] τούτων δὲ ἕνεκα πάντ' ἐστὶ τὰ νῦν λεγόμενα. ῥᾴων δ' ἐν τοῖς ἐλάττοσιν ἡ μελέτη παντὸς πέρι μᾶλλον ἢ περὶ τὰ μείζω.

ΝΕ. ΣΩ. Κάλλιστ' εἶπες.

ΞΕ. Ὧν τοίνυν χάριν ἅπανθ' ἡμῖν ταῦτ' ἐῤῥήθη περὶ[d] τούτων, μνησθῶμεν.[e]

ΝΕ. ΣΩ. Τίνων;[f]

ΞΕ. Ταύτης τε οὐχ ἥκιστ'[g] αὐτῆς[h] ἕνεκα τῆς δυσχερείας,[i] ἣν[k] περὶ τὴν μακρολογίαν τὴν περὶ τὴν ὑφαντικὴν ἀπεδεξάμεθα δυσχερῶς, καὶ τὴν περὶ τὴν[l] τοῦ παντὸς ἀνείλιξιν καὶ τὴν[m] τοῦ σοφιστοῦ περὶ τῆς τοῦ μὴ ὄντος οὐσίας, ἐννοοῦντες ὡς ἔσχε μῆκος πλέον, καὶ ἐπὶ τούτοις δὴ πᾶσιν ἐπεπλήξαμεν ἡμῖν αὐτοῖς, δείσαντες μὴ περίεργα[n] ἅμα καὶ μακρὰ λέγοιμεν.[o] ἵν' οὖν εἰσαῦθις μηδὲν πάσχωμεν τοιοῦτον, τούτων ἕνεκα πάντων τὰ πρόσθε[p] νῷν εἰρῆσθαι φάθι.[q]

II. ii. 310. ΝΕ. ΣΩ. Ταῦτ' ἔσται. λέγε ἑξῆς μόνον.

ΞΕ. Λέγω τοίνυν ὅτι χρὴ δὴ μεμνημένους ἐμὲ καὶ σὲ τῶν νῦν εἰρημένων τόν τε ψόγον[r] ἑκάστοτε καὶ ἔπαινον[s] ποιεῖσθαι[t] βραχύτητος ἅμα καὶ μήκους ὧν ἂν ἀεὶ πέρι λέγωμεν,[u] μὴ πρὸς ἄλληλα τὰ μήκη[v] κρίνοντες, ἀλλὰ κατὰ τὸ τῆς μετρητικῆς[w] μέρος, ὃ τότε ἔφαμεν δεῖν[x] μεμνῆσθαι πρὸς τὸ πρέπον.

ω
Π, λόγων ΣΥ.—[y] λόγου F.—[z] δὴ Γ.—[a] δοῦναι om ΣΥ.—[b] μόνῳ Δ: μόνον *ς.—[c] δείκνυνται F.—[d] περὶ om Ξς.—[e] ἐμνήσθημεν ΛΣΥBEF.—[f] τί μῶν 𝔄Δ et fortasse pr Π.—[g] ἥκιστ' Γ.—[h] αὐτὰ αὐτῆς ΣΥ.—[i] δυσχερίας H.—[k] ἢ H.—[l] alterum τὴν add ΣΥ.—[m] τὴν...δὴ om ΣΥ.—[n] περίεργον ΛH.—[o] λέγομεν pr Ξ.—[p] τὰ πρόσθε BC, om 𝔄Δ et pr Π, τὰ προσθένωσιν (omisso pronomine) Γ, τὰ πρόσθεν ὦ (addito
θ ν ν ν
rc βέλτιστε) H: πρόσθεν νῷϊν ς.—[q] φασι E, φασὶ F.—[r] τοῦ τε ψόγου F.—[s] ἐπαίνου F.—[t] ποιεῖσθαι om Υ et pr Ξ.—[u] ἐλέγωμεν Υ.—[v] τοὺς μήκους Γ.—[w] μετρικῆς EF.

μνησθῶμεν] Ald. Bas. 1. ἐμνήσθημεν· e quo in Bas. 2. factum est ἐμνήσθωμεν. Μνησθῶμεν rectum est, quod Ficinus jam in versione expressit, *recordemur*. Fisch.

μετρητικῆς] Ald. Bas. 1. 2. μετρικῆς. Stephanus recepit μετρητικῆς, Cornarii auctoritate. Sed variant libri veteres multis aliis locis in scriptura hujus vocabuli, ut apud Pollucem iv. 166. ubi in libris editis antiquis est ἐκ δὲ μετρικῆς, sed Codex Jungermani habebat ἐκ δὲ μετρητικῆς· quam ipsi putamus cum Jungermano esse veram et legitimam verbi scripturam. Certe oculi et manus librariorum quam sæpissime medias syllabas vocabulorum præteriere. Fisch.

ΝΕ. ΣΩ. Ὀρθῶς.

ΞΕ. Οὐ τοίνυν οὐδὲ πρὸς τοῦτο πάντα. οὔτε γὰρ πρὸς τὴν ἡδονὴν μήκους ἁρμόττοντος οὐδὲν[y] προςδεησόμεθα,[z] πλὴν εἰ μὴ[a] πάρεργόν τι· τό τε[b] αὖ πρὸς τὴν τοῦ προβληθέντος ζήτησιν, ὡς ἂν ῥᾷστα καὶ τάχιστα εὕροιμεν, δεύτερον ἀλλ' οὐ πρῶτον ὁ λόγος ἀγαπᾷν παραγγέλλει, πολὺ δὲ[c] μάλιστα καὶ πρῶτον τὴν μέθοδον αὐτὴν[d] τιμᾷν τοῦ κατ' εἴδη δυνατὸν εἶναι διαιρεῖν, καὶ δὴ[e] καὶ λόγον, ἄν τε παμμήκης λεχθεὶς τὸν ἀκούσαντα[f] εὑρετικώτερον ἀπεργάζηται, τοῦτον σπουδάζειν καὶ τῷ μήκει μηδὲν ἀγανακτεῖν, ἄν τ' αὖ βραχύτερος, ὡσαύτως· ἔτι δ' αὖ πρὸς τούτοις τὸν[g] περὶ τὰς τοιάσδε συνουσίας ψέγοντα λόγων μήκη καὶ[h] τὰς ἐν κύκλῳ περιόδους οὐκ ἀποδεχόμενον, ὅτι χρὴ τὸν τοιοῦτον μὴ πάνυ[i] ταχὺ μηδ' εὐθὺς οὕτω μεθιέναι[k] ψέξαντα μόνον ὡς μακρὰ[l] τὰ[m] λεχθέντα, ἀλλὰ καὶ προσαποφαίνειν οἴεσ- II. ii. 311. II. 287.
θαι δεῖν ὡς βραχύτερα ἂν γενόμενα τοὺς συνόντας ἀπειργάζετο διαλεκτικωτέρους καὶ τῆς τῶν ὄντων λόγῳ δηλώσεως εὑρετικωτέρους, τῶν δὲ ἄλλων καὶ πρὸς ἄλλ' ἄττα ψόγων καὶ ἐπαίνων μηδὲν φροντίζειν μηδὲ τὸ παράπαν ἀκούειν δοκεῖν τῶν τοιούτων λόγων. [§. 27.] Καὶ τούτων μὲν ἅλις, εἰ[n] καὶ σοὶ ταύτῃ ξυνδοκεῖ·[o] πρὸς δὲ δὴ τὸν[p] πολιτικὸν ἴωμεν πάλιν, τῆς προῤῥηθείσης[q] ὑφαντικῆς αὐτῷ[r] φέροντες τὸ παράδειγμα.

ΝΕ. ΣΩ. Καλῶς εἶπες, καὶ ποιῶμεν ἃ λέγεις.

—[x] δεῖ Γ.—[y] οὐδενὶ ΓΛΣΥΕΓΗ.—[z] προσδεησώμεθα Η.—[a] μὴ om 𝔄ΔΠ.—[b] οὔ τε (ον) ς.—[c] δὲ καὶ Σ.—[d] ταύτην ς.—[e] δεῖ mg Η.—[f] ἀκούσαντα Ξ, ἀκούσοντα ΓΛΒCΕ.—[g] τῶν ΓΛΒCΕFΗ.—[h] καὶ om Δ.—[i] παν 𝔄.—[k] μετιέναι ΓΞF.—[l] post μακρὰ omisi τὰ πρόσθεν ταῦτα cum 𝔄ΔΞΠ.—[m] τὰ om ΣΥ.—[n] εἴ γε CH et rc B, εἰ δὲ Λ.—[o] δο(δν)κεῖ Λ.—[p] τῶν πολιτικῶν (δν) Γ.—[q] ῥηθείσης F.—[r] αὐτῷ 𝔄ΔΞΠΣΥ: αὐτὸ *ς.—[s] αὐτὰς

οὔτε] In superioribus edit. male τότε pro οὔτε, quod respondeat præcedenti. Steph. Stephanus, Ficino et Cornario præeuntibus, recte mutavit τότε in οὔτε. Fisch.

ταύτην] Ald. Bas. 1. 2. αὐτήν· sed Cornarius corrigendum esse docuit ταύτην. Ficinus, *illum progressum*. Fisch.

τῶν περὶ] Ald. Bas. 1. 2. τῶν· sed Cornarius emendavit τόν. Fisch.

γενόμενα] Ald. Bas. 1. γενώμεθα. At Bas. 2. γενόμενα· quod Cornarius quoque reponendum censuit. Fisch.

§. 27. αὐτὸ] Steph. 'Legitur etiam αὐτῷ, videlicet τῷ πολιτικῷ.' Hæc erat Cornarii conjectura, quam adjuvare videtur versio Ficini, *textoris exemplum quod supra posuimus, conferentes*. Fisch.

ΞΕ. Οὐκοῦν ἀπό γε τῶν πολλῶν ὁ βασιλεὺς ὅσαι ξύννομοι, μᾶλλον δὲ ἀπὸ πασῶν τῶν περὶ τὰς ἀγέλας διακεχώρισται. λοιπαὶ δέ, φαμέν, αἱ κατὰ πόλιν αὐτὴν τῶν τε ξυναιτίων καὶ τῶν αἰτίων, ἃς πρώτας ἀπ᾽ ἀλλήλων διαιρετέον.

ΝΕ. ΣΩ. Ὀρθῶς.

ΞΕ. Οἶσθ᾽ οὖν ὅτι χαλεπὸν αὐτὰς τεμεῖν[s] δίχα; τὸ δ᾽ αἴτιον, ὡς οἶμαι, προϊοῦσιν οὐχ ἧττον ἔσται καταφανές.

ΝΕ. ΣΩ. Οὐκοῦν χρὴ δρᾶν οὕτως.

ΞΕ. Κατὰ μέλη τοίνυν αὐτὰς[t] οἷον ἱερεῖον διαιρώμεθα,[u] ἐπειδὴ δίχα ἀδυνατοῦμεν. δεῖ γὰρ εἰς τὸν[v] ἐγγύτατα ὅτι μάλιστα τέμνειν ἀριθμὸν ἀεί.

II. ii. 312. ΝΕ. ΣΩ. Πῶς οὖν ποιῶμεν[w] τὰ νῦν;

ΞΕ. Ὥς περ ἔμπροσθεν, ὁπόσαι παρείχοντο ὄργανα περὶ τὴν ὑφαντικήν, πάσας δή[x] που τότε ἐτίθεμεν ὡς συναιτίους.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Καὶ νῦν δὴ ταὐτὸν μὲν τοῦτο, ἔτι δὲ μᾶλλον ἢ τόθ᾽ ἡμῖν ποιητέον. ὅσαι γὰρ σμικρὸν ἢ μέγα τι δημιουργοῦσι κατὰ πόλιν ὄργανον, θετέον ἁπάσας ταύτας ὡς οὔσας συναιτίους. ἄνευ γὰρ τούτων οὐκ ἄν ποτε γένοιτο πόλις οὐδὲ πολιτική, τούτων δ᾽ αὖ βασιλικῆς ἔργον τέχνης οὐδέν που θήσομεν.

ΝΕ. ΣΩ. Οὐ γάρ.

ΞΕ. Καὶ μὲν δὴ χαλεπὸν ἐπιχειροῦμεν δρᾶν ἀποχωρίζοντες τοῦτο ἀπὸ τῶν ἄλλων τὸ γένος· ὅ τι γὰρ οὖν τῶν

τεμεῖν 𝔄ΓΔΠ et corr B : τεμεῖν αὐτὰς *ς.—[t] αὐτοὺς ΣΥ.—[u] διερώμεθα Ε.—[v] τὸ Η.—[w] ποιοῦμεν Λ.—[x] δέ 𝔄ΠΣΥ, om ΓΛBCEFH.—[y] εἴπαντα Γ.—[z] αὖ τῶν ΓΛBCEFH,

δήπου] Ita legitur in Bas. 2. nam Ald. Bas. 1. habent simpliciter που, non δήπου. Fisch.

καὶ μὲν δὴ] Legi haud dubie debet καὶ μήν· nam καὶ μὴν est *atqui*: quod quum in versione Ficini extet, dubitari non potest, quin ipse quoque legerit καὶ μήν. Fisch.

ὅτι γὰρ οὖν] Non videtur ita debere legi hic locus. Steph. qui sic in not. ' Non potest ferri hæc lectio, ὅτι γὰρ οὖν etc. videat igitur lector annon mihi velit assentiri ὅτι mutanti in ἔστι, quod jungatur cum δοκεῖν: ut ita intelligatur hic locus, ἔστι γὰρ οὖν (vacare autem potest οὖν) εἰπόντα ὡς ἔστιν ἑνός γε τινὸς τῶν ὄντων ὄργανον, δοκεῖν etc.'

Certe structura verborum est paulo insolentior, cum quod particulam ὅτι sequitur accusativus cum infinitivo, tum quod eandem particulam excipit in altero periodi membro particula ὅμως. At quum sciam, etiam diligentissimos scriptores sæpenumero, præsertim in ejusmodi

ὄντων ὡς ἔστιν ἑνός γέ τινος ὄργανον εἰπόντα[y] δοκεῖν εἰρηκέναι τι πιθανόν. ὅμως δὲ ἕτερον αὖ τῶν[z] ἐν πόλει[a] κτημάτων εἴπωμεν τόδε.

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Ὡς οὐκ ἔστι ταύτην τὴν δύναμιν ἔχον. οὐ[b] γὰρ ἐπὶ γενέσεως αἰτίᾳ πήγνυται,[c] καθάπερ ὄργανον, ἀλλ' ἕνεκα τοῦ δημιουργηθέντος σωτηρίας.

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Τοῦτο ὃ δὴ ξηροῖς καὶ ὑγροῖς καὶ ἐμπύροις[d] καὶ II. ii. 313.
ἀπύροις παντοδαπὸν εἶδος ἐργασθέν, ἀγγεῖον ὃ δὴ μιᾷ κλήσει προσφθεγγόμεθα, καὶ μάλα γε[e] συχνὸν εἶδος καὶ τῇ ζητουμένῃ γε, ὡς οἶμαι, προσῆκον οὐδὲν ἀτεχνῶς ἐπιστήμῃ. II. 288.

ΝΕ. ΣΩ. Πῶς γὰρ οὔ;

ΞΕ. Τούτων δὴ[f] τρίτον ἕτερον[g] εἶδος κτημάτων πάμπολυ κατοπτέον πεζὸν καὶ ἔνυδρον καὶ πολυπλανὲς καὶ ἀπλανὲς καὶ τίμιον καὶ ἄτιμον, ἓν δὲ ὄνομα ἔχον, διότι πᾶν ἕνεκά τινος ἐφέδρας ἐστί, θᾶκος ἀεί τινι[h] γιγνόμενον.[i]

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Ὄχημα αὐτό που λέγομεν,[j] οὐ πάνυ πολιτικῆς ἔργον, ἀλλὰ μᾶλλον πολὺ τεκτονικῆς καὶ κεραμεικῆς[k] καὶ χαλκοτυπικῆς.

§. 28. ΝΕ. ΣΩ. Μανθάνω.

ΞΕ. Τί δέ; τέταρτον ἆρ' ἕτερον εἶναι τούτων λεκτέον,

αὐτῶν 𝔄ΔΠ : οὖν τῶν *ς.—[a] ἐν τῇ πόλει ΛF.—[b] οὐ...] hæc eidem continuant ΞΥ.—[c] αἴτια πήγνυται F : αἰτίαι πήγνυνται *ς.—[d] καὶ ἐμπύροις καὶ ἀπύροις om 𝔄ΔΠ, καὶ ἀπύροις om Λ.—[e] γε om pr Ξ.—[f] τούτων δὴ post εἶδος ponit Δ.—[g] ἕτερον om Γ.—[h] τι Γ.—[i] γιγνόμενος ΣΥ.—[j] λέγομεν ΓΛΒC, λεγομένου (omisso οὐ) Δ et pr

sermonibus, negligentes esse in consequutione particularum; quum non ignorem, particulam ὅτι non raro sequi accusativum cum infinitivo: vid. Raphelius ad Act. xxvii. 10. et nos ad Phædon. 8. nolim attingere hæc philosophi verba, quæ haud dubie sana sunt et integra. Ficinus vertit, *Qui enim dicit, unius cujusdam eorum, quæ sunt, instrumentum esse, ut verisimile quiddam loqui videtur: ita alterum tamen —.* Fisch.

ἕτερον οὖν] Steph. ‘ In Germanica editione scriptum est ἑτερονοῦν.’ (Immo in Germanicis editionibus, hoc est, Bas. 1. 2.) Extat et alia lectio ὅμως δεύτερον τῶν ἐν πόλει κτημ. Hæc scilicet erat Cornarii conjectura. In notis vero Steph. ‘ Legitur etiam conjuncte ἑτερονοῦν : sed videndum annon ἕτερον ὂν potius quam ἑτερονοῦν aut ἕτερον οὖν legi debeat: quum οὖν plerisque in locis πλεονάζειν comperiatur, sed non et in talibus fortasse.’ Fisch.

ἕν. τοῦ δημιουργ.] Steph. ‘ Malim τῆς τοῦ δημιουργ.’ Non male. Fisch.

ἐν ᾧ τὰ πλεῖστά ἐστι τῶν πάλαι ῥηθέντων, ἐσθής τε[l] ξύμπασα καὶ τῶν ὅπλων τὸ πολὺ καὶ τείχη πάντα θ'[m] ὅσα γήϊνα περιβλήματα καὶ λίθινα, καὶ μυρία ἕτερα; προβολῆς δὲ ἕνεκα ξυμπάντων αὐτῶν[n] εἰργασμένων[o] δικαιότατ'[p] ἂν ὅλον προσαγορεύοιτο πρόβλημα, καὶ πολλῷ μᾶλλον τέχνης οἰκοδομικῆς ἔργον καὶ ὑφαντικῆς τὸ πλεῖστον νομί-
II. ii. 314. ζοιτ' ἂν ὀρθότερον ἢ πολιτικῆς.

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Πέμπτον δὲ ἆρ' ἂν ἐθέλοιμεν τὸ περὶ τὸν κόσμον καὶ γραφικὴν θεῖναι καὶ ὅσα ταύτῃ προσχρώμενα καὶ μουσικῇ μιμήματα τελεῖται, πρὸς τὰς ἡδονὰς μόνον ἡμῶν[q] ἀπειργασμένα, δικαίως δ' ἂν ὀνόματι[r] περιληφθέντα ἑνί;

ΝΕ. ΣΩ. Ποίῳ;

ΞΕ. Παίγνιόν πού τι[s] λέγεται;

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Τοῦτο τοίνυν τούτοις ἓν ὄνομα ἅπασι πρέψει προσαγορευθέν· οὐ[t] γὰρ σπουδῆς οὐδὲν αὐτῶν[u] χάριν, ἀλλὰ παιδιᾶς ἕνεκα πάντα δρᾶται.

ΝΕ. ΣΩ. Καὶ τοῦτο σχεδὸν ἔτι[v] μανθάνω.

ΞΕ. Τὸ δὲ πᾶσι τούτοις σώματα παρέχον, ἐξ ὧν καὶ ἐν οἷς δημιουργοῦσιν ὁπόσαι τῶν τεχνῶν νῦν εἴρηνται,[w] παντοδαπὸν εἶδος πολλῶν ἑτέρων τεχνῶν ἔκγονον[x] ὄν,[y] ἆρ' οὐχ ἕκτον θήσομεν;

ΝΕ. ΣΩ. Τὸ[z] ποῖον δὴ λέγεις;

ΞΕ. Χρυσόν τε καὶ ἄργυρον καὶ πάνθ' ὁπόσα μεταλλεύεται καὶ ὅσα δρυοτομικὴ[a] καὶ κουρὰ[b] ξύμπασα[c] τέμ-
II. ii. 315. νουσα παρέχει τεκτονικῇ καὶ πλεκτικῇ· καὶ ἔτι φλοιστικὴ[d] φυτῶν τε[e] καὶ[f] ἐμψύχων δέρματα σωμάτων[g] περιαιροῦσα σκυτοτομική,[h] καὶ ὅσαι περὶ τὰ[i] τοιαῦτ' εἰσὶ τέχναι, καὶ

𝔄Π: λεγόμενον *ς.—[k] κεραμεικῆς Γ: κεραμικῆς *ς.—[l] γε Λ.—[m] δ' omnes.—[n] ἀνθρώπων F.—[o] εἰργασμένου aut εἰργασμένον corr F.—[p] μᾶλλον δικ. F.—[q] ἡμῖν Γ.—[r] ὀνόματα 𝔄.—[s] πού τι 𝔄ΔΠ: τι δὴ *ς.—[t] καὶ ΣΥ.—[u] αὐτῷ Γ.—[v] ἔτι add 𝔄ΔΠΣΥ.—[w] εἴρηται Γ.—[x] ἔγγονον Γς.—[y] ὂν om ΓΛ.—[z] τὸ om 𝔄ΔΠ.—[a] δρυτομικὴ Λ.—[b] κουρὰξ Η.—[c] ξύμπαντα ς.—[d] καὶ ἔτι φλοιστικὴ om Λ.—[e] τε om C.

ξύμπαντα] Steph. 'Legitur etiam ξύμπασα·' immo σύμπασα, in Bas. 2. Ficinus omisit vocab. in versione. Fisch. πλεκτικῇ] Scribendum puto πλεκ-

φελλῶν καὶ βίβλων[j] καὶ δεσμῶν ἐργαστικαί, παρέσχον δημιουργεῖν[k] σύνθετα ἐκ μὴ συντιθεμένων εἴδη γενῶν. ἓν δὲ αὐτὸ προσαγορεύωμεν[l] πᾶν τὸ πρωτογενὲς ἀνθρώποις κτῆμα, καὶ ἀξύνθετον καὶ βασιλικῆς ἐπιστήμης οὐδαμῶς ἔργον ὄν.

ΝΕ. ΣΩ. Καλῶς.

ΞΕ. Τὴν δὴ τῆς[m] τροφῆς[n] κτῆσιν, καὶ[o] ὅσα εἰς τὸ σῶμα ξυγκαταμιγνύμενα ἑαυτῶν μέρεσι[p] μέρη σώματος εἰς
τὸ θεραπεῦσαί τινα[q] δύναμιν εἴληχε, λεκτέον ἕβδομον[r] ὀνο- II. 289.
μάσαντας[s] αὐτὸ ξύμπαν ἡμῶν εἶναι τροφόν, εἰ μή τι κάλλιον ἔχομεν ἄλλο θέσθαι. γεωργικῇ δὲ καὶ θηρευτικῇ καὶ γυμναστικῇ καὶ ἰατρικῇ καὶ μαγειρικῇ πᾶν ὑποτιθέντες ὀρθότερον ἀποδώσομεν ἢ τῇ πολιτικῇ.

§. 29. ΝΕ. ΣΩ. Πῶς γὰρ οὔ;

ΞΕ. Σχεδὸν τοίνυν ὅσα ἔχεται κτήσεως,[t] πλὴν τῶν ἡμέρων[u] ζώων, ἐν τούτοις ἑπτὰ οἶμαι γένεσιν εἰρῆσθαι.[v] σκόπει δέ· ἦν γὰρ δικαιότατα μὲν ἂν τεθὲν κατ' ἀρχὰς τὸ πρωτογενὲς εἶδος, μετὰ δὲ τοῦτο ὄργανον, ἀγγεῖον, ὄχημα, πρόβλημα, παίγνιον, θρέμμα. παραλείπομεν[w] δὲ εἴ τι μὴ
μέγα λέληθεν εἴς τι τούτων[x] δυνατὸν ἁρμόττειν, οἷον ἡ τοῦ II. ii. 316.
νομίσματος ἰδέα καὶ σφραγίδων καὶ παντὸς χαρακτῆρος. γένος τε γὰρ ἐν αὐτοῖς ταῦτα οὐδὲν ἔχει μέγα ξύννομον, ἀλλὰ τὰ μὲν εἰς κόσμον,[y] τὰ δὲ εἰς ὄργανα βίᾳ μέν, ὅμως δὲ πάντως ἑλκόμενα συμφωνήσει. τὰ δὲ περὶ ζώων κτῆσιν

—[f] καὶ om ΣΥ.—[g] σωμάτων δέρματα Λ.—[h] σκυτοτομικῇ Γ.—[i] τὰ om ς.—[j] βύβλων 𝔄ΓΛ, κύκλων Δ et pr Π.—[k] παρέσχον δὴ δημιουργεῖν Γ.—[l] προσαγορεύωμεν ΔΠ: προσαγορεύομεν *ς.—[m] τὴν...545, 22. εἶναι in re folio habet Δ.—[n] τροφικῆς Δ et pr Π, στροφικῆς 𝔄. καὶ om Δ.—[o] ὅσα om ΣΥ.—[p] μέρεσι om pr Π.—[q] τὴν Υ.—[r] ἕβδομον om Δ.—[s] ὀνομάσαντες Ξ.—[t] κτίσεως C.—[u] ἡμετέρων C.—[v] εὑρῆσθαι ς.—[w] παραλειπόμενον Γ.—[x] ante δυνατὸν omisi μέγα cum 𝔄ΔΠ.—[y] κόσμους ΞΣ.—

τικῇ, καὶ ἔτι φλοιστικῇ, in nominandi casu. (at τεκτονικῇ in eodem casu male Fic. quoque scribit) et paulo post, οὖσαι τέχναι. Steph.

Neutra emendatione opus esse videtur. Sed recte animadvertit idem Steph. Ficinum male legisse τεκτονικῇ, atque adeo hoc vocabulum a verbo παρέχει, cum quo cohæret, separasse. Cæterum congessit ex hoc loco nomina variarum illarum artium Pollux vii. 209. Fisch.

φελλῶν] Hesych. Φελλός·—τὸ τῶν βιβλίων ἔξωθεν σκέπασμα. Fisch.

ὀνομάσαντας] Bas. 2. ὀνομάσαντες· male: nam accusativus pendet a verbo λεκτέον. Mox ante verba εἰ μή τι in Ald. perperam insertum legitur nomen ΣΩ. Fisch.

τῶν ἡμέρων,[z] πλὴν δούλων, ἡ πρότερον ἀγελαιοτροφικὴ διαμερισθεῖσα πάντα[a] εἰληφυῖα ἀναφανεῖται.[b]

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Τὸ δὲ δὴ δούλων καὶ[c] πάντων[d] ὑπηρετῶν λοιπόν,[e] ἐν οἷς που καὶ μαντεύομαι τοὺς περὶ αὐτὸ τὸ πλέγμα ἀμφισβητοῦντας τῷ βασιλεῖ καταφανεῖς γενήσεσθαι, καθάπερ τοῖς ὑφάνταις τότε τοὺς περὶ τὸ νήθειν τε[f] καὶ ξαίνειν καὶ ὅσ᾽[g] ἄλλα εἴπομεν. οἱ δ᾽ ἄλλοι πάντες, ὡς συναίτιοι λεχθέντες, ἅμα τοῖς ἔργοις τοῖς νῦν δὴ ῥηθεῖσιν ἀνήλωνται καὶ ἀπεχωρίσθησαν ἀπὸ βασιλικῆς τε καὶ πολιτικῆς πράξεως.

ΝΕ. ΣΩ. Ἐοίκασι γοῦν.

ΞΕ. Ἴθι[h] δὴ[i] σκεψώμεθα τοὺς λοιπούς, προσελθόντες ἐγγύθεν, ἵν᾽ αὐτοὺς εἴδωμεν βεβαιότερον.

ΝΕ. ΣΩ. Οὐκοῦν χρή.

II. ii. 317. ΞΕ. Τοὺς μὲν δὴ μεγίστους ὑπηρέτας, ὡς ἐνθένδε ἰδεῖν, τοὐναντίον ἔχοντας εὑρίσκομεν[j] οἷς ὑπωπτεύσαμεν ἐπιτήδευμα καὶ πάθος.

ΝΕ. ΣΩ. Τίνας;

ΞΕ. Τοὺς ὠνητούς τε καὶ τῷ τρόπῳ τούτῳ κτητούς· οὓς ἀναμφισβητήτως[k] δούλους ἔχομεν εἰπεῖν, ἥκιστα βασιλικῆς μεταποιουμένους τέχνης.

ΝΕ. ΣΩ. Πῶς δ᾽ οὔ;

ΞΕ. Τί δαί;[l] τῶν ἐλευθέρων[m] ὅσοι τοῖς νῦν δὴ ῥηθεῖσιν εἰς ὑπηρετικὴν ἑκόντες αὐτοὺς τάττουσι, τά[n] τε γεωργίας καὶ τὰ[o] τῶν ἄλλων τεχνῶν ἔργα διακομίζοντες ἐπ᾽ ἀλλή-

[z] ἡμετέρων 𝔄Δ et pr Π.—[a] πάντας ΓΛΒCEFH.—[b] ἀναφαίνεται 𝔄ΔΠ.—[c] τῶν F.—[d] πᾶν τῶν Γ.—[e] λοιπῶν Ξ.—[f] τε om F.—[g] ὅσ᾽ Γ.—[h] ἴσθι Π.—[i] δὲ Ξ.—[j] εὑρήσομεν ϛ.—[k] ἀναμφισβήτως ΛF.—[l] δὲ 𝔄ΔΛΠΒCH.—[m] ἐλευθέρως [ν] F.—[n] τά Δ et pr Π:

§. 29. πάντα εἰληφ.] Ald. Bas. 1. 2. πάντας· male. Fisch.

εὑρήσομεν] Ald. Bas. 1. 2. εὑρήσκομεν· vitiose. Etiam Ficinus vertit, *reperiemus*. Fisch.

μεταποιουμένους] Timæus: Μεταποιεῖσθαι· ἀντιποιεῖσθαι. Sic enim Ruhnquenius recte rescripsit, pro ἀντὶ τοῦ ποιεῖσθαι, e Suida. Nam Suidas: Μεταποιεῖσθαι· ἀντιποιεῖσθαι. Πλάτων Πολιτικοῖς· Ἥκιστα βασιλικῆς μεταποιουμένους τέχνης —. Fisch.

νῦν δὴ] Ald. Bas. 1. 2. νῦν δεῖ· mendose. Fisch.

λους[p] καὶ ἀνισοῦντες,[q] οἱ μὲν κατ' ἀγοράς, οἱ δὲ πόλιν ἐκ πόλεως ἀλλάττοντες κατὰ θάλατταν καὶ πεζῇ, νόμισμά[r] τε[s] πρὸς τἆλλα καὶ αὐτὸ πρὸς αὐτὸ διαμείβοντες, οὓς ἀργυραμοιβούς τε καὶ ἐμπόρους καὶ ναυκλήρους καὶ καπή- II. 290.
λους ἐπωνομάκαμεν, μῶν τῆς πολιτικῆς ἀμφισβητήσουσί[t] τι;

ΝΕ. ΣΩ. Τάχ' ἂν ἴσως τῆς[u] γε τῶν ἐμπορευτικῶν.

ΞΕ. Ἀλλ' οὐ μήν, οὕς γε ὁρῶμεν μισθωτοὺς καὶ θῆτας πᾶσιν ἑτοιμότατα[v] ὑπηρετοῦντας,[w] μή ποτε[x] βασιλικῆς μεταποιουμένους εὕρωμεν.

ΝΕ. ΣΩ. Πῶς γάρ;

ΞΕ. Τί δὲ ἄρα τοὺς τὰ[y] τοιάδε διακονοῦντας ἡμῖν ἑκάστοτε;

ΝΕ. ΣΩ. Τὰ ποῖα εἶπες καὶ τίνας; II. ii. 318.

ΞΕ. Ὧν τὸ κηρυκικὸν ἔθνος, ὅσοι τε περὶ γράμματα[z] σοφοὶ γίγνονται πολλάκις ὑπηρετήσαντες, καὶ πόλλ'[a] ἄττα ἕτερα περὶ τὰς ἀρχὰς διαπονεῖσθαι τινὲς[b] ἕτεροι πάνδεινοι, τί τούτους αὖ λέξομεν;

ΝΕ. ΣΩ. Ὅ περ εἶπες νῦν,[c] ὑπηρέτας, ἀλλ' οὐκ αὐτοὺς ἐν ταῖς πόλεσιν ἄρχοντας.

ΞΕ. Ἀλλ' οὐ μήν, οἶμαί γε, ἐνύπνιον ἰδὼν εἶπον ταύτῃ πῃ φανήσεσθαι τοὺς διαφερόντως ἀμφισβητοῦντας τῆς πολιτικῆς. καί τοι σφόδρα γε ἄτοπον ἂν εἶναι δόξειε τὸ[d] ζητεῖν τούτους ἐν ὑπηρετικῇ μοίρᾳ τινί.

ΝΕ. ΣΩ. Κομιδῇ μὲν οὖν.

ΞΕ. Ἔτι δὴ προσμίξωμεν ἐγγύτερον ἐπὶ τοὺς μήπω

ους
τάς *ς.—[o] τὰ om pr Σ.—[p] ἀλλήλων H.—[q] ἀνισοῦνδε C.—[r] νομίσματά ΛΞΣΥ.—[s] τι H.—[t] ἀμφισβητοῦσί F.—[u] τις mg F.—[v] ἑτοιμότατα 𝔄ΔΠ, ἑτοίμως ΓΛΞΣΥBC
ας
FH: ἑτοίμους *ς.—[w] ὑπηρετούντων H.—[x] τε Δ.—[y] τοὺς τοιαῦτα Δ.—[z] πράγματα ΞΣΥF.—[a] πολλά τε 𝔄ΔΠ.—[b] τινὰς Δ.—[c] νῦν εἶπες Λ.—[d] τοῦ 𝔄Δ.—[e] τε om 𝔄Π.

ἀργυραμοιβοὺς] Timæus Gloss. Ἀργυραμοιβός· ὁ κέρμα ἀντὶ ἀργυρίου ἀλλασσόμενος. Fisch.

θῆτας] Pollux iii. 82. Πελάται δὲ, καὶ θῆτες, ἐλευθέρων ἐστὶν ὀνόματα, διὰ πενίαν ἐπ' ἀργυρίῳ δουλευόντων. Fisch.

ἑτοίμους] Steph. 'Malim ἑτοίμως' sine caussa idonea: immo ἑτοίμους exquisitius dictum est et elegantius. Vid. ad Weller. p. 303. Fisch.

κηρυκικὸν] Ita apud Pollucem quoque vii. 209. rescripsit, ex hoc loco, Lederlinus, pro κηρύκειον, quod est in libris editis antiquis, et pro κηρυκτικὸν, quod erat in scriptis Codicibus. Supra §. 4. erat τὸ κηρυκικὸν φῦλον. Fisch.

βεβασανισμένους. εἰσὶ δὲ οἵ τε[e] περὶ μαντικὴν ἔχοντές τινος ἐπιστήμης[f] διακόνου μόριον· ἑρμηνευταὶ[g] γάρ που νομίζονται παρὰ θεῶν ἀνθρώποις.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Καὶ μὴν καὶ τὸ τῶν ἱερέων αὖ γένος, ὡς τὸ νόμιμόν φησι, παρὰ μὲν ἡμῶν δωρεὰς θεοῖς διὰ θυσιῶν ἐπιστήμόν ἐστι κατὰ νοῦν ἐκείνοις δωρεῖσθαι, παρὰ δὲ ἐκείνων ἡμῖν εὐχαῖς κτῆσιν ἀγαθῶν αἰτήσασθαι. ταῦτα δὲ διακόνου τέχνης ἐστί που μόρια ἀμφότερα.

II. ii. 319. §. 30. ΝΕ. ΣΩ. Φαίνεται γοῦν.[h]

ΞΕ. Ἤδη τοίνυν μοι δοκοῦμεν οἷόν γέ τινος[i] ἴχνους ἐφ' ὃ πορευόμεθα προσάπτεσθαι. τὸ γὰρ δὴ τῶν ἱερέων σχῆμα καὶ τὸ τῶν μάντεων εὖ μάλα φρονήματος πληροῦται καὶ δόξαν σεμνὴν λαμβάνει διὰ τὸ μέγεθος τῶν ἐγχειρημάτων, ὥστε περὶ μὲν Αἴγυπτον οὐδ' ἔξεστι βασιλέα[j] χωρὶς ἱερατικῆς[k] ἄρχειν, ἀλλ' ἐὰν ἄρα καὶ τύχῃ πρότερον ἐξ ἄλλου γένους βιασάμενος, ὕστερον ἀναγκαῖον εἰς τοῦτο εἰστελεῖσθαι αὐτὸν[l] τὸ γένος. ἔτι δὲ καὶ τῶν Ἑλλήνων πολλαχοῦ ταῖς μεγίσταις ἀρχαῖς τὰ μέγιστα τῶν περὶ τὰ[m] τοιαῦτα

—[f] ἐπιστήμης om F.—[g] μόριον καὶ ἑρμηνευταὶ F.—[h] γοῦν om Δ.—[i] γε τινος C (τ superscript), τέ τινος Λ, γείτονος 𝔄ΔΠΗ cum γρ ΛΣΒC.—[j] βασιλεία Η.—[k] ἱερωτικῆς 𝔄, ἰατρικῆς

§. 30. οἷόν γέ τινος ἴχνους] STEPH. 'Legitur etiam οἷον γείτονος ἴχνους· quæ lectio non displicet, licet Ficinus alteram sequatur.' Scilicet Ficinus vertit, *Jam igitur vestigium quoddam—attingere videmur:* sed in Bas. 2. est γείτονος. FISCH.

ἴχ.] Hujus loci quæ in Ed. Bas. 2. exstat lectio γείτονος ἴχνους non video quare Stephano placuerit. Dicit enim Hospes, de sacerdotibus se mentionem facientem in aliquod quasi vestigium incidisse, eo ducens, quo ipse tenderet, i. e. ad reges; apud Ægyptios enim sacerdotes simul esse reges. Eadem est dictionis venustas Themist. Orat. i. p. 12. C. Ἀλλ' ἐπανακτέον τὸν λόγον ἐκτρεπόμενον τοῦ ἴχνους, ἐφ' ὅπερ ὥρμησεν ἐξ ἀρχῆς. Orat. xx. p. 235. A. Οὐδὲ ἴχνους λαβέσθαι οἷός τε ὤν, οὔτε ἀρχῆς ἡστινοσοῦν ἐπιδράξασθαι εἴσω φερούσης. Orat. xxiii. p. 288. B. Σκοπῶμεν ὅστις ἂν μοι αὐτῷ προσαρμόσαι, καὶ ὅ, τι ἂν εὕροιτε ὥσπερ ἴχνος τηλαυγὲς τῆς ἐμῆς πορείας. Infra p. 301. D. Νῦν δέ γε ὅτε οὐκ ἔστι γιγνόμενος, ὡς δὴ φαμὲν, ἐν ταῖς πόλεσι βασιλεὺς, οἷος ἐν σμήνεσιν ἐμφύεται, τό, τε σῶμα εὐθὺς καὶ τὴν ψυχὴν διαφέρων εἷς, δεῖ δὴ συνελθόντας ξυγγράμματα γράφειν, ὡς ἔοικε, μεταθέοντας τὰ τῆς ἀληθεστάτης πολιτείας ἴχνη. Cujus modi elegans comparatio placuit item Xenophonti Cyrop. v. 118. B. Βασιλεὺς μὲν γὰρ ἐμοίγε δοκεῖς σὺ φύσει πεφυκέναι, οὐδὲν ἧττον, ἢ ὁ ἐν τῷ σμήνει φυόμενος τῶν μελισσῶν ἡγεμών· quo referendum pulcerrimum illud Themistii Orat. ii. p. 36. A. Φύεται δὲ αὐτόματος, καὶ ἐκτρέφεται, ὥσπερ ἐν σμήνει, αὐτοφυὴς ἐκ γενετῆς καὶ αὐτοδίδακτος βασιλεὺς, ᾧ συμπεριβομβεῖ καὶ συμπέτεται ἑκούσιον τὸ σμῆνος καὶ ξὺν χαρμονῇ. Cf. Rep. vii. p. 520. B. HEUSD.

χωρὶς] Schol. Augustanus: χωρίς· σημαίνου, ὅτι οἱ τῶν Αἰγυπτίων βασιλεῖς πάντες ἱερεῖς ἦσαν. FISCH.

θύματα εὕροι τις ἂν προσταττόμενα[n] θύειν. καὶ δὴ καὶ παρ' ὑμῖν[o] οὐχ ἥκιστα δῆλον ὃ λέγω· τῷ γὰρ λαχόντι βασιλεῖ φασὶ τῇδε τὰ σεμνότατα[p] καὶ μάλιστα πάτρια τῶν ἀρχαίων θυσιῶν ἀποδεδόσθαι.

ΝΕ. ΣΩ. Καὶ πάνυ γε.

ΞΕ. Τούτους τε τοίνυν τοὺς κληρωτοὺς βασιλέας ἅμα[q] II. 291. καὶ ἱερέας, καὶ ὑπηρέτας αὐτῶν καί τινα ἕτερον πάμπολυν ὄχλον σκεπτέον, ὃς ἄρτι κατάδηλος νῦν ἡμῖν γέγονεν ἀποχωρισθέντων τῶν ἔμπροσθεν.

ΝΕ. ΣΩ. Τίνας δ'[r] αὐτοὺς καὶ λέγεις;

ΞΕ. Καὶ μάλα[s] τινὰς ἀτόπους.

ΝΕ. ΣΩ. Τί δή;

ΞΕ. Πάμφυλόν τι γένος αὐτῶν ὥς γε[t] ἄρτι[u] σκοπου- II. ii. 320. μένῳ φαίνεται. πολλοὶ μὲν γὰρ λέουσι τῶν ἀνδρῶν εἴξασι καὶ κενταύροις καὶ τοιούτοισιν ἑτέροις, πάμπολλοι δὲ Σατύροις καὶ τοῖς ἀσθενέσι καὶ πολυτρόποις θηρίοις· ταχὺ δὲ μεταλλάττουσι[v] τάς τε[w] ἰδέας καὶ τὴν δύναμιν εἰς ἀλλήλους. καὶ μέντοι μοι νῦν, ὦ Σώκρατες, ἄρτι δοκῶ κατανενοηκέναι τοὺς ἄνδρας.

ΝΕ. ΣΩ. Λέγοις ἄν· ἔοικας[x] γὰρ ἄτοπόν τι καθορᾶν.

ΞΕ. Ναί· τὸ[y] γὰρ ἄτοπον ἐξ ἀγνοίας πᾶσι[z] συμβαίνει. καὶ γὰρ δὴ καὶ νῦν αὐτὸς τοῦτο ἔπαθον· ἐξαίφνης ἠμφεγνόησα[a] κατιδὼν τὸν περὶ τὰ τῶν πόλεων πράγματα χορόν.

ΝΕ. ΣΩ. Ποῖον;

ΣΥ.—[l] αὐτὸ Σ.—[m] περὶ τοὺς τὰ ΣΥ.—[n] πραττόμενα ΣΥ.—[o] ἡμῖν Γ.—[p] σεμνότερα Λ.—[q] καὶ ἅμα Γ.—[r] δ' om 𝔄Δ.—[s] μάλιστα mg H.—[t] ὥστε 𝔄Δ et pr Π, ὅσγε Λ.—[u] ἄρτι 𝔄ΔΠ: ἀρτίως ς.—[v] μεταλλάττουσι 𝔄ΔΠ, μεταλλάσσουσι ΓΛΞΣΥBCFH, λλ σσ μεταβάλλουσι E: μεταβάλλουσι ς.—[w] τε om F.—[x] ἔοικας...] hæc eidem continuant ΓΛΞΣΥBCEFH.—[y] τὸ...] hæc quoque continuant ΓΞΣΥBF.—[z] πάσης Γ.—[a] ἠμφεγνόησα 𝔄ΔΛΣΥBCFH et pr Π, ἀμφεγνόησα pr Γ, ἀμφηγνόησα corr Γ: ἠμ-

πάτρια] Pollux viii. 90. ὁ δὲ βασιλεὺς—καὶ τὰ περὶ τὰς πατρίους θυσίας διοικεῖ. Sic recte ibi emendavit, Codicum veterum auctoritate, Hemsterhusius, quum in superioribus editionibus legeretur πατρῴας. Quam quidem emendationem hic ipse Platonis locus plane confirmat. Fisch.

εἴξασι] Timæus Εἴξασι, καὶ Εἴκασι, λέγει ἀντὶ τοῦ ἐοίκασιν. Fisch.

μεταβάλλουσι] Steph. 'Al. μεταλλάσσουσι· quod malim.' Est lectio Bas. 2. quam tamen ego nolim præferre alteri, quum repugnare videantur verba εἰς ἀλλήλους. Neque enim dici posse puto μεταλλάσσουσιν εἰς ἀλλήλους. Fisch.

ΞΕ. Τὸν πάντων τῶν[b] σοφιστῶν[c] μέγιστον γόητα καὶ ταύτης τῆς τέχνης ἐμπειρότατον· ὃν ἀπὸ τῶν ὄντως ὄντων[d] πολιτικῶν καὶ βασιλικῶν καί περ παγχάλεπον[e] ὄντα ἀφαιρεῖν ἀφαιρετέον, εἰ μέλλομεν ἰδεῖν ἐναργῶς τὸ ζητούμενον.

ΝΕ. ΣΩ. Ἀλλὰ μὴν τοῦτό γε οὐκ ἀνετέον.

ΞΕ. Οὔκουν δὴ κατά γε τὴν ἐμήν. καί μοι φράζε τόδε.

II. ii. 321. §. 31. ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Ἀρ' οὐ[f] μοναρχία τῶν πολιτικῶν ἡμῖν ἀρχῶν ἐστὶ μία;

ΝΕ. ΣΩ. Ναί.[g]

ΞΕ. Καὶ μετὰ μοναρχίαν εἴποι τις ἄν, οἶμαι, τὴν ὑπὸ τῶν ὀλίγων δυναστείαν.

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;

ΞΕ. Τρίτον[h] δὲ σχῆμα πολιτείας οὐχ ἡ τοῦ πλήθους ἀρχή, δημοκρατία τοὔνομα κληθεῖσα;

ΝΕ. ΣΩ. Πάνυ[i] γε.

ΞΕ. Τρεῖς δ' οὖσαι μῶν οὐ πέντε τρόπον τινὰ γίγνονται, δύο ἐξ ἑαυτῶν[j] ἄλλα πρὸς αὐταῖς ὀνόματα τίκτουσαι;

ΝΕ. ΣΩ. Ποῖα δή;

ΞΕ. Πρὸς τὸ βίαιόν που καὶ ἑκούσιον ἀποσκοποῦντες νῦν, καὶ πενίαν καὶ πλοῦτον, καὶ νόμον καὶ ἀνομίαν, ἐν[k] αὐταῖς γιγνόμενα, διπλῆν[l] ἑκατέραν[m] τοῖν[n] δυοῖν διαιροῦντες μοναρχίαν μὲν προσαγορεύουσιν ὡς δύο παρεχομένην εἴδη[o] δυοῖν[p] ὀνόμασι, τυραννίδι,[q] τὸ δὲ βασιλικῇ.

ΝΕ. ΣΩ. Τί μήν;

φιγνόησα *ς.—[b] τῶν om F.—[c] σοφῶν 𝔄ΔΠΣΥ et pr H.—[d] ὁ τῶν 𝔄.—[e] χαλεπὸν 𝔄ΔΠ et pr Σ.—[f] τόδε. ἆρ' Γ.—[g] ναί...δυναστείαν om Σ.—[h] τρίτων Δ.—[i] ante πάνυ
ἐν
omisi καὶ cum 𝔄ΔΠ.—[j] αὐτῶν ΣΥ.—[k] ἂν EF.—[l] διπλοῖν ΣΥ, διπλῇ Ξ.—[m] ἑκατέρα Υ.—[n] τοῖς pr Π: ταῖν ς.—[o] ἤδη ΣΥ.—[p] ὀνόματι Δ.—[q] ante τυραννίδι omisi τὸ

οὔκουν] Ald. Bas. 1. 2. οὐκοῦν· sed οὔκουν rescribendum esse vidit, ante Stephanum, Cornarius. Etiam Ficinus sic legit, *Non certe, ut arbitror:* neque res ipsa aliter legi sinit. Fisch.

§. 31. ἆρ' οὐ μοναρχία] Hic locus usque ad verba εἴωθε μεταλλάττειν; ἀληθῆ, legitur apud Stobæum Eclog. Eth. c. 41. p. 245. ita, ἆρ' οὐ—δύ' ἐξ αὐτῶν ἀλλὰ πρὸς ἑαυταῖς—τοῖν δυοῖν—ὀνόμασιν—ἀριστοκρατίαν καὶ ὀλιγαρχίαν;—αὐτῆς εἴωθε —. Fisch.

εἴδη] Ald. ἤδη· pro quo jam in Bas. 1. 2. legitur εἴδη, ut in libris Stobæi. Fisch.

ΞΕ. Τὴν δὲ ὑπ'[r] ὀλίγων γε ἑκάστοτε κρατηθεῖσαν πόλιν ἀριστοκρατίᾳ καὶ ὀλιγαρχίᾳ.[s]

ΝΕ. ΣΩ. Καὶ[t] πάνυ γε.

ΞΕ. Δημοκρατίας γε μήν, ἐάν τ' οὖν βιαίως ἐάν τε II. ii. 322.
ἑκουσίως[u] τῶν τὰς οὐσίας[v] ἐχόντων τὸ πλῆθος ἄρχῃ, καὶ II. 292.
ἐάν τε τοὺς νόμους ἀκριβῶς φυλάττον[w] ἐάν τε μή, πάντως[x] τοὔνομα οὐδεὶς αὐτῆς[y] εἴωθε μεταλλάττειν.

ΝΕ. ΣΩ. Ἀληθῆ.

ΞΕ. Τί οὖν; οἰόμεθά τινα τούτων τῶν πολιτειῶν ὀρθὴν εἶναι τούτοις τοῖς ὅροις ὁρισθεῖσαν,[z] ἑνὶ καὶ ὀλίγοις καὶ[a] πολλοῖς, καὶ πλούτῳ καὶ πενίᾳ, καὶ τῷ βιαίῳ καὶ ἑκουσίῳ, καὶ μετὰ γραμμάτων καὶ ἄνευ νόμων ξυμβαίνουσαν γίγνεσθαι;

ΝΕ. ΣΩ. Τί γὰρ δὴ καὶ[b] κωλύει;[c]

ΞΕ. Σκόπει δὴ σαφέστερον, τῇδε ἑπόμενος.

ΝΕ. ΣΩ. Πῇ;

ΞΕ. Τῷ ῥηθέντι κατὰ πρώτας πότερον[d] ἐμμενοῦμεν ἢ διαφωνήσομεν;

ΝΕ. ΣΩ. Τῷ δὴ ποίῳ λέγεις;

ΞΕ. Τὴν βασιλικὴν ἀρχὴν τῶν ἐπιστημῶν εἶναί τινα[e] ἔφαμεν, οἶμαι.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Καὶ τούτων γε οὐχ ἁπασῶν, ἀλλὰ κριτικὴν δή πού τινα[f] καὶ ἐπιστατικὴν ἐκ τῶν ἄλλων προειλόμεθα.[g]

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Κἀκ τῆς ἐπιστατικῆς τὴν μὲν ἐπ' ἀψύχοις ἔργοις, II. ii. 323.
τὴν δὲ ἐπὶ ζώοις. καὶ κατὰ τοῦτον δὴ τὸν τρόπον μερίζοντες δεῦρ' ἀεὶ προεληλύθαμεν, ἐπιστήμης οὐκ ἐπιλανθανόμενοι,[h] τὸ δ' ἥ τις[i] οὐχ ἱκανῶς πω δυνάμενοι διακριβώσασθαι.

ΝΕ. ΣΩ. Λέγεις ὀρθῶς.

μὲν cum ΔΛΞΠΣΥΒCΕΗ.—[r] ὑπ' Γ.—[s] ἀριστοκρατίᾳ καὶ ὀλιγαρχίᾳ 𝔄ΥΒ: ἀριστοκρατία καὶ ὀλιγαρχία *ς.—[t] καὶ om C.—[u] ἀκουσίως Γ.—[v] θυσίας 𝔄ΔΠ.—[w] φυλάττον (η) Ε.—[x] πᾶν F.—[y] αὐτοῖς ς.—[z] θεῖσαν Η.—[a] καὶ ante πολλοῖς om Σ.—[b] καὶ om ΛF.—[c] κωλύειν 𝔄Δ.—[d] πρότερον Δ.—[e] τι 𝔄Δ et pr Π.—[f] τινα om Σ.—[g] παρειλόμεθα Ε.—[h] ἐπιλαθόμενοι ΞΣΥ.—[i] ἣν τις 𝔄Δ, ἥν τις Γ: ἥ τις cum *ς corr Π.—

τὸ μὲν] In Ald. Bas. 1. 2. desunt τὸ μέν· quæ Cornar. recte jussit addi. Fisch.

ΞΕ. Τοῦτ' αὐτὸ[k] τοίνυν ἆρ' ἐννοοῦμεν, ὅτι τὸν ὅρον οὐκ ὀλίγους οὐδὲ πολλούς, οὐδὲ τὸ ἑκούσιον οὐδὲ τὸ ἀκούσιον, οὐδὲ πενίαν οὐδὲ πλοῦτον γίγνεσθαι περὶ αὐτῶν χρεών, ἀλλά τινα ἐπιστήμην, εἴ περ ἀκολουθήσομεν τοῖς πρόσθεν;[l]

§. 32. ΝΕ. ΣΩ. Ἀλλὰ μὴν τοῦτό γε ἀδύνατον μὴ ποιεῖν.

ΞΕ. Ἐξ ἀνάγκης δὴ νῦν τοῦτο οὕτω σκεπτέον, ἐν τίνι ποτὲ τούτων[m] ἐπιστήμῃ[n] ξυμβαίνει γίγνεσθαι περὶ ἀνθρώπων ἀρχῆς, σχεδὸν τῆς χαλεπωτάτης καὶ μεγίστης κτήσασθαι. δεῖ γὰρ ἰδεῖν αὐτήν, ἵνα θεασώμεθα τίνας ἀφαιρετέον ἀπὸ τοῦ φρονίμου βασιλέως, οἳ προσποιοῦνται μὲν εἶναι πολιτικοὶ καὶ πείθουσι πολλούς, εἰσὶ δὲ οὐδαμῶς.

ΝΕ. ΣΩ. Δεῖ γὰρ δὴ ποιεῖν τοῦτο, ὡς ὁ λόγος ἡμῖν προείρηκεν.

ΞΕ. Μῶν οὖν δοκεῖ πλῆθός γε ἐν πόλει ταύτην[o] τὴν ἐπιστήμην δυνατὸν εἶναι κτήσασθαι;

ΝΕ. ΣΩ. Καὶ πῶς;

H. ii. 324. ΞΕ. Ἀλλ' ἆρα ἐν χιλιάνδρῳ[p] πόλει δυνατὸν ἑκατόν τινας[q] ἢ καὶ πεντήκοντα αὐτὴν[r] ἱκανῶς κτήσασθαι;

ΝΕ. ΣΩ. Ῥάστη μέντ' ἂν οὕτω γ' εἴη πασῶν τῶν τεχνῶν· ἴσμεν γὰρ ὅτι χιλίων ἀνδρῶν ἄκροι[s] πεττευταὶ τοσοῦτοι πρὸς τοὺς ἐν τοῖς ἄλλοις Ἕλλησιν οὐκ ἂν γένοιντό ποτε, μή τι δὴ βασιλεῖς γε. δεῖ γὰρ δὴ τόν γε[t] τὴν βασιλικὴν ἔχοντα ἐπιστήμην, ἄν τ' ἄρχῃ καὶ ἐὰν μή, κατὰ τὸν ἔμ-
II. 293. προσθε[u] λόγον[v] ὅμως βασιλικὸν προσαγορεύεσθαι.

ΞΕ. Καλῶς ἀπεμνημόνευσας. ἑπόμενον δὲ[w] οἶμαι τούτῳ τὴν μὲν ὀρθὴν ἀρχὴν περὶ ἕνα τινὰ καὶ δύο καὶ παντάπασιν ὀλίγους[x] δεῖ[y] ζητεῖν, ὅταν ὀρθὴ γίγνηται.

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Τούτους δέ γε, ἐάν θ'[z] ἑκόντων ἐάν[a] τε ἀκόντων

j πως 𝔄ΔΠ : που *ς.—k αὐτὸ add 𝔄ΔΠ.—l πρόσθεν 𝔄ΔΠ : ἔμπροσθεν ς.—m τοίνυν, in mg τίνι, F.—n ἐπιστήμῃ ΥΒ, ἐπιστήμη ceteri : ἐπιστήμην ς.—o αὐτήν ΔΠ : αὐτῶν ς.—p χιλιέδρῳ F.—q τινα E.—r αὐτὴν 𝔄ΓΛΞΠΣΥBCEFH : αὐτῶν ς.—s ἄκρα ΣΥ.—t τόν τε F.—u ἔμπροσθε 𝔄Δ : ἔμπροσθεν *ς.—v λόγον om Π.—w δέ γε F.—

§. 32. ἐπιστήμην] Ald. Bas. 1. 2. ἐπιστήμη. Fisch. δεῖν]. Ald. Bas. 1. 2. δεῖ· male. mox Bas. 2. γίγνεται· mendose. dein Ald. Bas. 1. 2. τούτοις· vitiose, pro τούτους. Fisch.

ἄρχωσιν, ἄν[b] τε κατὰ τὰ γράμματα ἄν τε ἄνευ γραμμάτων, καὶ ἐὰν πλουτοῦντες ἢ πενόμενοι, νομιστέον, ὥς περ νῦν ἡγούμεθα, κατὰ τέχνην ἡντινοῦν ἀρχὴν ἄρχοντας.[c] τοὺς ἰατροὺς δὲ οὐχ ἥκιστα νενομίκαμεν, ἐάν θ' ἑκόντας[d] ἐάν τε ἄκοντας ἡμᾶς ἰῶνται, τέμνοντες ἢ κάοντες[e] ἤ τιν'[f] ἄλλην ἀλγηδόνα προσάπτοντες. καὶ ἐὰν κατὰ γράμματα ἢ χωρὶς γραμμάτων, καὶ ἐὰν πένητες ὄντες ἢ πλούσιοι, πάντως οὐδὲν[g] ἧττον ἰατρούς φαμεν, ἕως περ ἂν ἐπιστατοῦντες τέχνῃ, καθαίροντες εἴτε ἄλλως ἰσχναίνοντες εἴτε[h] καὶ[i] αὐξάνοντες, ἂν μόνον[j] ἐπ' ἀγαθῷ τῷ[k] τῶν σωμάτων, βελτίω ποιοῦντες ἐκ χειρόνων, σώζωσιν[l] οἱ θεραπεύοντες[m] ἕκαστοι[n] τὰ θεραπευόμενα. ταύτῃ θήσομεν,[o] ὡς οἶμαι, καὶ οὐκ ἄλλῃ, τοῦτον ὅρον ὀρθὸν εἶναι μόνον[p] ἰατρικῆς καὶ ἄλλης ἡστινοσοῦν ἀρχῆς. II. ii. 325.

ΝΕ. ΣΩ. Κομιδῇ μὲν οὖν.

§. 33. ΞΕ. Ἀναγκαῖον δὴ καὶ πολιτειῶν,[q] ὡς ἔοικε, ταύτην διαφερόντως ὀρθὴν[r] εἶναι καὶ μόνην πολιτείαν, ἐν ᾗ τις ἂν εὑρίσκοι[s] τοὺς ἄρχοντας ἀληθῶς ἐπιστήμονας καὶ οὐ δοκοῦντας μόνον, ἐάν τε κατὰ νόμους ἐάν τε ἄνευ νόμων ἄρχωσι, καὶ ἑκόντων ἢ ἀκόντων,[t] ἢ πενόμενοι[u] ἢ πλουτοῦντες· τούτων ὑπολογιστέον οὐδὲν οὐδαμῶς εἶναι κατ' οὐδεμίαν ὀρθότητα.

ΝΕ. ΣΩ. Καλῶς.

ΞΕ. Καὶ ἐάν τέ γε[v] ἀποκτιννύντες τινὰς ἢ καὶ[w] ἐκβάλλοντες καθαίρωσιν ἐπ' ἀγαθῷ τὴν πόλιν, εἴτε καὶ ἀποικίας οἷον σμήνη μελιττῶν ἐκπέμποντές ποι[x] σμικροτέραν ποιῶσιν, ἤ[y] τινας ἐπεισαγόμενοί[z] ποθεν ἄλλους ἔξωθεν,[a] πο-

[x] ὀλίγου ꝸΔΠ.—[y] δεῖν Fϛ.—[z] θ' Γ.—[a] ἄν ΔΠ.—[b] ἐάν ꝸΔΠ.—[c] ἔχοντας ΣΥ.—[d] ἐάν τε ἑκόντας om Π : θ' Γ.—[e] καίοντες ꝸΔΠ.—[f] τιν' Γ.—[g] οὐδὲ ꝸ.—[h] alterum
ω
εἴτε om Σ et pr Ξ.—[i] καὶ om ꝸΔΠ.—[j] μόνον F.—[k] τῷ om ΣΥ.—[l] σώζουσιν ΓΞΗ.—[m] θεράποντες ΥCE et pr F.—[n] ἕκαστα Π.—[o] θήσομεν ꝸΔΠ : φήσομεν *ϛ.—[p] μόνον εἶναι ΞΣ.—[q] πολιτείαν ꝸΠ, πολιτειῶν.. μόνην om Δ.—[r] ὀρθὴν διαφερόντως ꝸΠ.—[s] εὑρίσκοι om ΣΥ et pr Ξ.—[t] καὶ ἀκ. ΔΠ.—[u] καὶ πεν. ꝸ.—[v] γε om E.—[w] καὶ om ΣΥ et pr Ξ.—[x] πῃ Λ.—[y] εἴ F.—[z] ἐπειγόμενοι C.—[a] ἑτέρωθεν corr Γ.—

θεραπεύοντες] Ald. Bas. 1. 2. οἱ θεράποντες· mendose. Stephanus bene reposuit οἱ θεραπεύοντες, ut legit Ficinus. vertit enim, *qui curant*. Fisch.

§. 33. ἐκβάλλοντες] Ald. Bas. 1. 2. ἐκβάλοντες· operarum culpa. id quod vel locus accentus monstrat. Fisch.

λίτας ποιοῦντες, αὐτὴν αὔξωσιν,[b] ἕως περ[c] ἂν ἐπιστήμῃ καὶ
II. ii. 326. τῷ δικαίῳ προσχρώμενοι, σώζοντες, ἐκ χείρονος βελτίω ποιῶσι κατὰ δύναμιν ταύτην, τότε καὶ κατὰ τοὺς τοιούτους ὅρους ἡμῖν μόνην ὀρθὴν πολιτείαν εἶναι ῥητέον. ὅσας δὲ ἄλλας λέγομεν, οὐ γνησίας[d] οὐδ' ὄντως[e] οὔσας λεκτέον, ἀλλὰ μεμιμημένας ταύτην, ἃς μὲν[f] εὐνόμους[g] λέγομεν, ἐπὶ τὰ[h] καλλίω, τὰς[i] δὲ ἄλλας ἐπὶ τὰ αἰσχίονα μεμιμῆσθαι.[j]

ΝΕ. ΣΩ. Τὰ μὲν ἄλλα, ὦ ξένε, μετρίως ἔοικεν εἰρῆσθαι· τὸ δὲ καὶ[k] ἄνευ νόμων δεῖν ἄρχειν χαλεπώτερον ἀκούειν ἐῤῥήθη.

ΞΕ. Σμικρόν[l] γε ἔφθης με ἐρόμενος, ὦ Σώκρατες. ἔμελ-
II. 294. λον γάρ σε διερωτήσειν ταῦτα πότερον ἀποδέχει πάντα, ἤ τι καὶ δυσχεραίνεις τῶν λεχθέντων· νῦν δὲ ἤδη φανερὸν ὅτι τοῦτο βουλησόμεθα τὸ περὶ τῆς τῶν ἄνευ νόμων ἀρχόντων ὀρθότητος διελθεῖν[m] ἡμᾶς.

ΝΕ. ΣΩ. Πῶς[n] γὰρ οὔ;

ΞΕ. Τρόπον μέντοι τινὰ[o] δῆλον ὅτι τῆς βασιλικῆς ἐστὶν ἡ νομοθετική·[p] τὸ δ' ἄριστον οὐ τοὺς νόμους ἐστὶν ἰσχύειν, ἀλλὰ ἄνδρα τὸν μετὰ φρονήσεως βασιλικόν. οἶσθ' ὅπῃ;

ΝΕ. ΣΩ. Πῇ δὴ λέγεις;

II. ii. 327. ΞΕ. Ὅτι νόμος οὐκ ἄν ποτε δύναιτο τό τε ἄριστον καὶ τὸ δικαιότατον ἀκριβῶς πᾶσιν ἅμα[q] περιλαβὼν τὸ βέλτιστον ἐπιτάττειν·[r] αἱ γὰρ ἀνομοιότητες τῶν τε[s] ἀνθρώπων καὶ τῶν πράξεων καὶ τὸ[t] μηδέποτε μηδὲν ὡς ἔπος εἰπεῖν[u] ἡσυχίαν ἄγειν τῶν ἀνθρωπίνων οὐδὲν ἐῶσιν ἁπλοῦν ἐν οὐδενὶ περὶ ἁπάντων καὶ ἐπὶ πάντα τὸν χρόνον ἀποφαίνεσθαι τέχνην οὐδ' ἡντινοῦν. ταῦτα δὴ συγχωροῦμέν[v] που;

ΝΕ. ΣΩ. Τί μήν;

[b] αὐξῶσιν 𝔄FH, ἀξῶσιν Λ.—[c] ὥσπερ 𝔄Δ et pr Π.—[d] γνησίας 𝔄ΔΠ : γνησίως ς.—[e] οὕτως F.—[f] ἃς μὲν Heindorfius : libri ἀσμένως.—[g] εὐνόμους 𝔄ΓΔΠ et corr Ξ, νόμους εὐλόγους E : εὐλόγους *ς.—[h] ἐπὶ τοὺς ΣΥ, ἔπειτα 𝔄Δ.—[i] τοὺς ΣΥ et fortasse pr Ξ.—[j] μεμιμεῖσθαι 𝔄.—[k] καὶ om EF.—[l] μικρόν 𝔄.—[m] διελθεῖν om Γ.—[n] πῶς...ὅτι om Γ.—[o] τινὰ μέντοι 𝔄ΔΠ.—[p] ἡ νυμοθετικὴ τῆς βασιλικῆς ἐστὶ Γ.—[q] πᾶσιν ἅμα 𝔄Δ Π : ἅμα πᾶσιν *ς.—[r] ἐπιτάττει 𝔄.—[s] τε add 𝔄ΔΠ.—[t] τὸ Ξς : ceteri τοῦ.—[u] ἔπος εἰπεῖν 𝔄ΔΠ : εἰπεῖν ἔπος *ς.—[v] συγχωροῖμεν ΛΗ.—[w] αὐτῷ Η.—[x] ξυντεί-

ταῦτα] Steph. 'Malim ταῦτα jungere sequentibus.' recte. Sed præiverat Ficinus, cujus verba ita ordinata leguntur, *Eram enim percontaturus, utrum hæc admittas omnia.* Fisch.

ΞΕ. Τὸν δέ γε νόμον ὁρῶμεν σχεδὸν ἐπ' αὐτὸ[w] τοῦτο ξυντείνοντα,[x] ὥς πέρ τινα ἄνθρωπον αὐθάδη καὶ ἀμαθῆ καὶ μηδένα[y] μηδὲν ἐῶντα ποιεῖν παρὰ τὴν ἑαυτοῦ τάξιν, μηδ' ἐπερωτᾷν μηδένα, μηδ' ἄν τι νέον ἄρα τῳ ξυμβαίνῃ[z] βέλτιον παρὰ τὸν λόγον ὃν αὐτὸς ἐπέταξεν.[a]

ΝΕ. ΣΩ. Ἀληθῆ· ποιεῖ γὰρ ἀτεχνῶς, καθά περ εἴρηκας νῦν, ὁ νόμος ἡμῖν ἑκάστοις.

ΞΕ. Οὐκοῦν ἀδύνατον εὖ ἔχειν πρὸς τὰ μηδέποτε ἁπλᾶ τὸ διὰ παντὸς γιγνόμενον ἁπλοῦν;

ΝΕ. ΣΩ. Κινδυνεύει.

§. 34. ΞΕ. Διὰ τί δή[b] ποτ' οὖν ἀναγκαῖον νομοθετεῖν, ἐπειδή περ οὐκ ὀρθότατον ὁ νόμος; ἀνευρετέον τούτου τὴν αἰτίαν;

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Οὐκοῦν καὶ παρ' ὑμῖν[c] εἰσί τινες, οἷαι καὶ ἐν ἄλ- II. ii. 328.
λαις πόλεσιν, ἀθρόων[d] ἀνθρώπων ἀσκήσεις, εἴτε πρὸς δρόμον εἴτε πρὸς ἄλλο τι, φιλονεικίας[e] ἕνεκα;

ΝΕ. ΣΩ. Καὶ[f] πάνυ γε πολλαί.

ΞΕ. Φέρε νῦν ἀναλάβωμεν πάλιν μνήμῃ[g] τὰς τῶν τέχνῃ γυμναζόντων ἐπιτάξεις ἐν ταῖς τοιαύταις ἀρχαῖς.[h]

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Ὅτι λεπτουργεῖν οὐκ ἐγχωρεῖν[i] ἡγοῦνται καθ' ἕνα ἕκαστον, τῷ σώματι τὸ προσῆκον ἑκάστῳ προστάττοντες, ἀλλὰ παχύτερον[j] οἴονται δεῖν ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπὶ πολλοὺς τὴν τοῦ λυσιτελοῦντος τοῖς σώμασι ποιεῖσθαι τάξιν.

ναντα ΣΥ.—[y] μηδένα add 𝔄ΔΠ.—[z] τὸ συμβὰν ᾗ 𝔄Δ et pr Π.—[a] ἐπαταξεν (ἐ supra) F.—[b] δὴ om Δ.—[c] ὑμῖν ΓΔΛΞΠΒCEFH : ἡμῖν *ς.—[d] ἁθρόων Λ (qui sic et 554, 2. 9.) ἀθρόον (ω supra) B, ἀθρόον 𝔄Δ : ἀθρόων *ς.—[e] φιλονικίας Ξ.—[f] καὶ om F.—[g] μνήμην E.—[h] μάχαις pr Υ.—[i] ἐγκεχωρεῖν Σ.—[j] ταχύτερον Γ.—[k] καὶ add 𝔄ΔΠ.—[l] κατὰ σώ-

§. 34. ἀρχαῖς] Steph. 'In quodam vet. cod. μάχαις, non ἀρχαῖς. Affertur alioqui et dativus ἀσκήσεσι post τοιαύταις.' Scilicet ἀσκήσεσι erat Cornarii conjectura: sed μάχαις idem Cornarius scriptum repererat in Codice Hassisteniano: quam lectionem ipse judicabat esse omnium verissimam, ita ut per μάχας intelligerentur *exercitationes*, quas contentionis gratia fieri Hospes ante dixisset. Assentior prorsus. Certe ἀρχαῖς commodum sensum non parit. Ficinus videtur verba ἐν ταῖς τοιαύταις ἀρχαῖς conjunxisse cum verbis τῶν τέχνῃ γυμναζόντων. vertit enim, *Age nunc referamus memoria præcepta illorum, qui arte quadam gymnasiis præsunt.* Fisch.

ΝΕ. ΣΩ. Καλῶς.

ΞΕ. Διὸ δή γε καὶ ἴσους πόνους νῦν διδόντες ἀθρόοις ἅμα μὲν ἐξορμῶσιν, ἅμα δὲ καὶ[k] καταπαύουσι δρόμου καὶ πάλης καὶ πάντων τῶν κατὰ σώματα[l] πόνων.

ΝΕ. ΣΩ. Ἔστι ταῦτα.

ΞΕ. Καὶ τὸν νομοθέτην τοίνυν ἡγώμεθα, τὸν ταῖσιν[m] ἀγέλαις ἐπιστατήσοντα τοῦ δικαίου πέρι καὶ τῶν πρὸς ἀλ-
II. 295. λήλους ξυμβολαίων, μή ποθ'[n] ἱκανὸν[o] γενήσεσθαι πᾶσιν ἀθρόοις προστάττοντα ἀκριβῶς ἑνὶ ἑκάστῳ τὸ προσῆκον ἀποδιδόναι.

ΝΕ. ΣΩ. Τὸ γοῦν εἰκός.

II. ii. 329. ΞΕ. Ἀλλὰ τὸ τοῖς πολλοῖς γε, οἶμαι, καὶ ὡς ἐπὶ τὸ πολὺ καί πως οὑτωσὶ[p] παχυτέρως[q] ἑκάστοις τὸν νόμον θήσει, καὶ ἐν γράμμασιν ἀποδιδοὺς καὶ ἐν ἀγραμμάτοις, πατρίοις δὲ ἔθεσι νομοθετῶν.[r]

ΝΕ. ΣΩ. Ὀρθῶς.

ΞΕ. Ὀρθῶς μέντοι. πῶς γὰρ ἄν[s] τις ἱκανὸς γένοιτ' ἄν ποτε, ὦ Σώκρατες, ὥστε[t] διὰ βίου ἀεὶ[u] παρακαθήμενος ἑκάστῳ δι' ἀκριβείας προστάττειν τὸ προσῆκον; ἐπεὶ[v] τοῦτ' ἂν δυνατὸς ὤν, ὡς οἶμαι, τῶν[w] τὴν βασιλικὴν ὁστισοῦν ὄντως ἐπιστήμην εἰληφότων, σχολῇ[x] ποτ' ἂν ἑαυτῷ θεῖτ'[y] ἐμποδίσματα γράφων τοὺς λεχθέντας τούτους νόμους.

ΝΕ. ΣΩ. Ἐκ τῶν νῦν γοῦν, ὦ ξένε, εἰρημένων.

ΞΕ. Μᾶλλον δέ γε, ὦ βέλτιστε, ἐκ τῶν μελλόντων ῥηθήσεσθαι.

ΝΕ. ΣΩ. Τίνων δή;

ΞΕ. Τῶν τοιῶνδε. εἴπωμεν[z] γὰρ δὴ πρός γε ἡμᾶς αὐ-

ματα 𝔄ΔΠ : κατὰ τὰ σώματα *ς.—[m] ταῖσιν ΓΛΞΣΥΒCH, τασιν 𝔄Δ et pr Π : ταῖς ς.—[n] μηπωθ' 𝔄.—[o] ἱκανῶν Γ.—[p] οὕτω Ξ.—[q] ταχυτέρως Γ.—[r] ἔθεσιν ὄντως νομ. Γ.—[s] ἄν om 𝔄ΔΠ.—[t] ὥστε om Υ.—[u] διὰ βίου αἰεὶ 𝔄ΔΠ : ἀεὶ διὰ βίου *ς.—[v] ἐπὶ 𝔄ΔΠ.—[w] τῶν om ΣΥ.—[x] σχολήν Π.—[y] αυτῶ θητ' 𝔄.—[z] εἴπωμεν ΛΞBCFH : εἴπο-

τὸ γοῦν] Steph. 'Malim, τοῦτο γοῦν· nisi dicendum sit, τὸ hic idem valere, quod τοῦτο.' Atque hoc verum esse putamus. Fisch.

τὸ τοῖς] Steph. 'Expungendum puto articulum τό.' Non assentior : nam refertur ad προσῆκον. Sed pro θήσειν reponendum esse θήσει recte censuit, Ficino præeunte idem Stephanus, qui etiam ἀγραμμάτοις tendere ait ad ἔθεσι. Fisch.

ΞΕ. Ὀρθῶς] In Ald. desunt verba quæ jam in Bas. 1. 2. recte addita sunt. Etiam Ficinus ea expressit in versione. Fisch.

εἴπομεν] Steph. 'Reponendum puto εἴπωμεν.' Vere, opinor. Fisch.

τοὺς ἰατρὸν μέλλοντα ἢ καί τινα[a] γυμναστικὸν ἀποδημεῖν καὶ ἀπέσεσθαι[b] τῶν θεραπευομένων συχνόν, ὡς οἴοιτο, χρόνον, μὴ[c] μνημονεύσειν[d] οἰηθέντα τὰ προσταχθέντα τοὺς γυμναζομένους ἢ τοὺς κάμνοντας, ὑπομνήματα γράφειν ἂν ἐθέλειν αὐτοῖς; ἢ πῶς;

ΝΕ. ΣΩ. Οὕτως.

ΞΕ. Τί δαί;[e] εἰ[f] παρὰ δόξαν ἐλάττω χρόνον ἀποδη- II. ii. 330.
μήσας ἔλθοι[g] πάλιν, ἆρ' οὐκ ἂν παρ' ἐκεῖνα τὰ γράμματα τολμήσειεν ἄλλα ὑποθέσθαι,[h] ξυμβαινόντων ἄλλων βελτιόνων τοῖς[i] κάμνουσι διὰ πνεύματα ἤ τι καὶ ἄλλο παρὰ τὴν[j] ἐλπίδα τῶν ἐκ Διὸς ἑτέρως πως τῶν εἰωθότων γενόμενα, καρτερῶν δ' ἂν ἡγοῖτο δεῖν μὴ ἐκβαίνειν τὰ ἀρχαῖά ποτε νομοθετηθέντα μήτε αὐτὸν προστάττοντα ἄλλα[k] μήτε τὸν κάμνοντα ἕτερα τολμῶντα παρὰ τὰ γραφέντα δρᾶν, ὡς ταῦτα ὄντα ἰατρικὰ καὶ ὑγιεινά, τὰ δὲ ἑτέρως[l] γιγνόμενα νοσώδη τε καὶ οὐκ ἔντεχνα; ἢ πᾶν τὸ τοιοῦτον ἔν γε ἐπιστήμῃ ξυμβαῖνον καὶ ἀληθεῖ[m] τέχνῃ περὶ ἅπαντα παντάπασι γέλως ἂν ὁ μέγιστος γίγνοιτο τῶν τοιούτων[n] νομοθετημάτων;

ΝΕ. ΣΩ. Παντάπασι μὲν οὖν.

ΞΕ. Τῷ[o] δὲ δὴ[p] τὰ δίκαια καὶ ἄδικα καὶ[q] καλὰ καὶ αἰσχρὰ καὶ ἀγαθὰ καὶ κακὰ γράψαντι καὶ ἄγραφα νομοθετήσαντι ταῖς τῶν ἀνθρώπων ἀγέλαις, ὁπόσαι κατὰ πόλιν ἐν[r] ἑκάσταις νομεύονται κατὰ τοὺς τῶν γραψάντων νόμους, ἂν ὁ μετὰ τέχνης γράψας ἤ τις ἕτερος ὅμοιος ἀφί-
κηται,[s] μὴ ἐξέστω[t] δὴ παρὰ ταῦτα ἕτερα προστάττειν; ἢ II. 296.
καὶ τοῦτο τὸ ἀπόῤῥημα[u] οὐδὲν ἧττον ἂν ἐκείνου τῇ ἀληθείᾳ γελοῖον φαίνοιτο;

ΝΕ. ΣΩ. Τί μήν; II. ii. 331.

§. 35. ΞΕ. Οἶσθ' οὖν ἐπὶ τῷ τοιούτῳ λόγον τὸν παρὰ τῶν πολλῶν λεγόμενον;

μεν *ς.—[a] τινα om 𝔄ΔΠ.—[b] ἅπτεσθαι Γ.—[c] μὴ om 𝔄Δ et pr Π.—[d] μνημονεύειν ΓΛΣΥBCEFH.—[e] δαὶ Γ, δὴ 𝔄Δ: δέ *ς.—[f] εἰ om Δ.—[g] ἔλθῃ ΞΣΥ.—[h] ὑποθέσθαι 𝔄ΔΠ: ὑποτίθεσθαι *ς.—[i] αὐτοῖς ΣΥ.—[j] τὴν Ξ.—[k] , ἀλλὰ ΓΞΥ. ἕτερον Π.—
ως
[l] ἑτέρα H.—[m] ἀληθῆ ΣΥ et pr Ξ.—[n] τοιούτων om ς.—[o] τὰ δὲ τῷ τὰ ΓΛΣΥBCEFH.—[p] δὴ, a me post δὲ additum, post δίκαια addunt 𝔄ΔΞΠ.—[q] καὶ ante καλὰ om ΞΥ.
αι
—[r] ἐν om ΣΥ.—[s] ἀφίκται Υ.—[t] ἐξέστω F.—[u] ἀπόρημα 𝔄ΔΛΣΥH et pr ΠΕ.—

ΝΕ. ΣΩ. Οὐκ ἐννοῶ νῦν γʼ οὕτως.

ΞΕ. Καὶ[v] μὴν εὐπρεπής. φασὶ γὰρ δὴ δεῖν, εἴ τις γιγνώσκει παρὰ τοὺς[w] τῶν[x] ἔμπροσθεν βελτίους νόμους, νομοθετεῖν τὴν ἑαυτοῦ πόλιν ἕκαστον πείσαντα, ἄλλως δὲ μή.

ΝΕ. ΣΩ. Τί οὖν; οὐκ ὀρθῶς;

ΞΕ. Ἴσως. ἂν δʼ οὖν μὴ πείθων τις[y] βιάζηται τὸ βέλτιον, ἀπόκριναι, τί τοὔνομα τῆς βίας ἔσται; Μὴ μέντοι πω, περὶ δὲ τῶν ἔμπροσθεν πρότερον.

ΝΕ. ΣΩ. Ποῖον δὴ λέγεις;

ΞΕ. Ἄν τις ἄρα μὴ πείθων τὸν ἰατρευόμενον, ἔχων δὲ ὀρθῶς τὴν τέχνην, παρὰ τὰ γεγραμμένα τὸ[z] βέλτιον ἀναγκάζῃ[a] δρᾷν παῖδα ἤ τινʼ ἄνδρα[b] ἢ καὶ γυναῖκα, τί τοὔνομα τῆς βίας ἔσται ταύτης; ἆρʼ οὐ πᾶν μᾶλλον ἢ τὸ παρὰ τὴν τέχνην λεγόμενον ἁμάρτημα τὸ νοσῶδες; καὶ πάντα ὀρθῶς εἰπεῖν ἔστι πρότερον τῷ βιασθέντι περὶ[c] τὸ τοιοῦτον πλὴν ὅτι νοσώδη καὶ ἄτεχνα πέπονθεν ὑπὸ τῶν βιασαμένων ἰατρῶν;

ΝΕ. ΣΩ. Ἀληθέστατα λέγεις.

ΞΕ. Τί[d] δὲ[e] ἡμῖν[f] δὴ τὸ παρὰ τὴν πολιτικὴν τέχνην
π. ii. 332. ἁμάρτημα λεγόμενόν ἐστιν; ἆρʼ οὐ τὸ[g] αἰσχρὸν καὶ κακὸν[h] καὶ ἄδικον;

ΝΕ. ΣΩ. Παντάπασί γε.

ΞΕ. Τῶν δὴ βιασθέντων παρὰ τὰ γεγραμμένα καὶ πάτρια δρᾷν ἕτερα δικαιότερα καὶ ἀμείνω καὶ καλλίω τῶν ἔμπροσθεν, φέρε, τὸν τῶν τοιούτων αὖ ψόγον περὶ τῆς τοιαύτης βίας, ἆρʼ, εἰ μέλλει μὴ καταγελαστότατος εἶναι πάντων, πάντα αὐτῷ μᾶλλον λεκτέον ἑκάστοτε[i] πλὴν ὡς αἰσχρὰ καὶ ἄδικα καὶ κακὰ πεπόνθασιν οἱ βιασθέντες ὑπὸ τῶν βιασαμένων;

[v] ἀλλὰ Eϛ.—[w] τοὺς om pr C.—[x] τῶν om ΣΥ.—[y] μὴ πείθων τις 𝔄ΔΠ, τις μὴ πείθων *ϛ.—[z] τὸ om 𝔄ΔΠ.—[a] ἀνάγκη EF.—[b] τινʼ Γ, ἤ τινʼ ἄνδρα om ΣΥ.—[c] παρὰ F. περὶ —[d] τί....557, 1. λέγεις om pr F.—[e] δαὶ ΓF.—[f] εἰ μὴ 𝔄Δ : ἡμῖν cum *ϛ corr Π.—[g] αὔτω 𝔄Δ : οὐ τὸ cum *ϛ corr Π.—[h] καὶ κακὸν 𝔄ΔΠ : καὶ τὸ κακὸν *ϛ.—[i] ἑκά-

§. 35. ἀλλὰ μὴν] Steph. 'Legitur etiam καὶ μὴν εὐπρεπής.' Videlicet in Bas. 2. recte. Fisch.

τί οὖν οὐκ ὀρθ.] Steph. 'Malim Τί οὖν; οὐκ ὀρθῶς.' recte. Fisch.

λεγόμενον] For. scribendum λέγοιμεν, ut interpungas post τέχνην. Item ἁμάρτημά τι. Steph.

ΝΕ. ΣΩ. Ἀληθέστατα λέγεις.

ΞΕ. Ἀλλ᾽ ἆρα ἐὰν μὲν πλούσιος ὁ βιασάμενος ᾖ, δί-
καια, ἂν δ᾽ ἄρα πένης, ἄδικα τὰ βιασθέντα ἐστίν; ἢ κἂν
πείσας κἂν μὴ πείσας τις, πλούσιος ἢ πένης, ἢ κατὰ γράμ-
ματα ἢ παρὰ γράμματα, δρᾷ τὰ ξύμφορα,[j] τοῦτον δεῖ[k]
καὶ περὶ ταῦτα τὸν ὅρον εἶναι τόν γε ἀληθινώτατον ὀρθῆς
πόλεως διοικήσεως,[l] ὃν[m] ὁ σοφὸς καὶ ἀγαθὸς ἀνὴρ[n] διοική-
σει τὸ τῶν ἀρχομένων; ὥς περ ὁ κυβερνήτης τὸ τῆς νεὼς
καὶ ναυτῶν ἀεὶ ξυμφέρον παραφυλάττων, οὐ γράμματα II. 297.
τιθεὶς ἀλλὰ τὴν[o] τέχνην νόμον παρεχόμενος, σώζει τοὺς
συνναύτας, οὕτω καὶ κατὰ τὸν αὐτὸν τρόπον τοῦτον παρὰ
τῶν οὕτως[p] ἄρχειν δυναμένων ὀρθὴ γίγνοιτ᾽ ἂν πολιτεία,
τὴν τῆς τέχνης[q] ῥώμην τῶν νόμων παρεχομένων κρείττω; II. ii. 333.
καὶ πάντα ποιοῦσι τοῖς ἔμφροσιν ἄρχουσιν οὐκ ἔστιν ἁμάρ-
τημα,[r] μέχρι περ ἂν ἓν[s] μέγα φυλάττωσι, τὸ μετὰ νοῦ
καὶ τέχνης δικαιότατον ἀεὶ διανέμοντες τοῖς ἐν τῇ πόλει,
σώζειν τε αὐτοὺς οἷοί τε ὦσι καὶ ἀμείνους ἐκ χειρόνων
ἀποτελεῖν κατὰ τὸ δυνατόν;

ΝΕ. ΣΩ. Οὐκ ἔστ᾽ ἀντειπεῖν[t] παρά γε ἃ νῦν εἴρηται.

ΞΕ. Καὶ μὴν[u] πρὸς ἐκεῖνα οὐδὲ ἀντιῤῥητέον.

§. 36. ΝΕ. ΣΩ. Τὰ ποῖα εἶπες;

ΞΕ. Ὡς οὐκ ἄν ποτε πλῆθος οὐδ᾽ ὡντινωνοῦν τὴν τοιαύ-
την λαβὸν[v] ἐπιστήμην οἷόν τ᾽ ἂν γένοιτο μετὰ νοῦ διοικεῖν
πόλιν, ἀλλὰ περὶ[w] σμικρόν τι[x] καὶ ὀλίγον καὶ τὸ ἕν ἐστι
ζητητέον τὴν μίαν ἐκείνην πολιτείαν τὴν ὀρθήν, τὰς δ᾽[y] ἄλ-
λας μιμήματα θετέον, ὥς περ καὶ ὀλίγον πρότερον ἐῤῥήθη,

στοτε om F.—[j] μὴ ξύμφορα ἢ ξύμφορα 𝔄ΓΔΛΞΠΒCH, μὴ ξύμφορα ἢ ἀξύμφορα EF, μὴ ξύμφορα ΣΥ.—[k] δὴ ΓΛΞΣΥΒCEFH.—[l] διοικήσεως om Δ et pr Π.—[m] ἓν (ὃν) E, ἓν Υ.—[n] ἀνὴρ καὶ ἀγαθὸς F.—[o] τὴν om ΣΥ.—[p] ὄντως ΞΗ.—[q] τέχνην 𝔄.—[r] ἁμαρτήματα F.—[s] ἓν om Γ.—[t] ἔστιν εἰπεῖν Γ.—[u] post μὴν omisi καὶ cum 𝔄ΓΔΛΠΒCEFH.—[v] λαβεῖν Σ, λαβὴν Υ.—[w] ἀλλὰ καὶ περὶ Π.—[x] τι 𝔄ΔΠCH, τι Λ, τε B: τε ς.—

δρᾷ τὰ ξύμφορα] Steph. 'Agnoscit et Ficinus hanc lectionem, δρᾷ τὰ ξύμφορα, τοῦτον δεῖ καὶ κ. λ. quum in superioribus editionibus [Ald. Bass. 1. 2.] male scriptum sit, δρᾷ μὴ ξύμφορα, ἢ ἀξύμφορα, item δὴ pro δεῖ.' Recte. Verum quoque est, superiorem illam lectionem expressam esse a Ficino in versione, quippe in qua est, *modo utilia inducat, dicendum est*—. Sed hausit Steph. alteram lectionem, e Cornario, qui locum ita, ut Steph. edidit, constituendum docuit. Fisch.

ὥσπερ] For. καὶ ὥσπερ, etc. Intell. autem ὃν in præced. pro καθ᾽ ὅν. Steph.

οὐδὲ] Steph. 'Malim οὐδέν' recte, credo. Fisch.

τὰς μὲν[z] ἐπὶ τὰ καλλίονα, τὰς δὲ ἐπὶ τὰ αἰσχίω μιμουμένας ταύτην.

ΝΕ. ΣΩ. Πῶς τί τοῦτ' εἴρηκας; οὐδὲ γὰρ ἄρτι δῆθεν κατέμαθον τὸ[a] περὶ τῶν μιμημάτων.

ΞΕ. Καὶ μὴν οὐ φαῦλόν γε,[b] ἂν κινήσας τις τοῦτον[c] τὸν λόγον αὐτοῦ καταβάλῃ[d] καὶ μὴ διελθὼν ἐνδείξηται τὸ[e] νῦν[f] γιγνόμενον ἁμάρτημα περὶ αὐτό.[g]

ΝΕ. ΣΩ. Ποῖον δή;

ΞΕ. Τοιόνδε τι δεῖ γε ζητεῖν, οὐ πάνυ ξύνηθες οὐδὲ ῥᾴ-
II. ii. 334. διον ἰδεῖν· ὅμως μὴν πειρώμεθα λαβεῖν αὐτό. φέρε γάρ· ὀρθῆς ἡμῖν μόνης οὔσης[h] ταύτης τῆς πολιτείας, ἣν εἰρήκαμεν, οἶσθ' ὅτι τὰς ἄλλας δεῖ τοῖς ταύτης συγγράμμασι χρωμένας[i] οὕτω σώζεσθαι, δρώσας τὸ νῦν ἐπαινούμενον, καίπερ οὐκ ὀρθότατον ὄν;

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Τὸ παρὰ τοὺς νόμους μηδὲν[j] μηδένα τολμᾶν ποιεῖν τῶν ἐν τῇ πόλει, τὸν τολμῶντα δὲ θανάτῳ ζημιοῦσθαι καὶ πᾶσι τοῖς ἐσχάτοις. καὶ τοῦτ' ἔστιν ὀρθότατα καὶ κάλλιστ' ἔχον, ὡς δεύτερον, ἐπειδὰν τὸ πρῶτόν τις μεταθῇ τὸ νῦν δὴ[k] ῥηθέν. ᾧ δὲ τρόπῳ γεγονός ἐστι τοῦτο ὃ δὴ[l] δεύτερον ἐφήσαμεν, διαπερανώμεθα. ἦ γάρ;

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

§. 37. ΞΕ. Εἰς δὴ τὰς εἰκόνας[m] ἐπανίωμεν πάλιν, αἷς ἀναγκαῖον ἀπεικάζειν ἀεὶ[n] τοὺς βασιλικοὺς ἄρχοντας.

ΝΕ. ΣΩ. Ποίας;

ΞΕ. Τὸν γενναῖον κυβερνήτην καὶ τὸν ἑτέρων πολλῶν

[y] δ' om 𝔄ΔΠ.—[z] τὰ μὲν Γ.—[a] τὰ Σ, om ς.—[b] οὔτε γε φαῦλον ἂν Γ.—[c] τοῦτον 𝔄ΓΔΛΞΠΒCH: τοιοῦτον ς.—[d] καταβάλλῃ ΞΠ.—[e] ταυτὸ Γ.—[f] νῦν 𝔄ΔΞΠΣΥ: νυνὶ *ς.—[g] περὶ αὐτὸ om Δ.—[h] δοκούσης εἶναι pr F.—[i] χρωμένοις Γ.—[j] μηδὲν om E.—[k] δὴ νῦν ΞΣ.—[l] δη ὃ Γ.—[m] ἐκείνας ΣΥEF.—[n] ἀεὶ om Λ.—[o] διανοηθεῖμεν 𝔄Δ

§. 36. *πῶς τί*] Post adverb. *πῶς* sistendam puto orationem. Sic autem et alibi loquutus est. Paulo post alia etiam est lectio, *τὸ περὶ τῶν μιμημάτων*. Steph.

At sæpissime sic conjungi solent duæ interrogationes a Platone, ut ostendimus alibi: qui ea in re sequutus est consuetudinem sermonis quotidiani. vid. ad Soph. §. xlv. 5. Fisch.

τὸ περὶ τῶν] Ita edidimus e Bas. 2. pro *περὶ τῶν μιμημάτων*, ut legitur in Ald. Bas. 1. Steph. Nam ut rem ipsam et leges grammaticas videbamus inseri jubere articulum *τὸ*, ita nec Ficinum credebamus aliter scriptum suis in libris invenisse: vertit enim, *neque enim, quod de imitando paulo ante dixisti, satis tum intellexi*. Fisch.

καταβάλῃ] Ald. Bas. 1. *καταβάλοι* male: quum sequatur *ἐνδείξηται*. Fisch.

ἀντάξιον ἰατρόν. κατίδωμεν γὰρ δή τι σχῆμα ἐν τούτοις αὐτοῖς πλασάμενοι.

ΝΕ. ΣΩ. Ποῖόν τι;

ΞΕ. Τοιόνδε, οἷον εἰ πάντες περὶ αὐτῶν διανοηθεῖμεν[o] II. ii. 335. II. 298.
ὅτι δεινότατα ὑπ' αὐτῶν πάσχομεν. ὃν μὲν γὰρ ἂν ἐθελήσωσιν ἡμῶν τούτων ἑκάτεροι σώζειν, ὁμοίως δὴ σώζουσιν, ὃν δ' ἂν λωβᾶσθαι[p] βουληθῶσι, λωβῶνται τέμνοντες καὶ κάοντες[q] καὶ προστάττοντες ἀναλώματα φέρειν παρ' ἑαυτοὺς οἷον φόρους, ὧν σμικρὰ μὲν εἰς τὸν κάμνοντα καὶ οὐδὲν ἀναλίσκουσι, τοῖς δ' ἄλλοις αὐτοί τε καὶ οἱ[r] οἰκέται χρῶνται· καὶ δὴ καὶ τελευτῶντες ἢ παρὰ ξυγγενῶν ἢ παρά τινων ἐχθρῶν τοῦ κάμνοντος χρήματα μισθὸν λαμβάνοντες ἀποκτιννύασιν.[s] οἵ τ' αὖ κυβερνῆται μυρία ἕτερα τοιαῦτα ἐργάζονται, καταλείποντές[t] τε[u] ἔκ τινος ἐπιβουλῆς ἐν ταῖς ἀναγωγαῖς[v] ἐρήμους, καὶ σφάλματα ποιοῦντες ἐν τοῖς πελάγεσιν ἐκβάλλουσιν εἰς τὴν θάλατταν,[w] καὶ ἕτερα κακουργοῦσιν. εἰ δὴ ταῦτα διανοηθέντες βουλευσαίμεθα περὶ αὐτῶν βουλήν τινα, τούτων τῶν τεχνῶν μηκέτι ἐπιτρέπειν ἄρχειν αὐτοκράτορι μηδετέρᾳ μήτ' οὖν δούλων μήτ' ἐλευθέρων, ξυλλέξαι δὲ ἐκκλησίαν ἡμῶν αὐτῶν,[x] ἢ[y] ξύμπαντα τὸν δῆμον ἢ τοὺς πλουσίους μόνον, ἐξεῖναι δὲ καὶ ἰδιωτῶν καὶ τῶν ἄλλων δημιουργῶν περί τε πλοῦ[z] καὶ περὶ νόσων
γνώμην ξυμβαλέσθαι,[a] καθ' ὅ τι χρὴ τοῖς φαρμάκοις II. ii. 336.
ἡμᾶς[b] καὶ τοῖς ἰατρικοῖς ὀργάνοις πρὸς τοὺς κάμνοντας[c] χρῆσθαι, καὶ δὴ καὶ τοῖς πλοίοις τε αὐτοῖς καὶ τοῖς ναυτι-

Π: διανοηθείημεν *ς.—[p] λωβῆσαι ΣΥ.—[q] κάοντες ℵΔΠ: καίοντες ς.—[r] οἱ om ΣΥ.—[s] ἀποκτιννύουσι Η, ἀποτινύουσιν Γ.—[t] καταλείποντες CH et corr B: καταλιπόν-
ττ
τες *ς.—[u] τε om ΣΥ.—[v] ἀγωγαῖς F.—[w] θάλασσαν C, θάλασσαν ΓEF.—[x] αὐτῶν om ΣΥ.—[y] ἢ om pr Ξ.—[z] νοῦ Γ.—[a] συμβαλέσθαι ℵΔ, συμβάλεσθαι Π: ξυμβάλλεσθαι *ς.—[b] ἡμᾶς om Γ.—[c] περὶ τοὺς κάμνοντας Γ, εἰς τὴν τῶν πλοίων ΣΥ.—

καίοντες] Leg. *κάοντες*, ut supra. Sed librarii recentiores hujus quoque verbi, ut multorum aliorum, formam Atticam in communem mutarunt locis innumeris. Fisch.

τούτων τῶν τεχνῶν] Hos genitivos jungo potius sequentibus quam præcedentibus interpungendo post *τινά*. Nam *αὐτῶν* puto referri ad illa, *ταῦτα διανοηθέντες*: et hanc proponi *βουλήν*, ut neutri harum artium permittatur *ἄρχειν αὐτοκράτορι*. etc. Steph.

Ita interpunximus, admonitu Stephani, ut lectores viderent eo facilius, verba *τούτων τῶν τεχνῶν* cohærere cum *μηδετέρᾳ*. Fisch.

κοῖς ὀργάνοις εἰς τὴν τῶν πλοίων χρείαν καὶ περὶ[d] τοὺς κινδύνους τούς τε πρὸς αὐτὸν τὸν πλοῦν ἀνέμων καὶ θαλάττης πέρι[e] καὶ πρὸς τὰς τοῖς λησταῖς ἐντεύξεις, καὶ ἐὰν ναυμαχεῖν ἄρα δέῃ[f] που μακροῖς πλοίοις πρὸς ἕτερα τοιαῦτα· τὰ δὲ τῷ πλήθει δόξαντα περὶ τούτων, εἴτε τινῶν ἰατρῶν[g] καὶ κυβερνητῶν εἴτ' ἄλλων ἰδιωτῶν ξυμβουλευόντων, γράψαντας[h] ἐν κύρβεσί τισι καὶ στήλαις, τὰ δὲ καὶ ἄγραφα[i] πάτρια θεμένους ἔθη, κατὰ ταῦτ' ἤδη πάντα[j] τὸν ἔπειτα χρόνον ναυτίλλεσθαι καὶ τὰς τῶν καμνόντων θεραπείας ποιεῖσθαι.

ΝΕ. ΣΩ. Κομιδῇ γε εἴρηκας ἄτοπα.

ΞΕ. Κατ' ἐνιαυτὸν δέ γε ἄρχοντας καθίστασθαι τοῦ[k] πλήθους, εἴτε ἐκ τῶν πλουσίων εἴτε ἐκ τοῦ δήμου παντός, ὃς ἂν κληρούμενος λαγχάνῃ· τοὺς δὲ[l] καταστάντας ἄρχοντας ἄρχειν κατὰ τὰ γράμματα κυβερνῶντας τὰς ναῦς καὶ τοὺς κάμνοντας ἰωμένους.

ΝΕ. ΣΩ. Ταῦτ' ἔτι[m] χαλεπώτερα.

§. 38. ΞΕ. Θεῶ δὴ καὶ τὸ μετὰ ταῦτα ἑπόμενον.
II. ii. 337. ἐπειδὰν γὰρ δὴ τῶν ἀρχόντων ἑκάστοις ὁ ἐνιαυτὸς ἐξέλθῃ, δεήσει δικαστήρια καθίσαντας[n] ἀνδρῶν, ἢ τῶν πλουσίων[o]
II. 299. ἐκ προκρίσεως ἢ ξύμπαντος αὖ τοῦ[p] δήμου τοὺς λαχόντας, εἰς τούτους εἰσάγειν τοὺς ἄρξαντας καὶ εὐθύνειν, κατηγορεῖν δὲ τὸν βουλόμενον ὡς οὐ κατὰ τὰ[q] γράμματα τὸν ἐνιαυτὸν ἐκυβέρνησε τὰς ναῦς οὐδὲ κατὰ τὰ παλαιὰ τῶν προγόνων ἔθη· τὰ αὐτὰ[r] δὲ ταῦτα καὶ περὶ τῶν τοὺς κάμνοντας ἰωμένων. ὧν δ' ἂν καταψηφισθῇ, τιμᾷν ὅ τι χρὴ παθεῖν αὐτῶν τινὰς ἢ ἀποτίνειν.

[d] περὶ ℨΔΠ : πρὸς ς.—[e] πέρι om H.—[f] δεῖν ℨΔ : δέῃ cum ς corr Π.—[g] ἰατρῶν om H.—[h] γράψαντες Ξ.—[i] ἄγραφα om ΣΥ.—[j] ταῦτ' ἤδη πάντα ℨΓΔΞΠBC, πάντα ΛΣΥEFH : ταῦτ' ἤδη ς.—[k] τῶν ΣΥF.—[l] δὲ om Γ.—[m] ἔστι ΣΥF.—[n] καθίσαντας Π,
ου ων
καθήσαντας ℨΔ : καθιστάντας *ς.—[o] πλησίον EF.—[p] αὐτοῦ ΞE, αὐτοῦ τοῦ ℨΔΠ.—[q] τὰ om Δ.—[r] ταυτα ℨ.—[s] ἐθέλων ℨΔΠ : θέλων *ς.—[t] πνεῦμά ℨΔ et pr Π.—

κύρβεσι] Timæus Κύρβις· στήλη τρίγωνος πυραμοειδὴς νόμους ἔχουσα περὶ θεῶν. Schol. August. κύρβεσι· τρίγωνοι πίνακες ἐν οἷς οἱ περὶ τῶν ἱερῶν νόμοι·— ἄξονες δὲ τετράγωνοι ἐν οἷς οἱ περὶ τῶν ἰδιωτικῶν· τινὲς δὲ ἀδιάφορα ταῦτα φασίν. Vid. Ammon. in v. Ἄξονες, et Suid. in v. Κύρβεις. Fisch.

τὰ δὲ ἄγραφα] Ald. Bas. 1. 2. τὰ δὲ καὶ ἄγραφα. Fisch.

κατὰ τὰ γράμματα] Melius fortasse verba hæc κατὰ τὰ γράμματα jungentur sequentibus. Steph.

ΝΕ. ΣΩ. Οὐκοῦν ὅ γ' ἐθέλων[s] καὶ ἑκὼν ἐν τοῖς τοιούτοις ἄρχειν δικαιότατ' ἂν ὁτιοῦν πάσχοι καὶ ἀποτίνοι;

ΞΕ. Καὶ τοίνυν ἔτι δεήσει θέσθαι νόμον ἐπὶ πᾶσι τούτοις, ἄν τις κυβερνητικὴν καὶ τὸ ναυτικὸν ἢ τὸ ὑγιεινὸν καὶ ἰατρικῆς ἀλήθειαν περὶ πνεύματά[t] τε καὶ θερμὰ καὶ ψυχρὰ ζητῶν[u] φαίνηται παρὰ τὰ γράμματα καὶ σοφιζόμενος ὁτιοῦν περὶ τὰ τοιαῦτα, πρῶτον μὲν[v] μήτε ἰατρικὸν αὐτὸν μήτε κυβερνητικὸν ὀνομάζειν[w] ἀλλὰ μετεωρολόγον ἀδολέσχην[x] τινὰ σοφιστήν, εἶθ' ὡς διαφθείροντα ἄλλους[y] νεωτέρους καὶ ἀναπείθοντα ἐπιτίθεσθαι κυβερνητικῇ καὶ ἰατρικῇ μὴ κατὰ νόμους, ἀλλ' αὐτοκράτορας ἄρχειν τῶν II. ii. 338. πλοίων καὶ τῶν νοσούντων, γραψάμενον εἰσάγειν τὸν βουλόμενον, οἷς ἔξεστιν, εἰς δή τι δικαστήριον· ἂν δὲ παρὰ τοὺς νόμους[z] καὶ τὰ γεγραμμένα δόξῃ[a] πείθειν[b] εἴτε νέους εἴτε πρεσβύτας, κολάζειν τοῖς ἐσχάτοις. οὐδὲν γὰρ δεῖν[c] τῶν νόμων εἶναι σοφώτερον· οὐδένα γὰρ ἀγνοεῖν τό τε ἰατρικὸν καὶ τὸ ὑγιεινὸν οὐδὲ τὸ κυβερνητικὸν καὶ ναυτικόν·[d] ἐξεῖναι γὰρ τῷ βουλομένῳ μανθάνειν γεγραμμένα καὶ πάτρια ἔθη κείμενα. ταῦτα δὴ περί τε ταύτας τὰς ἐπιστήμας εἰ γίγνοιτο οὕτως ὡς λέγομεν, ὦ Σώκρατες, καὶ στρατηγικῆς καὶ ξυμπάσης ἡστινοσοῦν θηρευτικῆς καὶ γραφικῆς ἢ[e] ξυμπάσης μέρος ὁτιοῦν[f] μιμητικῆς καὶ τεκτονικῆς καὶ[g] ξυνόλης[h] ὁποιασοῦν σκευουργίας ἢ καὶ γεωργίας καὶ τῆς περὶ τὰ φυτὰ ξυνόλης τέχνης,[i] ἢ καί τινα ἱπποφορβίαν αὖ[j] κατὰ συγγράμματα θεασαίμεθα γιγνομένην ἢ ξύμπασαν[k] ἀγελαιοκομικὴν[l] ἢ μαντικὴν ἢ πᾶν ὅ τι μέρος διακονικὴ περιείληφεν, ἢ πεττείαν ἢ ξύμπασαν ἀριθμητικήν,

[u] ζητῶν om ΣΥ.—[v] μὲν om ⅡΔΠ.—[w] ὀνομάζῃ ⅡΔΠ.—[x] ἀδολέσχῃ Δ, ἢ ἀδολέσχην F.—[y] διαφθ. τοὺς ἄλλους F.—[z] νόμους om ΣΥ.—[a] δείξῃ ΣΥ.—[b] παθεῖν Δ.—[c] δεῖ ΣΥEF.—[d] καὶ τὸ ναυτικὸν Γ, ἢ ναυτικόν F.—[e] ἢ add Ⅱ et pr Π, καὶ Λ.—[f] μέρος ὁτιοῦν ⅡΔΠ: ὁτιοῦν μέρος *ς.—[g] καὶ ante ξυνόλης om F.—[h] ξυνόλης...φυτὰ om ΣΥ.—[i] τῆς τέχνης ⅡΔΠ.—[j] αὖ om ΔΣΥ.—[k] ξ ΓC, σ. Ξ.—[l] ἀγελαιονομικὴν pr Ξ.

§. 38. θερμὰ] Ald. Bas. 1. θερμὰν καὶ ψυχράν· mendose. Fisch.

μετεωρολόγον] For. μετεωρολόγον καὶ ἀδολέσχην. Saltem inter hæc duo interpungendum esse videtur. Steph. Præivit versio Ficini, *curiosum quendam delirumque sophistam*: posteriorem rationem arbitror veram esse. Fisch.

δεῖν] Ald. Bas. 1. 2. δεῖ· male. Fisch.

ὡς λέγομεν] In Bas. 2. deest ὡς· male. Fisch.

ψιλὴν, εἴτε ἐπίπεδον εἴτε ἐν βάθεσιν εἴτε ἐν πάχεσιν[m] οὖσάν που,—περὶ ἅπαντα ταῦτα οὕτω πραττόμενα τί ποτ' ἂν φανείη, κατὰ τὰ[n] συγγράμματα γιγνόμενα καὶ μὴ κατὰ τέχνην;

II. ii. 339. ΝΕ. ΣΩ. Δῆλον ὅτι πᾶσαι[o] αἱ τέχναι παντελῶς ἂν ἀπόλοινθ'[p] ἡμῖν, καὶ οὐδὲ εἰσαῦθις[q] γένοιντ'[r] ἄν ποτε διὰ τὸν ἀποκωλύοντα τοῦτον[s] ζητεῖν νόμον· ὥς τε ὁ βίος, ὢν καὶ[t] νῦν χαλεπός, εἰς τὸν χρόνον ἐκεῖνον ἀβίωτος[u] γίγνοιτ'
II. 300. ἂν τὸ παράπαν.

§. 39. ΞΕ. Τί δαὶ[v] τόδε; εἰ κατὰ συγγράμματα μὲν ἀναγκάζοιμεν[w] ἕκαστον γίγνεσθαι τῶν εἰρημένων καὶ τοῖς συγγράμμασιν ἡμῶν ἐπιστατεῖν[x] τὸν χειροτονηθέντα ἢ λαχόντα ἐκ τύχης, οὗτος δὲ μηδὲν φροντίζων τῶν γραμμάτων[y] ἢ κέρδους ἕνεκά[z] τινος ἢ χάριτος ἰδίας παρὰ ταῦτα ἐπιχειροῖ[a] δρᾶν ἕτερα, μηδὲν γιγνώσκων, ἆρα οὐ τοῦ κακοῦ τοῦ πρόσθε[b] μεῖζον ἂν ἔτι τοῦτο γίγνοιτο κακόν;[c]

ΝΕ. ΣΩ. Ἀληθέστατα.[d]

ΞΕ. Παρὰ γὰρ οἶμαι τοὺς νόμους τοὺς ἐκ πείρας πολλῆς κειμένους καί τινων ξυμβούλων[e] ἕκαστα χαριέντως ξυμβουλευσάντων καὶ πεισάντων[f] θέσθαι τὸ πλῆθος, ὁ παρὰ ταῦτα τολμῶν δρᾶν, ἁμαρτήματος ἁμάρτημα πολλαπλάσιον ἀπεργαζόμενος, ἀνατρέποι[g] πᾶσαν ἂν πρᾶξιν ἔτι μειζόνως τῶν ξυγγραμμάτων.

ΝΕ. ΣΩ. Πῶς δ' οὐ μέλλει;

ΞΕ. Διὰ ταῦτα δὴ[h] τοῖς περὶ ὁτουοῦν[i] νόμους καὶ

π
—[m] τάχεσιν E, πάσχεσιν H: τάχεσιν *ς.—[n] τὰ om 𝔄ΔΠCH, delet B.—[o] πᾶσαι ΔF et pr Π: πᾶσαί τε *ς.—[p] ἀπόλονθ' Γ.—[q] οὐδεὶς αὖθις 𝔄.—[r] γένοιντ' ΓΛΣΥBC FH, γίγνοιτ' Δ: γένοιτ' ς.—[s] τοῦτο Π.—[t] βιώσων καὶ 𝔄Δ.—[u] ἀβιώτατον H.—[v] δαὶ Γ.—[w] ἀναγκάζομεν Π et pr B.—[x] ἡμῶν ἐπιστατεῖν 𝔄ΔΠ: ἐπιστατεῖν ἡμῶν
γ μ
*ς.—[y] πραγμάτων ΛΞΣΥEF, πραγμάτων BC.—[z] ἕνεκέν 𝔄.—[a] ἐπιχειρεῖ ΓΛΞΣΥBEH et mg F, ἐπιχερεῖ C, ἐπιχεῖ F.—[b] πρόσθε Γ: πρόσθεν *ς.—[c] κακόν τι 𝔄ΔΠ.—[d] post ἀληθέστατα omisi γε cum 𝔄ΔΠ.—[e] ξυμβόλων ΣΥ.—[f] πεισάντων 𝔄Δ et pr Π: ξυμπεισάντων *ς.—[g] ἀνατρέπει ΥEF.—[h] δὴ om 𝔄ΔΠ.—[i] ὅτ' οὖν 𝔄.—[j] ἂν om

πέττειαν] Timæus Πεττία· ἡ διὰ ψήφων παιδιά—. Fisch.

ἐν τάχεσιν] Legit et Fic. τάχεσιν, non πάχεσιν: sed addit et ipse oppositum: vertit enim, *arithmeticam quæ circa velocitatem tarditatemque est*. Steph.

§. 39. ἐπιχειροῖ] Ald. Bas. 1. 2. ἐπιχειρεῖ· male. Ficinus, *tentet*. Fisch.

ἀνατρέποι] Ald. Bas. 1. 2. ἀνατρέπει· male. Ficinus, *confundit atque pervertit*. Fisch.

ξυγγράμματα τιθεμένοις δεύτερος πλοῦς τὸ παρὰ ταῦτα μήτε ἕνα μήτε πλῆθος μηδὲν μηδέποτε ἐᾶν δρᾶν μηδ' ὁτιοῦν. II. ii. 340.

ΝΕ. ΣΩ. Ὀρθῶς.

ΞΕ. Οὐκοῦν μιμήματα μὲν ἂν[j] ἑκάστων[k] ταῦτ'[l] εἴη τῆς ἀληθείας, τὰ παρὰ τῶν εἰδότων εἰς δύναμιν εἶναι γεγραμμένα;

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;

ΞΕ. Καὶ μὴν τόν γε εἰδότα ἔφαμεν, τὸν ὄντως πολιτικόν, εἰ μεμνήμεθα, ποιήσειν τῇ τέχνῃ πολλὰ εἰς τὴν αὑτοῦ πρᾶξιν τῶν γραμμάτων οὐδὲν φροντίζοντα, ὁπόταν ἄλλ' αὐτῷ βελτίω δόξῃ[m] παρὰ τὰ γεγραμμένα ὑφ' αὑτοῦ[n] καὶ ἐπεσταλμένα[o] ἀποῦσί τισιν.

ΝΕ. ΣΩ. Ἔφαμεν γάρ.

ΞΕ. Οὐκοῦν ἀνὴρ[p] ὁστισοῦν εἷς ἢ πλῆθος ὁτιοῦν, οἷς ἂν νόμοι κείμενοι τυγχάνωσι, παρὰ ταῦτα ὅ τι ἂν[q] ἐπιχειρήσωσι[r] ποιεῖν ὡς βέλτιον[s] ἕτερον ὄν,[t] ταὐτὸν δρῶσι κατὰ δύναμιν ὅπερ ὁ ἀληθινὸς ἐκεῖνος;

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Ἆρ' οὖν εἰ[u] μὲν ἀνεπιστήμονες ὄντες τὸ[v] τοιοῦτον δρῷεν,[w] μιμεῖσθαι μὲν ἂν ἐπιχειροῖεν[x] τὸ ἀληθές, μιμοῖντ' ἂν μέντοι πᾶν κακῶς· εἰ δ' ἔντεχνοι, τοῦτο οὐκ ἔστιν ἔτι μίμημα,[y] ἀλλ' αὐτὸ τὸ ἀληθέστατον ἐκεῖνο;

ΝΕ. ΣΩ. Πάντως που.[z] II. ii. 341.

ΞΕ. Καὶ μὴν ἔμπροσθέ[a] γε ὡμολογημένον ἡμῖν κεῖται μηδὲν πλῆθος μηδ' ἡντινοῦν δυνατὸν εἶναι λαβεῖν[b] τέχνην.

ΝΕ. ΣΩ. Κεῖται γὰρ οὖν.[c]

ΞΕ. Οὐκοῦν εἰ μὲν ἔστι βασιλική τις τέχνη, τὸ τῶν πλουσίων πλῆθος καὶ ὁ ξύμπας δῆμος οὐκ ἄν ποτε λάβοι[d] τὴν πολιτικὴν ταύτην ἐπιστήμην.

ΝΕ. ΣΩ. Πῶς γὰρ ἄν;

ΓΣΥ.—[k] ἑκάστῳ ΓΕ.—[l] ταῦτ' Γ.—[m] δόξῃ βελτίω Γ.—[n] ὑπ' αὐτοῦ Γ.—[o] ἐπεστάλκαμεν F.—[p] ὁ ἀνὴρ Γ.—[q] ὅτι παρὰ ταῦτ' ἂν Γ.—[r] ὅταν ἐπιχειρῶσι 𝔄ΔΠ.—[s] βέλτιστον 𝔄ΔΠ.—[t] ὂν om 𝔄ΔΠ.—[u] οἱ Σ et fortasse pr Υ.—[v] τὸ om 𝔄ΔΠ.—[w] δρῶμεν Γ.—[x] ἐπιχειροῖμεν ς.—[y] ἐπιτίμημα ΓΛΥΕ.—[z] πάντως που om ΣΥ.—[a] ἔμπροσθε 𝔄Γ ΔΠ : ἔμπροσθέν *ς.—[b] δυνατὸν εἶναι λαβεῖν 𝔄ΔΠ : λαβεῖν δυνατὸν εἶναι *ς.—

ἐπιχειροῖεν] Steph. ἐπιχειροῖμεν· pro quo reposuimus ex Ald. Bas. 1. 2. ἐπιχειροῖεν, serie orationis jubente. Etiam Ficinus, *anniterentur*. Fisch.

ΞΕ. Δεῖ δὴ τὰς τοιαύτας γε, ὡς ἔοικε, πολιτείας, εἰ μέλλουσι καλῶς τὴν ἀληθινὴν ἐκείνην τὴν τοῦ ἑνὸς μετὰ
II. 301. τέχνης ἄρχοντος πολιτείαν εἰς δύναμιν μιμήσεσθαι,[e] μηδέποτε κειμένων αὐτοῖς τῶν νόμων[f] μηδὲν ποιεῖν παρὰ τὰ γεγραμμένα καὶ πάτρια ἔθη.

ΝΕ. ΣΩ. Κάλλιστα εἴρηκας.

ΞΕ. Ὅταν ἄρα οἱ πλούσιοι ταύτην μιμῶνται, τότε ἀριστοκρατίαν καλοῦμεν τὴν τοιαύτην πολιτείαν· ὁπόταν[g] δὲ τῶν νόμων μὴ φροντίζωσιν,[h] ὀλιγαρχίαν.

ΝΕ. ΣΩ. Κινδυνεύει.

ΞΕ. Καὶ μὴν[i] ὁπόταν αὖθις εἷς ἄρχῃ κατὰ νόμους, μιμούμενος τὸν ἐπιστήμονα, βασιλέα καλοῦμεν, οὐ[j] διορίζοντες ὀνόματι τὸν μετ' ἐπιστήμης ἢ δόξης κατὰ νόμους μοναρχοῦντα.

II. ii. 342. ΝΕ. ΣΩ. Κινδυνεύομεν.

ΞΕ. Οὐκοῦν[k] κἂν τις ἄρα ἐπιστήμων ὄντως ὢν εἷς ἄρχῃ, πάντως τό γε ὄνομα ταὐτὸν βασιλεὺς καὶ οὐδὲν ἕτερον προσρηθήσεται· δι'[l] ἃ δὴ τὰ πέντε ὀνόματα τῶν νῦν λεγομένων πολιτειῶν ἓν μόνον γέγονεν.

ΝΕ. ΣΩ. Ἔοικε γοῦν.

ΞΕ. Τί δ' ὅταν μήτε κατὰ νόμους μήτε κατὰ ἔθη πράττῃ τις εἷς ἄρχων, προσποιῆται δὲ ὥς περ ὁ ἐπιστήμων, ὡς ἄρα παρὰ τὰ γεγραμμένα τό γε[m] βέλτιστον ποιητέον, ᾖ δέ τις ἐπιθυμία καὶ ἄγνοια τούτου τοῦ[n] μιμήματος[o] ἡγουμένη; μῶν οὐ τότε τὸν τοιοῦτον ἕκαστον τύραννον[p] κλητέον.

§. 40. ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Οὕτω δὴ τύραννός τε[q] γέγονε, φαμέν, καὶ βασι-

[c] νῦν ΊΔΠ.—[d] λάβῃ ΓΛ.—[e] μιμήσασθαι Ί.—[f] τῶι νόμωι Ί.—[g] ὁπότε [αν] Ξ, ὁπότε Υ.—[h] φροντίζουσιν pr Ξ.—[i] μὲν ς.—[j] καὶ ΣΥ.—[k] οὐκοῦν om ΊΔΠ.—[l] διὰ ΓΔΛΠΥΒ CF.—[m] τόγε ΊΔΠ: τόδε *ς.—[n] τοῦδε ΣΥ.—[o] μαθήματος ΣΥ.—[p] τύραννον om Λ.

μιμήσεσθαι] Bas. 2. μιμήσασθαι. Fisch.
νόμων] Bas. 2. νόμον. mox leg. καὶ μὴν vice καὶ μέν. Fisch.
βασιλέα] Ald. Bas. 1. βασιλεία. Fisch.
δι' ἃ] Steph. 'Post δι' ἃ δὴ interpungo.' Recte. Sed neminem reperiri puto, qui non sponte videat, verba hæc a reliquis sejungenda esse, etiam nulla interpunctionis nota adjecta. Fisch.
τὸν τοιοῦτον] Steph. 'Magis placeret τῶν τοιούτων.' sine causa idonea. Fisch.

λεὺς καὶ ὀλιγαρχία καὶ ἀριστοκρατία καὶ δημοκρατία,[r]
δυσχερανάντων[s] τῶν ἀνθρώπων τὸν ἕνα ἐκεῖνον[t] μόναρχον,
καὶ ἀπιστησάντων μηδένα τῆς τοιαύτης ἀρχῆς ἄξιον ἂν
γενέσθαι ποτέ, ὥστε ἐθέλειν καὶ[u] δυνατὸν εἶναι μετὰ ἀρε-
τῆς καὶ ἐπιστήμης ἄρχοντα τὰ δίκαια καὶ ὅσια διανέμειν
ὀρθῶς πᾶσι, λωβᾶσθαι δὲ καὶ ἀποκτιννύναι[v] καὶ κακοῦν
ὃν[w] ἂν βουληθῇ ἑκάστοτε ἡμῶν· ἐπεὶ γενόμενόν[x] γ' ἂν οἷον
λέγομεν,[y] ἀγαπᾶσθαί τε ἂν καὶ οἰκεῖν διακυβερνῶντα εὐ- II. ii. 343.
δαίμονας ὀρθὴν ἀκριβῶς μόνον πολιτείαν.

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;

ΞΕ. Νῦν δέ γε ὁπότε[z] οὐκ ἔστι γιγνόμενος,[a] ὡς δὴ[b] φαμέν, ἐν ταῖς πόλεσι βασιλεὺς οἷος[c] ἐν σμήνεσιν ἐμφύεται, τό τε σῶμα εὐθὺς καὶ τὴν ψυχὴν διαφέρων[d] εἷς, δεῖ δὴ συνελθόντας ξυγγράμματα[e] γράφειν, ὡς ἔοικε, μεταθέοντας τὰ τῆς ἀληθεστάτης πολιτείας ἴχνη.

ΝΕ. ΣΩ. Κινδυνεύει.

ΞΕ. Θαυμάζομεν δῆτα, ὦ Σώκρατες, ἐν ταῖς τοιαύταις
πολιτείαις[f] ὅσα ξυμβαίνει γίγνεσθαι κακὰ καὶ ὅσα ξυμ-
βήσεται, τοιαύτης τῆς κρηπῖδος ὑποκειμένης αὐταῖς, τῆς
κατὰ γράμματα καὶ ἔθη μὴ μετὰ ἐπιστήμης πραττούσης
τὰς πράξεις; ἑτέρα προσχρωμένη παντὶ κατάδηλος ὡς II. 302.
πάντ' ἂν διολέσειε τὰ ταύτῃ γιγνόμενα. ἢ ἐκεῖνο[g] ἡμῖν
θαυμαστέον μᾶλλον, ὡς ἰσχυρόν τι πόλις ἐστὶ φύσει; πά-
σχουσαι γὰρ δὴ τοιαῦτα[h] αἱ πόλεις νῦν χρόνον ἀπέραντον,
ὅμως ἔνιαί τινες αὐτῶν μόνιμοί τ' εἰσὶ καὶ οὐκ ἀνατρέπον-
ται· πολλαὶ μὴν[i] ἐνίοτε καὶ[j] καθά περ πλοῖα καταδυό-

—[q] τε om 𝔄ΔΠ.—[r] καὶ δημοκρατία om Δ.—[s] δυσχεράντων Υ.—[t] ἕκαστον Eϛ.—[u] ὥστε καὶ ἐθέλειν Λ.—[v] ἀποκτίννύσθαι BC, ἀποκτίννυσθαι ΓΛΗ, ἀποκτιννύσθαι E, ἀποκτείννυσθαι F.—[w] ὃ ΣΥ.—[x] ἐπεὶ γινόμενόν ΞΣΥ, ἐπιγενόμενόν Λ.—[y] λέγωμεν 𝔄Γ.—[z] ὁπότε 𝔄ΔΠ, ὅτι CH et corr B : ὅτε *ϛ.—[a] γιγνόμενον Υ.—[b] ὥσε δὴ, in mg ἔδει, H.—[c] οἷον ΔΠF.—[d] διαφέρον pr C.—[e] συνελθόντας τὰ συγγράμματα Π.—[f] πολιτείαις om pr Ξ.—[g] ἐκεῖνον Δ et pr Π.—[h] τοιαῦται Υ.—[i] μὲν Γ.—[j] καὶ add

§. 40. ἕκαστον] Bas. 2. ἐκεῖνον· unde Steph. 'Pro ἕκαστον legitur etiam ἐκεῖνον· quod malo.' recte. Ficinus quoque habet, *quum ægre ferrent homines unius imperium.* Fisch.

ἀποκτιννύναι] Bas. 2. ἀποκτιννύσθαι· male. Mœris: 'Αποκτιννύναι, 'Αττικῶς· ἀποκτεῖναι, 'Ελληνικῶς. Thom. Mag. ἀποκτιννύναι βέλτιον, ἢ ἀποκτιννύειν. Cf. ad Apolog. 18. Fisch.

ἑτέρα] Ante ἑτέρα videtur Fic. legisse ᾗ, quod referat κρηπῖδι. Steph. Recte. Ficini versio habet, *quo si alia quædam gubernatio, vel civitas, utatur.* Fisch.

μενα[k] διόλλυνται καὶ[l] διολώλασι καὶ ἔτι διολοῦνται διὰ τὴν τῶν κυβερνητῶν καὶ ναυτῶν μοχθηρίαν τῶν περὶ τὰ
ii. ii. 344. μέγιστα μεγίστην ἄγνοιαν εἰληφότων, οἳ περὶ τὰ πολιτικὰ κατ' οὐδὲν γιγνώσκοντες[m] ἡγοῦνται κατὰ πάντα σαφέστατα πασῶν ἐπιστημῶν ταύτην εἰληφέναι.

§. 41. ΝΕ. ΣΩ. Ἀληθέστατα.

ΞΕ. Τίς[n] οὖν δὴ τῶν οὐκ ὀρθῶν[o] πολιτειῶν τούτων ἥκιστα χαλεπὴ συζῆν, πασῶν χαλεπῶν οὐσῶν, καὶ τίς βαρυτάτη; δεῖ τι κατιδεῖν ἡμᾶς, καίπερ πρός γε τὸ νῦν προτεθὲν ἡμῖν πάρεργον[p] λεγόμενον; οὐ μὴν ἀλλ' εἴς γε τὸ ὅλον ἴσως ἅπανθ'[q] ἕνεκα τοῦ τοιούτου πάντες δρῶμεν χάριν.

ΝΕ. ΣΩ. Δεῖ· πῶς δ' οὔ;

ΞΕ. Τὴν αὐτὴν[r] τοίνυν φάθι[s] τριῶν οὐσῶν χαλεπὴν διαφερόντως ἅμα καὶ ῥάστην γίγνεσθαι.[t]

ΝΕ. ΣΩ. Πῶς φής;

ΞΕ. Οὐκ ἄλλως, πλὴν μοναρχίαν φημὶ καὶ ὀλίγων ἀρχὴν καὶ πολλῶν, εἶναι[u] τρεῖς ταύτας ἡμῖν λεγομένας τοῦ νῦν ἐπικεχυμένου λόγου κατ' ἀρχάς.

ΝΕ. ΣΩ. Ἦσαν γὰρ οὖν.[v]

ΞΕ. Ταύτας τοίνυν δίχα τέμνοντες μίαν ἑκάστην ἓξ ποιῶμεν, τὴν ὀρθὴν χωρὶς ἀποκρίναντες τούτων ἑβδόμην.

ΝΕ. ΣΩ. Πῶς;[w]

ii. ii. 345. ΞΕ. Ἐκ μὲν τῆς μοναρχίας βασιλικὴν καὶ τυραννικήν,[x] ἐκ δ' αὖ τῶν[y] μὴ πολλῶν τήν τε εὐώνυμον ἔφαμεν εἶναι[z] ἀριστοκρατίαν καὶ ὀλιγαρχίαν· ἐκ δ' αὖ τῶν πολλῶν τότε μὲν ἁπλῆν ἐπονομάζοντες ἐτίθεμεν δημοκρατίαν, νῦν δὲ αὖ καὶ ταύτην ἡμῖν θετέον ἐστὶ διπλῆν.

ΝΕ. ΣΩ. Πῶς δή; καὶ τίνι διαιροῦντες ταύτην;

ΞΕ. Οὐδὲν διαφέροντι τῶν ἄλλων, οὐδ' εἰ τοὔνομα ἤδη

𝔄ΔΠ.—[k] καταδυόμεναι 𝔄ΓΛΞΣΥCH.—[l] καὶ om Γ.—[m] γιγνόντες Υ.—[n] τί Γ.—[o] ὀρθῶς C.—[p] περίεργον Ξ.—[q] πάνθ' 𝔄ΔΠ.—[r] τὴν τοιαύτην Υ.—[s] φάθι ΓΔΛΠΥ,
σ θ εἶναι
φαθι B, φασι Ξ : φασὶ *ς.—[t] γίγνεσθαι καὶ ῥᾴστην (omisso ἅμα) 𝔄ΔΠ.—[u] οὖν E, οὖν ΣΥF : εἶναι cum *ς corr Ξ.—[v] οὔ Λ.—[w] πῶς 𝔄ΔΠ : πῶς οὖν *ς.—[x] τυραννητικὴν Σ.—[y] τοῦ Γ.—[z] εἶναι add 𝔄ΔΠ.—[a] τε 𝔄Δ et pr Π.—[b] παρανόμως 𝔄ΔΠ :

διολοῦνται] Ald. Bas. 1. 2. διολλοῦνται· vitiose. Fisch.

§. 41. τμῆμα] Bas. 2. κτῆμα· male. Etiam in versione Ficini *partitio*. Fisch.

διπλοῦν ἐστὶ ταύτης· ἀλλὰ τό γε[a] κατὰ νόμους ἄρχειν καὶ παρανόμως[b] ἔστι καὶ ταύτῃ καὶ ταῖς ἄλλαις.

ΝΕ. ΣΩ. Ἔστι γὰρ οὖν.

ΞΕ. Τότε μὲν τοίνυν τὴν ὀρθὴν ζητοῦσι τοῦτο τὸ τμῆμα οὐκ ἦν χρήσιμον, ὡς ἐν τοῖς πρόσθεν ἀπεδείξαμεν· ἐπειδὴ δὲ ἐξείλομεν ἐκείνην, τὰς δ' ἄλλας ἔθεμεν ἀναγκαίας, ἐν ταύταις δὴ τὸ παράνομον καὶ ἔννομον ἑκάστην διχοτομεῖ[c] τούτων.

ΝΕ. ΣΩ. Ἔοικε τούτου νῦν ῥηθέντος τοῦ λόγου.

ΞΕ. Μοναρχία τοίνυν ζευχθεῖσα μὲν ἐν γράμμασιν ἀγαθοῖς, οὓς νόμους λέγομεν, ἀρίστη πασῶν τῶν ἕξ· ἄνομος δὲ[d] χαλεπὴ καὶ βαρυτάτη ξυνοικῆσαι.

ΝΕ. ΣΩ. Κινδυνεύει. II. 303.

ΞΕ. Τὴν δέ γε τῶν μὴ πολλῶν, ὥς περ ἑνὸς καὶ πλή- II. ii. 346.
θους τὸ ὀλίγον μέσον, οὕτως ἡγησώμεθα μέσην ἐπ' ἀμφότερα· τὴν δ' αὖ τοῦ πλήθους κατὰ πάντα ἀσθενῆ καὶ μηδὲν μήτε ἀγαθὸν μήτε κακὸν μέγα[e] δυναμένην ὡς πρὸς τὰς ἄλλας διὰ τὸ τὰς ἀρχὰς ἐν ταύτῃ διανενεμῆσθαι κατὰ σμικρὰ εἰς πολλούς. διὸ γέγονε πασῶν μὲν νομίμων τῶν πολιτειῶν οὐσῶν τούτων χειρίστη, παρανόμων δ' οὐσῶν ξυμπασῶν βελτίστη· καὶ ἀκολάστων μὲν πασῶν οὐσῶν ἐν δημοκρατίᾳ νικᾷ[f] ζῆν, κοσμίων δ' οὐσῶν ἥκιστα ἐν ταύτῃ βιωτέον, ἐν τῇ πρώτῃ δὲ πολὺ πρῶτόν τε καὶ ἄριστον, πλὴν τῆς ἑβδόμης· πασῶν γὰρ ἐκείνην[g] γε ἐκκριτέον,[h] οἷον θεὸν ἐξ ἀνθρώπων,[i] ἐκ τῶν ἄλλων πολιτειῶν.

ΝΕ. ΣΩ. Φαίνεται ταῦθ'[j] οὕτω γίγνεσθαί τε καὶ[k] ξυμβαίνειν, καὶ[l] ποιητέον ᾗ περ λέγεις.

ΞΕ. Οὐκοῦν δὴ καὶ τοὺς κοινωνοὺς τούτων τῶν πολιτειῶν πασῶν, πλὴν τῆς ἐπιστήμονος, ἀφαιρετέον ὡς οὐκ ὄντας πο-

παρανομεῖν *ς.—[c] διχοστομεῖ Η.—[d] δὴ Η.—[e] μέγα om Η.—[f] νικᾶν ΓΛΞΠΣΥCEF. νικαη 𝔄.—[g] ἐκείνης ΣΥ.—[h] ἐγκριτέον 𝔄ΔΠ.—[i] ἀνθρώπων...οὕτω om Η.—[j] τοῦθ' 𝔄ΔΠ.—[k] γίγνεσθαί τε καὶ om 𝔄ΔΠ.—[l] τε καὶ 𝔄ΔΠ.—[m] καὶ om Γ.—[n] οὖν ΣΥEF.

τούτου] Deesse videtur præpositio ἐκ ante hunc genitivum. Posset autem legi etiam, ἐκ τοῦ νῦν ῥηθέντος λόγου. Steph.

Scilicet Ficini versione adductus videtur, ut ita censeret, in qua est, *Ex eo, qui nunc est dictus, sermone ita videtur.* At lectio altera est haud dubie integra. Certe ἐκ τούτου νῦν ῥηθέντος dici, per leges linguæ, non potest. Fisch.

νικᾷ] Ald. Bas. 1. 2. νικᾶν· male. Ficinus, *præstet vivere.* Fisch.

λιτικοὺς ἀλλὰ στασιαστικούς, καὶ[m] εἰδώλων μεγίστων προστάτας ὄντας καὶ αὐτοὺς εἶναι[n] τοιούτους, μεγίστους δὲ ὄντας μιμητὰς καὶ γόητας μεγίστους γίγνεσθαι τῶν σοφιστῶν σοφιστάς.

II. ii. 347. ΝΕ. ΣΩ. Κινδυνεύει τοῦτο εἰς τοὺς πολιτικοὺς λεγομένους περιεστράφθαι[o] τὸ ῥῆμα ὀρθότατα.

ΞΕ. Εἶεν. τοῦτο μὲν ἀτεχνῶς[p] ἡμῖν ὥς περ δρᾶμα,[q] καθά περ ἐῤῥήθη[r] νῦν[s] δὴ[t] Κενταυρικὸν ὁρᾶσθαι καὶ Σατυρικόν τινα θίασον, ὃν δὴ χωριστέον ἀπὸ πολιτικῆς εἴη τέχνης· νῦν δ' οὕτω πάνυ μόγις ἐχωρίσθη.

ΝΕ. ΣΩ. Φαίνεται.

ΞΕ. Τούτου δέ γ'[u] ἕτερον ἔτι χαλεπώτερον λείπεται τῷ[v] ξυγγενές θ' ὁμοῦ[w] τ'[x] εἶναι μᾶλλον τῷ βασιλικῷ γένει καὶ δυσκαταμαθητότερον. καί μοι φαινόμεθα τοῖς τὸν χρυσὸν καθαίρουσι πάθος ὅμοιον πεπονθέναι.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Γῆν που καὶ λίθους καὶ πόλλ' ἄττα ἕτερα ἀποκρίνουσι[y] κἀκεῖνοι πρῶτον[z] οἱ δημιουργοί· μετὰ δὲ ταῦτα[a] λείπεται ξυμμεμιγμένα τὰ ξυγγενῆ τοῦ χρυσοῦ τίμια καὶ πυρὶ μόνον ἀφαιρετά, χαλκὸς[b] καὶ ἄργυρος, ἔστι δ' ὅτε καὶ ἀδάμας, * ἃ[c] μετὰ βασάνων ταῖς ἑψήσεσι μόγις ἀφαιρεθέντα τὸν λεγόμενον ἀκήρατον χρυσὸν[d] εἴασεν ἡμᾶς ἰδεῖν[e] μόνον αὐτὸν[f] ἐφ' ἑαυτοῦ.

ΝΕ. ΣΩ. Λέγεται γὰρ οὖν ταῦτα[g] οὕτω[h] γίγνεσθαι.

§. 42. ΞΕ. Κατὰ τὸν αὐτὸν τοίνυν λόγον ἔοικε καὶ

—[o] περιεστρέφθαι ℨΓΔΠΕF et pr B, περιστρέφεσθαι Υ.—[p] εὐτεχνῶς H.—[q] ὥσπερ δρᾶμα om ΛΣΥCFH et pr E.—[r] ἐρρήθη ℨΔΠΒ : ἐῤῥέθη *ς.—[s] δὴν Υ.—[t] δ' om ℨΔΞ et pr Π.—[u] γε add ℨΔΛΞΠΣΥBCFH.—[v] τὸ ℨΔΠ.—[w] ξυγγενέσθαι ὁμοῦ Λ.—[x] τ' om ℨΔΠ.—[y] ἀποκρινοῦσι CH.—[z] πρότερον ℨΔΠ.—[a] ταῦτα ℨΓΔΠ : τοῦτο *ς.—[b] χαλκα Ξ, χρυσὸς Σ.—[c] ἃ add Stephanus.—[d] χρυσὸν ἀκήρατον Γ.—[e] ἡμᾶς καὶ ἰδεῖν Γ.—[f] μόνον αὐτὸν Δ : αὐτὸν μόνον *ς.—[g] οὖν δῆι ταῦτα ΔH.—[h] οὕτω...λόγον

εἶναι] For. εἶναι et γίγνεσθαι pendent ab aliquo verbo hic omisso. Steph. Recte. Intelligi potest ὥστε· quæ particula sic non raro omitti solet. Fisch.

περιεστράφθαι] Ald. Bas. 1. περιεστρέφθαι· mendose. Fisch.

μετὰ βασάνων] Ante μετὰ βασάνων voculam ἃ puto deesse. In Ald. verba hæc, ἔστι δ' ὅτε καὶ ἀδάμας, necnon particip. ἀφαιρεθέντα, perperam junguntur cum sequentibus. Steph. Ita certe Ficinus expressit, *quæ vix tandem facto ad ignem examine explorantur.* Mox in Bas. 1. 2. ita separata sunt et interpuncta verba, ut in Steph. Fisch.

νῦν ἡμῖν τὰ μὲν ἕτερα καὶ ὁπόσα ἀλλότρια καὶ τὰ μὴ
φίλα πολιτικῆς ἐπιστήμης ἀποκεχωρίσθαι, λείπεσθαι δὲ τὰ II. ii. 348.
τίμια καὶ ξυγγενῆ. τούτων δ' ἐστί που στρατηγία καὶ δι-
καστικὴ καὶ ὅση[i] βασιλικῇ κοινωνοῦσα ῥητορεία[j] πείθουσα II. 304.
τὸ δίκαιον, ξυνδιακυβερνᾷ[k] τὰς ἐν ταῖς πόλεσι πράξεις· ἃ
δή τινι τρόπῳ ῥᾷστά τις ἀπομερίζων δείξει γυμνὸν καὶ
μόνον ἐκεῖνον καθ' αὑτὸν τὸν ζητούμενον ὑφ' ἡμῶν.

ΝΕ. ΣΩ. Δῆλον ὅτι τοῦτό πῃ δρᾷν πειρατέον.

ΞΕ. Πείρας μὲν τοίνυν ἕνεκα φανερὸς ἔσται· διὰ δὲ μουσικῆς αὐτὸν[l] ἐγχειρητέον δηλῶσαι. καί μοι λέγε.

ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Μουσικῆς ἔστι πού τις ἡμῖν μάθησις, καὶ ὅλως τῶν περὶ χειροτεχνίας ἐπιστημῶν;

ΝΕ. ΣΩ. Ἔστιν.

ΞΕ. Τί δέ; τὸ δ' αὖ τούτων ἡντινοῦν εἴτε[m] δεῖ μανθάνειν ἡμᾶς εἴτε[m] μή, πότερα φήσομεν ἐπιστήμην αὖ καὶ ταύτην εἶναί τινα περὶ αὐτὰ ταῦτα, ἢ πῶς;

ΝΕ. ΣΩ. Οὕτως, εἶναι φήσομεν.

ΞΕ. Οὐκοῦν ἑτέραν ὁμολογήσομεν ἐκείνων εἶναι ταύτην;

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Πότερα δ' αὐτῶν οὐδεμίαν ἄρχειν δεῖν ἄλλην ἄλ- II. ii. 349.
λης, ἢ[n] ἐκείνας ταύτης,[o] ἢ ταύτην δεῖν ἐπιτροπεύουσαν[p] ἄρ-
χειν[q] ξυμπασῶν τῶν ἄλλων;

ΝΕ. ΣΩ. Ταύτην ἐκείνων, τὴν[r] εἰ[s] δεῖ μανθάνειν ἢ[t] μή.

ΞΕ. Τῆς μανθανομένης καὶ διδασκούσης ἄρα σύ γ' ἀποφαίνει[u] δεῖν ἡμῖν ἄρχειν;

ΝΕ. ΣΩ. Σφόδρα γε.

ΞΕ. Καὶ τὴν εἰ δεῖ πείθειν ἄρα ἢ[v] μὴ[w] τῆς δυναμένης πείθειν;

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;[x]

om Γ.—[i] ὅσ' ἡ 𝔄, ὅσα Γ.—[j] καὶ post ῥητορεία ponit ς.—[k] ξυνδιακυβερνεῖ Υ, ξυνδιακυβερνῶ (ε) Η, ξυνδιακυβερνᾶν F.—[l] αὐτὸ 𝔄Δ et pr Π.—[m] εἴτι Η.—[n] ἀλλῇ γε Δ, ἀλλ' ἥ γε 𝔄, ἄλλης corr Π.—[o] ταύτην ΣΥ.—[p] ἐπιτρέπουσαν 𝔄ΔΠ.—[q] ἄρξειν Η.—[r] τὴν om 𝔄ΓΔΛΞΣΥΕF et pr ΠΒ.—[s] οὐ Γ.—[t] καὶ Γ.—[u] ἀποφαίνει Γ.—[v] ἢ om Γ.—[w] μὴν

§. 42. ὅση] Steph. 'Puto καὶ deesse ante ὅση' non male. At nec in Ficini versione expressa est particula καί. Fisch.

ΞΕ. Εἶεν. τίνι τὸ πειστικὸν οὖν ἀποδώσομεν ἐπιστήμῃ[y] πλήθους τε καὶ ὄχλου διὰ μυθολογίας ἀλλὰ μὴ διὰ διδαχῆς;

ΝΕ. ΣΩ. Φανερόν, οἶμαι, καὶ τοῦτο ῥητορικῇ[z] δοτέον ὄν.

ΞΕ. Τὸ δ' εἴτε διὰ[a] πειθοῦς εἴτε διά τινος βίας δεῖ πράττειν πρός τινας ὁτιοῦν ἢ καὶ τὸ παράπαν ἔχειν, τοῦτ' αὖ ποίᾳ προσθήσομεν ἐπιστήμῃ;

ΝΕ. ΣΩ. Τῇ τῆς πειστικῆς ἀρχούσῃ καὶ λεκτικῆς.

ΞΕ. Εἴη δὲ ἂν[b] οὐκ ἄλλη τις, ὡς οἶμαι, πλὴν ἡ τοῦ πολιτικοῦ δύναμις.

ΝΕ. ΣΩ. Κάλλιστ' εἴρηκας.

II. ii. 350. ΞΕ. Καὶ[c] τοῦτο[d] μὲν ἔοικε ταχὺ κεχωρίσθαι πολιτικῆς τὸ[e] ῥητορικόν, ὡς[f] ἕτερον εἶδος ὄν, ὑπηρετοῦν μὴν ταύτῃ.

ΝΕ. ΣΩ. Ναί.

§. 43. ΞΕ. Τί δὲ[g] περὶ τῆς τοιᾶσδ'[h] αὖ δυνάμεως διανοητέον;

ΝΕ. ΣΩ. Ποίας;

ΞΕ. Τῆς ὡς πολεμητέον ἑκάστοις οἷς ἂν προελώμεθα πολεμεῖν, εἴτε αὐτὴν ἄτεχνον εἴτε ἔντεχνον ἐροῦμεν;

ΝΕ. ΣΩ. Καὶ πῶς ἂν ἄτεχνον διανοηθεῖμεν,[i] ἥν γε ἡ στρατηγικὴ καὶ πᾶσα ἡ πολεμικὴ πρᾶξις πράττει;

ΞΕ. Τὴν δ' εἴτε[j] πολεμητέον εἴτε διὰ φιλίας[k] ἀπαλλακτέον οἵαν τε καὶ ἐπιστήμονα διαβουλεύσασθαι,[l] ταύτης[m] ἑτέραν[n] ὑπολάβωμεν ἢ τὴν αὐτὴν ταύτῃ;

ΝΕ. ΣΩ. Τοῖς πρόσθεν ἀναγκαῖον ἑπομένοισιν ἑτέραν.

II. 305. ΞΕ. Οὐκοῦν ἄρχουσαν αὐτῆς ταύτην[o] ἀποφανούμεθα,[p] εἴ περ τοῖς ἔμπροσθέν[q] γε ὑποληψόμεθα ὁμοίως;[r]

ΝΕ. ΣΩ. Φημί.

ΞΕ. Τίν' οὖν ποτὲ καὶ ἐπιχειρήσομεν[s] οὕτω δεινῆς καὶ

ΣΥ.—[x] αὖ CH et corr B.—[y] ἐπιστήμην H.—[z] ῥητορικῆς F.—[a] καὶ διά ℨΔΠ.—[b] ἂν om Γ, ante οὐκ ponunt ℨΔΠ, post οὐκ *ς.—[c] : καὶ Υ.—[d] τοῦ Λ.—[e] τὸν Γ.—[f] καὶ F.—[g] δαὶ Γ: δὲ cum ς corr F.—[h] τοιαύτησδ' F.—[i] διανοηθῶμεν Γ.—[j] εἴτε ante πολεμητέον om ΔΠ.—[k] φιλίαν ΣΥ.—[l] βουλεύσασθαι F.—[m] ταύτην Γ.—[n] ἑτέροις ΣΥ.—[o] ταύτης αὐτὴν ℨΔΠ : ταύτην αὐτῆς *ς.—[p] ἀποφαινούμεθα ΥF.—[q] ἔμπροσθέ Γ.—[r] ὁμοίως ὑποληψόμεθα Γ.—[s] ἐπιχειρήσωμεν Γ.—[t] δεσπότην F.—[u] ἔτι ΣΥCEF.

ἑπομένοισιν] Suspecta est hæc scriptura, pro ἑπομένοις: licet τοιούτοισιν legatur supra, p. 291. Steph. Sine causa. Etiam supra legebatur τοιούτοισιν in omnibus libris, ut animadvertit ipse. Fisch.

μεγάλης τέχνης ξυμπάσης τῆς πολεμικῆς δεσπότιν[t] ἀποφαίνεσθαι πλήν γε δὴ τὴν ὄντως οὖσαν βασιλικήν;

ΝΕ. ΣΩ. Οὐδεμίαν ἄλλην.

ΞΕ. Οὐκ ἄρα[u] πολιτικήν γε θήσομεν,[v] ὑπηρετικὴν οὖ- II. ii. 351.
σαν, τὴν τῶν στρατηγῶν ἐπιστήμην.

ΝΕ. ΣΩ. Οὐκ εἰκός.

ΞΕ. Ἴθι δή, καὶ τὴν τῶν δικαστῶν τῶν ὀρθῶς δικαζόντων θεασώμεθα δύναμιν.

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Ἆρ' οὖν ἐπὶ πλέον τι δύναται τοῦ περὶ τὰ ξυμβόλαια, πάνθ' ὁπόσα[w] κεῖται νόμιμα παρὰ νομοθέτου βασιλέως παραλαβοῦσα, κρίνειν εἰς ἐκεῖνα σκοποῦσα τά τε δίκαια ταχθέντα εἶναι καὶ ἄδικα, τὴν αὑτῆς ἰδίαν ἀρέτην παρεχομένη τοῦ μήθ' ὑπό[x] τινων δώρων μήθ' ὑπὸ φόβων μήτε οἴκτων μήθ' ὑπό τινος ἄλλης ἔχθρας μηδὲ φιλίας ἡττηθεῖσα παρὰ τὴν τοῦ νομοθέτου τάξιν ἐθέλειν ἂν τὰ ἀλλήλων[y] ἐγκλήματα διαιρεῖν;

ΝΕ. ΣΩ. Οὔκ, ἀλλὰ σχεδὸν ὅσον εἴρηκας, ταύτης ἐστὶ τῆς δυνάμεως ἔργον.

ΞΕ. Καὶ τὴν τῶν δικαστῶν ἄρα ῥώμην ἀνευρίσκομεν οὐ βασιλικὴν[z] οὖσαν ἀλλὰ νόμων[a] φύλακα καὶ ὑπηρέτιν ἐκείνης.[b]

ΝΕ. ΣΩ. Ἔοικέ γε.

ΞΕ. Τόδε[c] δὴ κατανοητέον ἰδόντι ξυναπάσας[d] τὰς εἰρη-
μένας ἐπιστήμας,[e] ὅτι πολιτική[f] γε[g] αὐτῶν οὐδεμία ἀνε- II. ii. 352.
φάνη.[h] τὴν γὰρ ὄντως οὖσαν βασιλικὴν οὐκ αὐτὴν δεῖ[i]

—[v] γε θήσομεν ὑπηρετικὴν 𝔄ΔΠ : θήσομεν ὑπηρετικήν γε *ς.—[w] ὅσα Γ.—[x] μήποθ' Γ.—[y] ἀνταλλήλων 𝔄 (i. e. ἂν τἀλλήλων).—[z] οὐ βασιλικὴν om Δ.—[a] νόμον 𝔄.—[b] ἐκεῖνος Γ.—[c] τόδε 𝔄ΔΞΠ : τόγε ς.—[d] ξυναπάσας corr B, συναπάσας 𝔄ΔΠ, ναπάσας H, ξυμπάσας Λς, ceteri συμπάσας.—[e] τὰς ἐπιστήμας αἳ εἴρηνται 𝔄ΔΠ.—[f] πολεμική F.—[g] γε 𝔄ΔΠ : τις *ς.—[h] ἀνεφάνη 𝔄ΔΠ : ἐφάνη *ς.—[i] αἰεὶ 𝔄ΔΠ.—

ἴθι δή] Hunc locum, usque ad verba ἐστὶ τῆς δυνάμεως ἔργον, excerpsit Stob. Ecl. Eth. c. 44. p. 320. omissis tamen personarum inter se colloquentium nominibus. Fisch.

ὅποτα] Stob. ὅσα. Fisch.

μήτε φιλ.] Ita rescripsimus e Stobæo pro μηδὲ, quod est in Ald. Bas. 1. 2. Steph. nam præcedit μήτε, non μηδέ. Fisch.

τόγε δή] Hic locus usque ad verba τὰ προσταχθέντα δρᾷν ὀρθῶς, est apud Stobæum Eclog. Eth. c. 46. p. 327. sed pro τόγε, quod est in Ald. Bas. 1. 2. Steph. habet rectissime τόδε. Fisch.

πράττειν, ἀλλ'[j] ἄρχειν τῶν δυναμένων πράττειν, γιγνώσκουσαν τὴν ἀρχήν τε καὶ ὁρμὴν τῶν μεγίστων ἐν ταῖς πόλεσιν ἐγκαιρίας τε πέρι καὶ ἀκαιρίας, τὰς δ' ἄλλας τὰ προσταχθέντα δρᾶν.

ΝΕ. ΣΩ. Ὀρθῶς.

ΞΕ. Διὰ ταῦτ'[k] ἄρα, ἃς μὲν ἄρτι[l] διεληλύθαμεν, οὔτε ἀλλήλων οὔθ' αὐτῶν ἄρχουσαι,[m] περὶ δέ τινα ἰδίαν[n] αὐτῆς οὖσα ἑκάστη πρᾶξιν, κατὰ τὴν ἰδιότητα τῶν[o] πράξεων τοὔνομα δικαίως εἴληφεν ἴδιον.

ΝΕ. ΣΩ. Ἔοικασι γοῦν.

ΞΕ. Τὴν δὲ ἁπασῶν[p] τε τούτων ἄρχουσαν καὶ τῶν νόμων[q] καὶ ξυμπάντων τῶν κατὰ πόλιν ἐπιμελουμένην καὶ πάντα ξυνυφαίνουσαν[r] ὀρθότατα,[s] τοῦ κοινοῦ[t] τῇ κλήσει περιλαβόντες τὴν δύναμιν αὐτῆς, προσαγορεύοιμεν δικαιότατ' ἄν, ὡς ἔοικε, πολιτικήν.

ΝΕ. ΣΩ. Πάνυ[u] μὲν οὖν.

§. 44. ΞΕ. Οὐκοῦν δὴ καὶ[v] κατὰ τὸ τῆς ὑφαντικῆς παράδειγμα βουλοίμεθ' ἂν ἐπεξελθεῖν αὐτῇ νῦν,[w] ὅτε καὶ πάντα τὰ γένη τὰ κατὰ πόλιν δῆλα ἡμῖν γέγονεν;

ΝΕ. ΣΩ. Καὶ σφόδρα γε.

II. 306. II. ii. 353. ΞΕ. Τὴν δὴ[x] βασιλικὴν συμπλοκήν, ὡς ἔοικε, λεκτέον ποία τ' ἐστὶ καὶ τίνι[y] τρόπῳ συμπλέκουσα ποῖον ἡμῖν ὕφασμα ἀποδίδωσιν.

ΝΕ. ΣΩ. Δῆλον.

[j] ἀλλ' Γ: ἀλλὰ...πράττειν om ΣΥ.—[k] ταῦτ' Γ.—[l] ἄν τις Γ.—[m] οὔτ' αὖτ' ἄρχουσαι Γ.—[n] τὴν αἰτίαν Δ, τηναιδιαν 𝔄, τινα ἰδίαν corr Π.—[o] τὴν τῶν Γ.—[p] πασῶν 𝔄ΔΠ.—[q] νομίμων Γ.—[r] ξυμβαίνουσαν Γ.—[s] ὀρθότατα 𝔄ΓΔΛΞΠΣΥBCFH : ὀρθότητα ς.—[t] καινοῦ Γ.—[u] παντάπασι 𝔄ΔΠ.—[v] καὶ om 𝔄ΔΠ.—[w] αὐτῇ νῦν 𝔄ΔΠ, νῦν αὐτὴν ΞΣΥ: αὐτὴν νῦν *ς.—[x] δὲ Η.—[y] ποίῳ 𝔄ΔΠ.—[z] ἀμφισβητητικοῖς ΓΒ et corr F:

ἐγκαιρίας] Sic legitur in Ald. Bas. 1. 2. Sed in libris Stobæi scriptum extat εὐκαιρίας. Jam etsi a Polluce vi. 204. in numero verborum opportunitatem declarantium, positum scimus εὐκαιρία, adjectis verbis ὡς Πλάτων, ut scribi hoc loco debere videatur εὐκαιρίας· tamen arbitramur, illo quoque grammatici loco reponendum esse ἐγκαιρία: nam primo in Codice Jungermani scriptum erat ἐνκαιρία· deinde grammaticus eo, quod verba ὡς Πλάτων addidit, attulisse putandus est formam vocabuli rariorem, qualis est ἐγκαιρία, non εὐκαιρία. Fisch.

τοῦ κοινοῦ] Potest genitivus τοῦ κοινοῦ ad ὀρθότητα referri, vel ad sequentem dativum κλήσει: quo retulit Fic. In Ald. autem edit. interpungitur post περιλαβόντες, ut accus. δύναμιν jungatur sequentibus. Steph.

Bas. 1. 2. incisi notam ponunt post ὀρθότητα, ut τοῦ κοινοῦ cohæreat cum κλήσει, ut vertit Ficinus, *communi appellatione*. Fisch.

ΞΕ. Ἦ χαλεπὸν ἐνδείξασθαι πρᾶγμα ἀναγκαῖον ἄρα γέγονεν, ὡς φαίνεται.

ΝΕ. ΣΩ. Πάντως γε μὴν ῥητέον.

ΞΕ. Τὸ γὰρ ἀρετῆς μέρος ἀρετῆς εἴδει διάφορον εἶναί τινα τρόπον τοῖς περὶ λόγους ἀμφισβητητικοῖς[z] καὶ μάλ' εὐεπίθετον πρὸς τὰς τῶν πολλῶν δόξας.

ΝΕ. ΣΩ. Οὐκ ἔμαθον.

ΞΕ. Ἀλλ' ὧδε πάλιν. ἀνδρίαν[a] γὰρ[b] οἶμαί σε ἡγεῖσθαι μέρος ἓν ἀρετῆς ἡμῖν εἶναι.

ΝΕ. ΣΩ. Πάνυ γε.

ΞΕ. Καὶ μὴν[c] σωφροσύνην γε ἀνδρίας[d] μὲν ἕτερον, ἓν δ' οὖν καὶ τοῦτο μόριον ἧς κἀκεῖνο.

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Τούτων δὴ πέρι θαυμαστόν τινα λόγον ἀποφαίνεσθαι τολμητέον.

ΝΕ. ΣΩ. Ποῖον;

ΞΕ. Ὡς ἐστὸν κατὰ δή τινα τρόπον εὖ μάλα πρὸς ἀλλήλας[e] ἔχθραν καὶ στάσιν ἐναντίαν ἔχοντε[f] ἐν πολλοῖς τῶν ὄντων.

ΝΕ. ΣΩ. Πῶς λέγεις;

ΞΕ. Οὐκ εἰωθότα λόγον οὐδαμῶς· πάντα γὰρ[g] οὖν δὴ[h] II. ii. 354.
ἀλλήλοις τά γε τῆς ἀρετῆς μόρια λέγεταί που φίλια.[i]

ΝΕ. ΣΩ. Ναί.

ΞΕ. Σκοπῶμεν δὴ προσσχόντες[j] τὸν νοῦν εὖ μάλα, πότερον οὕτως ἁπλοῦν ἐστὶ τοῦτο, ἢ παντὸς μᾶλλον αὐτῶν ἔχον[k] διαφορὰν τοῖς ξυγγενέσιν ἐστί[l] τι;

ΝΕ. ΣΩ. Ναί, λέγοις ἂν πῇ σκεπτέον.

ΞΕ. Ἐν τοῖς ξύμπασι χρὴ ζητεῖν ὅσα καλὰ μὲν[m] λέγομεν, εἰς δύο δ' αὐτὰ[n] τίθεμεν ἐναντία ἀλλήλων εἴδη.

ἀμφισβητικοῖς ς.—[a] ἀνδρείαν Δ (qui raro aliter) et ℵΠ.—[b] γὰρ om Π.—[c] μὲν ς.—[d] ἀνδρίαν ΣΥ.—[e] ἀλλήλους ΣΥΕF.—[f] ἔχετον ℵΓΔΛΞΠΣΥΒΕF.—[g] γὰρ...576, 9. συμβαίνει] hæc in rc folio habet Δ.—[h] δὴ om ΣΥ et pr Ξ.—[i] φιλία Λ et pr ΞΕ,
ον
φίλα CH et corr B.—[j] προσέχοντες ℵ.—[k] ἔχει Ξ, ἔχει ℵΓΔΛΠΥΒCFH, ἔχειν Σ.—[l] ἔς τὶ ΣΥ et corr Π: ἐστί sine τι *ς.—[m] μὲν om Σ.—[n] ταυτὰ ΣΥ.—[o] σῶμα Δ.—

§. 44. καὶ μὲν σωφροσ.] Sic et p. sequente, καὶ μὲν ὁπόταν αὖ γε ἀμφότερα γίγνηται. Alioqui videri possit legendum, καὶ μὴν ὁπόταν, etc. Steph. Leg. μὴν haud dubie. Fisch.

ΝΕ. ΣΩ. Λέγ' ἔτι σαφέστερον.

ΞΕ. Ὀξύτητα καὶ τάχος, εἴτε κατὰ σώματα[o] εἴτε ἐν ψυχαῖς εἴτε κατὰ φωνῆς φοράν, εἴτε αὐτῶν τούτων εἴτ' ἐν εἰδώλοις ὄντων, ὁπόσα μουσικὴ μιμουμένη καὶ ἔτι γραφικὴ μιμήματα παρέχεται, τούτων τινὸς ἐπαινέτης εἴτε αὐτὸς πώποτε γέγονας εἴτε ἄλλου παρὼν ἐπαινοῦντος ᾔσθησαι;

ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Ἦ καὶ μνήμην ἔχεις ὅν τινα τρόπον αὐτὸ[p] δρῶσιν ἐν ἑκάστοις τούτων;

ΝΕ. ΣΩ. Οὐδαμῶς.

ΞΕ. Ἆρ' οὖν δυνατὸς αὐτὸ ἂν γενοίμην,[q] ὥς περ καὶ διανοοῦμαι, διὰ λόγων ἐνδείξασθαί σοι;

ΝΕ. ΣΩ. Τί δ' οὔ;[r]

II. ii. 355. ΞΕ. Ῥάδιον ἔοικας ἡγεῖσθαι τὸ τοιοῦτον· σκοπώμεθα δ' οὖν αὐτὸ ἐν τοῖς ὑπεναντίοις γένεσι. τῶν γὰρ δὴ πράξεων ἐν πολλαῖς καὶ πολλάκις ἑκάστοτε τάχος καὶ σφοδρότητα καὶ ὀξύτητα διανοήσεώς[s] τε καὶ σώματος, ἔτι[t] δὲ καὶ φωνῆς, ὅταν ἀγασθῶμεν, λέγομεν[u] αὐτὸ ἐπαινοῦντες μιᾷ χρώμενοι προσρήσει τῇ[v] τῆς ἀνδρίας.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Ὀξὺ καὶ ἀνδρεῖόν[w] πού φαμεν, καὶ ταχὺ καὶ ἀνδρικόν, καὶ σφοδρὸν ὡσαύτως· καὶ πάντως[x] ἐπιφέροντες τοὔνομα ὃ λέγω[y] κοινὸν πάσαις ταῖς φύσεσι ταύταις ἐπαινοῦμεν αὐτάς.

ΝΕ. ΣΩ. Ναί.

II. 307. ΞΕ. Τί δέ; τὸ τῆς ἠρεμαίας[z] αὖ γενέσεως εἶδος ἆρ' οὐ πολλάκις ἐπῃνέκαμεν[a] ἐν πολλαῖς[b] τῶν πράξεων;

δ

[p] αὐτὸ 𝔄ΓΔΛΞΠΣΥBCFH, αὐτῷ E: αὐτῶ ϛ.—[q] γενοίμην ἂν ΓΛ.—[r] ὄν ϛ.—[s] διὰ νοήσεώς C et corr Ξ.—[t] εἴ τι F.—[u] λέγωμεν F: om 𝔄ΔΠ.—[v] τῇ om F.—[w] ἀνδρεῖόν πού 𝔄ΔΠ: ἀνδρεῖον πρῶτόν πού *ϛ.—[x] πάντες ΣΥ.—[y] λέγομεν ΞΣΥ.—

λέγε τι] Non τὶ, sed ἔτι, videtur et Fic. legisse, aut certe legendum existimasse. Sic autem paulo post, καὶ εἴτι pro καὶ ἔτι male in præced. edit. Steph.

Recte. Ficinus, *dic apertius.* Nisi quidem malis, λέγε δὴ σαφ. mox pro καὶ ἔτι Ald. Bas. 1. 2. καὶ εἴτι· male. Fisch.

ᾔσθησαι] Ald. ἥθηται. Bas. 1. 2. ἥσθησαι· male. Mox Bas. 1. 2. αὐτό· male. Ficinus, *illa:* dein Ald. Bas. 1. 2. λόγον. At Ficinus, *verbis.* deinde τί δ' ὂν Ficinus vertit, *Quid prohibet?* Legisse enim videtur, τί δ' οὔ; Fisch.

ἐπῃνέσαμεν] Ald. Bas. 1. 2. ἐπηνέγκαμεν· sed Stephanus recte reposuit ἐπῃνέσαμεν, præeunte versione Ficini, *laudamus.* Fisch.

ΝΕ. ΣΩ. Καὶ σφόδρα γε.

ΞΕ. Μῶν οὖν οὐ[c] τἀναντία λέγοντες ἢ περὶ ἐκείνων τοῦτο[d] φθεγγόμεθα;

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Ὡς ἡσυχαῖά πού φαμεν ἑκάστοτε καὶ σωφρονικά, περί τε διάνοιαν πραττόμεν'[e] ἀγασθέντες καὶ κατὰ τὰς πράξεις αὖ βραδέα καὶ μαλακά, καὶ ἔτι περὶ φωνὰς γιγνόμενα λεῖα καὶ βαρέα,[f] καὶ πᾶσαν ῥυθμικὴν[g] κίνησιν καὶ ὅλην μοῦσαν ἐν καιρῷ βραδυτῆτι[h] προσχρωμένην, οὐ τὸ τῆς II. ii. 356. ἀνδρίας ἀλλὰ τὸ τῆς κοσμιότητος ὄνομα ἐπιφέρομεν αὐτοῖς ξύμπασιν.

ΝΕ. ΣΩ. Ἀληθέστατα.

ΞΕ. Καὶ μὴν[i] ὁπόταν αὖ γε[j] ἀμφότερα γίγνηται[k] ταῦτα ἡμῖν ἄκαιρα,[l] μεταβάλλοντες ἑκάτερα αὐτῶν ψέγομεν ἐπὶ τἀναντία πάλιν ἀπονέμοντες τοῖς ὀνόμασιν.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Ὀξύτερα μὲν αὐτὰ γιγνόμενα τοῦ καιροῦ καὶ θάττω[m] καὶ σκληρότερα φαινόμενα ὑβριστικὰ[n] καὶ μανικὰ λέγοντες, τὰ δὲ[o] βραδύτερα καὶ μαλακώτερα δειλὰ καὶ βλακικά. καὶ σχεδὸν ὡς τὸ πολὺ ταῦτά[p] τε καὶ τὴν σώφρονα φύσιν καὶ τὴν ἀνδρείαν τὴν τῶν ἐναντίων,[q] οἷον πολεμίας[r] διαλαχούσας στάσιν ἰδέας, οὔτ' ἀλλήλαις μιγνυμένας ἐφευρίσκομεν ἐν ταῖς περὶ τὰ τοιαῦτα πράξεσιν, ἔτι τε[s] τοὺς ἐν ταῖς ψυχαῖς αὐτὰς ἴσχοντας διαφερομένους ἀλλήλοις ὀψόμεθα, ἐὰν μεταδιώκωμεν.

αί
[z] ἠρεμίας Ξ, ἠρεμίας ꝒΔΠΣΥ.—[a] ἐπηνέκαμεν ΓΛΣΥΒCΗ et corr ΞF, ἐπηνέγκαμεν ꝒΔΠΕ et pr ΞF: ἐπηνέσαμεν ς.—[b] πολλοῖς Ꝓ.—[c] οὖν οὐ ꝒΔΞΠ, αὖ ΣΥΒΕF et mg C: οὖν *ς.—[d] τούτων ΣΥ.—[e] πραττόμενα ꝒΔΞΠ: πράττομεν *ς.—[f] ἀδρέα Ε, ἁδρέα F.—[g] ῥαθυμικὴν Π.—[h] βραδύτητι ΔΠ.—[i] μὲν ς.—[j] τε ΔΠ.—[k] γίγνονται F.—[l] ἄκαιρα cum ς Ε supra versum: pr enim cum ceteris omnibus ἀκέραια—[m] θᾶττον Δ.—[n] φαινόμενα ὑβριστικὰ Ξς: ceteri φαινόμενα καὶ ὑβριστικά.—[o] ante βραδύτερα omisi βαρύτερα καὶ cum ꝒΔΠΣΥ et pr Ξ.—[p] αὐτά ꝒΔΠ.—[q] καὶ τὴν τῶν ἐναντίων ἀνδρείαν Λ.—[r] πολεμίως Η.—[s] δὲ EF.—[t] σπουδῇ ꝒΓΔΠ et corr B, πῶς

οὐ τὸ τῆς] STEPH. 'Deesse puto καὶ ante οὐ.' Recte. nam Ficinus vertit, *hisque moderationis nomen, non fortitudinis, adhibemus.* mox pro καὶ μὲν leg. καὶ μήν. Ficinus, *At.* FISCH.

ἄκαιρα] Ald. Bas. 1. 2. ἀκέραια. At Ficinus, *At quoties opportunitatem ista non servant.* FISCH.

βλακικὰ] Schol. Augustanus: βλακικά· μωρά, ἀνόητα· ἀπ' ἰχθύος καλουμένου βλακός, ὁμοίου σιλούρῳ, ἀχρήστου τοσοῦτον, ὡς μηδὲ κυνὶ βρώσιμον εἶναι. Eadem traduntur ab auctore Etymologici M. in v. Βλάξ·—εἰς δὲ τὸ Λεξικὸν τὸ ῥητορικὸν εὗρον ἐγὼ εἰρῆσθαι τὴν λέξιν, ἀπὸ ἰχθύος τινός, ὁμοίου σιλούρῳ, ἀχρήστου ὄντος, ὡς μηδὲ κύνα αὐτῷ χρήσασθαι. FISCH.

§. 45. ΝΕ. ΣΩ. Ποῦ δὴ[t] λέγεις;

ΞΕ. Ἐν πᾶσί τε[u] δὴ τούτοις οἷς νῦν εἴπομεν, ὡς εἰκός τε,[v] ἐν ἑτέροις πολλοῖς. κατὰ γὰρ οἶμαι τὴν αὐτῶν ἑκατέροις ξυγγένειαν τὰ μὲν ἐπαινοῦντες[w] ὡς οἰκεῖα σφέτερα,[x]
II. ii. 357. τὰ δὲ τῶν διαφόρων ψέγοντες ὡς[y] ἀλλότρια, πολλὴν εἰς ἔχθραν ἀλλήλοις καὶ πολλῶν[z] πέρι καθίστανται.

ΝΕ. ΣΩ. Κινδυνεύουσιν.

ΞΕ. Παιδιὰ[a] τοίνυν αὕτη γέ τις ἡ διαφορὰ τούτων ἐστὶ τῶν εἰδῶν· περὶ δὲ τὰ μέγιστα νόσος ξυμβαίνει πασῶν ἐχθίστη[b] γίγνεσθαι ταῖς πόλεσιν.

ΝΕ. ΣΩ. Περὶ δὴ[c] ποῖα φής;

ΞΕ. Περὶ ὅλην, ὥς γε εἰκός, τὴν τοῦ ζῆν παρασκευήν. οἱ μὲν γὰρ δὴ[d] διαφερόντως[e] ὄντες κόσμιοι τὸν ἥσυχον[f] ἀεὶ βίον[g] ἕτοιμοι ζῆν, αὐτοὶ[h] καθ' αὑτοὺς μόνοι τὰ σφέτερ'[i] αὑτῶν πράττοντες,[j] οἴκοι τε πρὸς[k] ἅπαντας[l] οὕτως ὁμιλοῦντες, καὶ πρὸς τὰς ἔξωθεν πόλεις ὡσαύτως ἕτοιμοι ὄντες τρόπον τινὰ ἄγειν εἰρήνην. καὶ διὰ τὸν ἔρωτα δὴ τοῦτον, ἀκαιρότερον[m] ὄντα ἢ χρῆν,[n] ὅταν ἃ βούλονται[o] πράττωσιν, ἔλαθον αὐτοί τε ἀπολέμως ἴσχοντες καὶ τοὺς νέους ὡσαύτως

τ
δὴ ΛCH et pr B.—[u] τε om Γ.—[v] τε 𝔄ΔΛΠΒΗ, γε C : γε *ϛ. addebatur καὶ : id omisi cum ΓΔΛΠΣΥΒCEFH.—[w] ἐπαινοῦντας ΣΥ et pr Ξ.—[x] ἐφ' ἕτερα 𝔄ΓΔΛΞΣΥ EF et pr B : σφέτερα cum *ϛ corr Π.—[y] εἰς om ΣΥ.—[z] καὶ πολλῶν om Π.—[a] παι-
ἐχθ
δεία 𝔄ΓΔΛΞEF et pr ΠΒ.—[b] αἰσχίστη Ξ.—[c] δὲ ΓΣΥ.—[d] δὴ om ΣΥ.—[e] διαφέροντες ΣΥ.—[f] ἥσυχον 𝔄ΔΠ : ἡσύχιον *ϛ.—[g] βίον ἀεὶ Γ.—[h] αὐτὸ E.—[i] σφέτερ' ΓΞΗ.—
παν
[j] πράττονται Γ.—[k] τε πρὸς 𝔄ΔΠ et pr Ξ : τε αὖ πρὸς *ϛ.—[l] ὄντες C, πάντα ὄντες 𝔄ΓΔΠΒ et rc Ξ.—[m] ἀκεραιότερον C.—[n] χρὴ 𝔄ΔΠΗ.—[o] βούλωνται 𝔄ΓΥΗ.—

§. 45. *οἰκεῖα σφέτερα*] Steph. 'For. *οἰκεῖα καὶ σφέτερα.*' Ficinus enim vertit, *proprias suasque.* recte. At solent Attici maxime non raro conjungere verba duo, idem declarantia, simpliciter, nulla copula interveniente, quod genus *ἐξ ἀρχῆς πάλιν, τάχα ἴσως,* et alia. Fieri tamen potest, ut alterutrum sit glossema. Fisch.

παιδιὰ] Ald. Bas. 1. *παιδεία·* male: sed æque male §. 46. Bas. 2. *παιδιὰ,* pro *παιδείᾳ.* Vid. ad Phædon. 13. Recte vertit Ficinus, *ludus.* Fisch.

μόνοι] Valquenarius in Diatriba ad Fragm. Eurip. [ad Phœn. teste Bipontino editore, immo ad Hippol. 785.] deleri jubebat *μόνοι,* ut glossema scilicet: temere. nam pronomen *αὐτὸς solus* sæpe ab optimis scriptoribus conjunctum legitur cum vocabulo *μόνος.* vid. Abreschius Auctar. Thucyd. p. 224. qui eam in rem laudat, præter alios, Eurip. Phœn. 1235. *Ἐγὼ γὰρ αὐτὸς—Μόνος συνάψω συγγόνῳ τῷ 'μῷ μάχην·* ubi idem Valquenarius æque perperam jubebat reponi *μόνῳ,* quod præcederet *αὐτός.* Neque vero felicior fuit Muretus in corrigendo Xenoph. Cyrop. iii. 3. 18. *ὁ δὲ τὴν τούτων ὑπόμνησιν αὐτὸς μόνος ἔχων—.* nam pro *μόνος,* quæ est omnium librorum veterum, etiam Guelferbytani, lectio, legi volebat *μόνως.* Vid. notæ ejus in Cyropædiam, ad calcem Commentariorum in Aristotelis libros Ethicos ad Nicomachum, Ingolstad. a. 1602. Fisch.

διατιθέντες ὄντες[p] τε[q] ἀεὶ τῶν ἐπιτιθεμένων, ἐξ ὧν οὐκ ἐν πολλοῖς[r] ἔτεσιν αὐτοὶ καὶ παῖδες καὶ ξύμπασα ἡ πόλις ἀντ' ἐλευθέρων πολλάκις ἔλαθον[s] αὐτοὺς γενόμενοι δοῦλοι. ii. 308.

ΝΕ. ΣΩ. Χαλεπὸν εἶπες καὶ δεινὸν πάθος.

ΞΕ. Τί δ' οἱ πρὸς[t] τὴν ἀνδρίαν μᾶλλον ῥέποντες; ἆρ' οὐκ ἐπὶ πόλεμον ἀεί τινα τὰς αὑτῶν ξυντείνοντες πόλεις διὰ τὴν τοῦ τοιούτου βίου σφοδροτέραν τοῦ δέοντος ἐπιθυμίαν, ii. ii. 358. εἰς ἔχθραν πολλοῖς καὶ δυνατοῖς καταστάντες, ἢ πάμπαν διώλεσαν ἢ δούλας αὖ καὶ ὑποχειρίους τοῖς ἐχθροῖς ὑπέθεσαν τὰς αὑτῶν πατρίδας;

ΝΕ. ΣΩ. Ἔστι καὶ ταῦτα.

ΞΕ. Πῶς οὖν μὴ φῶμεν ἐν τούτοις ἀμφότερα ταῦτα[u] τὰ[v] γένη πολλὴν πρὸς ἄλληλα ἀεὶ[w] καὶ τὴν μεγίστην ἴσχειν ἔχθραν καὶ στάσιν;

ΝΕ. ΣΩ. Οὐδαμῶς ὡς οὐ φήσομεν.

ΞΕ. Οὐκοῦν ὅ περ ἐσκοποῦμεν[x] κατ' ἀρχάς, ἀνευρήκαμεν,[y] ὅτι μόρια ἀρετῆς οὐ σμικρὰ ἀλλήλοις διαφέρεσθον φύσει καὶ δὴ[z] καὶ τοὺς ἴσχοντας δρᾶτον τὸ αὐτὸ τοῦτο;

ΝΕ. ΣΩ. Κινδυνεύετον.

ΞΕ. Τόδε[a] τοίνυν αὖ λάβωμεν.

§. 46. ΝΕ. ΣΩ. Τὸ ποῖον;

ΞΕ. Εἴ τίς που τῶν συνθετικῶν ἐπιστημῶν πρᾶγμα ὁτιοῦν τῶν αὑτῆς ἔργων,[b] κἂν[c] ᾖ[d] τὸ φαυλότατον, ἑκοῦσα ἐκ[e] μοχθηρῶν καὶ χρηστῶν τινῶν[f] ξυνίστησιν, ἢ[g] πᾶσα ἐπιστήμη πανταχοῦ τὰ μὲν μοχθηρὰ εἰς δύναμιν ἀποβάλλει, τὰ δ' ἐπιτήδεια καὶ τὰ[h] χρηστὰ ἔλαβεν, ἐκ τούτων δὲ καὶ[i] ὁμοίων καὶ ἀνομοίων ὄντων, πάντ' εἰς ἓν αὐτὰ ξυνάγουσα, μίαν τινὰ δύναμιν καὶ ἰδέαν δημιουργεῖ.

[p] ὄντε Γ.—[q] τε om Σ.—[r] πολέμοις ΣΥ.—[s] ἔλαβον H.—[t] παρὰ F.—[u] ταῦτα om ς.—[v] τὰ om 𝔄ΔΠ.—[w] εἰ 𝔄.—[x] ἐπεσκοποῦμεν 𝔄ΔΠ.—[y] ἀνηρήκαμεν (ευ superscr.) Γ.—[z] γὰρ δὴ pr E.—[a] τῇδε F.—[b] ἔργον (ω superscr.) H.—[c] καὶ Π.—[d] εἰ 𝔄ΓΔΛΞΠΥBCFH, εἰς Σ.—[e] ἐκ τῶν Ξ.—[f] τινῶν καὶ χρηστῶν F.—[g] ἡ ΓΞCH, ἡ (ἢ superscr.) E.—[h] alterum τὰ om 𝔄ΔΠ.—[i] καὶ post

τὰ γένη] Steph. 'γρ. ταῦτα τὰ γένη.' Hæc scilicet est Bas. 2. lectio, quam ipsam sequutus est Ficinus; vertit enim, *Ergo quis neget, in his hæc utraque sibi invicem plurimum adversari?* Fisch.

II. ii. 359. ΝΕ. ΣΩ. Τί μήν;

ΞΕ. Οὐδ' ἄρα ἡ κατὰ φύσιν ἀληθῶς οὖσα ἡμῖν πολιτικὴ μή ποτε[j] ἐκ χρηστῶν καὶ κακῶν ἀνθρώπων ἑκοῦσα εἶναι συστήσεται[k] πόλιν τινά,[l] ἀλλ' εὔδηλον ὅτι παιδιᾷ[m] πρῶτον βασανιεῖ, μετὰ δὲ τὴν βάσανον αὖ τοῖς δυναμένοις παιδεύειν καὶ ὑπηρετεῖν πρὸς τοῦτ'[n] αὐτὸ παραδώσει, προστάττουσα καὶ ἐπιστατοῦσα αὐτή,[o] καθά περ ὑφαντικὴ τοῖς τε ξαίνουσι καὶ τοῖς τἆλλα προπαρασκευάζουσιν ὅσα πρὸς τὴν πλέξιν αὐτῆς, ξυμπαρακολουθοῦσα προστάττει καὶ ἐπιστατεῖ, τοιαῦτα[p] ἑκάστοις ἐνδεικνῦσα τὰ ἔργα ἀποτελεῖν,[q] οἷα ἂν ἐπιτήδεια ἡγῆται πρὸς τὴν αὑτῆς[r] εἶναι ξυμπλοκήν.

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

ΞΕ. Ταὐτὸν δή μοι τοῦθ' ἡ βασιλικὴ φαίνεται πᾶσι τοῖς κατὰ νόμον παιδευταῖς καὶ τροφεῦσι, τὴν τῆς ἐπιστατικῆς αὐτὴ δύναμιν ἔχουσα, οὐκ ἐπιτρέπειν[s] ἀσκεῖν ὅ τι μή τις πρὸς τὴν[t] αὑτῆς[u] ξύγκρασιν ἀπεργαζόμενος ἦθός τι πρέπον ἀποτελεῖ, ταῦτα δὲ μόνα παρακελεύεσθαι παιδεύειν. καὶ τοὺς μὲν μὴ δυναμένους κοινωνεῖν ἤθους ἀνδρείου καὶ σώφρονος ὅσα τε ἄλλα ἐστὶ[v] τείνοντα[w] πρὸς ἀρετήν,
II. 309. ἀλλ' εἰς ἀθεότητα καὶ ὕβριν καὶ ἀδικίαν ὑπὸ κακῆς βίᾳ
II. ii. 360. φύσεως ἀπωθούμενα,[x] θανάτοις τε ἐκβάλλει[y] καὶ φυγαῖς καὶ[z] ταῖς μεγίσταις κολάζουσα ἀτιμίαις.

ΝΕ. ΣΩ. Λέγεται γοῦν πως οὕτως.

ΞΕ. Τοὺς δ' ἐν ἀμαθίᾳ τ' αὖ καὶ ταπεινότητι[a] πολλῇ κυλινδουμένους[b] εἰς τὸ δουλικὸν ὑποζεύγνυσι[c] γένος.

ΝΕ. ΣΩ. Ὀρθότατα.

δὲ om Ξ.—[j] μήποτε 𝔄ΔΠΣΥ et pr Ξ: μηδέποτε *s.—[k] συστήσεται ΛΞΣΥΗ, συστήσασθαι Γ: συστήσηται *s.—[l] πόλιν τινὰ 𝔄ΔΞΠΣΥ: τινα πόλιν *s.—[m] παιδιᾶ 𝔄Δ ΛΠΣΥΒCΕΗ, παιδία ΓΞ: παιδείᾳ s.—[n] τοῦτ' ΓΞΥΕF.—[o] αὐτὴν EF.—[p] τοιαῦτα δὲ
εἶν ψ
E, τοιαῦτα δὴ s.—[q] ἀποτελεῖ E, ἀποτελεῖ ΓΛΞΣΥΒC.—[r] αὐτοῖς ΣΥF.—[s] ἐπιτρέπειν BC, ἐπιτρέψειν ΓΔΠ, ἐπιτρέπει Λ.—[t] τὴν om pr Ξ.—[u] αὐτῶν ΣΥ.—[v] ἐστι om Σ.—[w] συντείνοντα Γ.—[x] ἀπωθούμενος H.—[y] ἐμβάλλει F.—[z] alterum καὶ om H.—[a] ταs
πεινότητος ΣΥ.—[b] κυλινδομένους ΛCEF.—[c] ἀναζεύγνυσι ΣΥ.—[d] παιδείαν F.—[e] νο-

§. 46. παιδείᾳ] Bas. 2. παιδιά· male. Ficinus, *disciplina*. Fisch.

ἐπιστατεῖ] Ald. Bas. 1. 2. ἐπιστατοῖ· male. Fisch.

αὕτη] Steph. 'Malim αὐτή·' recte. vid. ad Phædon. §. 13. Fisch.

ΞΕ. Τοὺς λοιποὺς τοίνυν, ὅσων αἱ φύσεις ἐπὶ τὸ γενναῖον ἱκαναὶ παιδείας[d] τυγχάνουσαι καθίστασθαι καὶ δέξασθαι μετὰ τέχνης ξύμμιξιν πρὸς ἀλλήλας, τούτων τὰς μὲν ἐπὶ τὴν ἀνδρίαν μᾶλλον ξυντεινούσας, οἷον στημονοφυὲς νομίσασ'[e] αὐτῶν εἶναι τὸ στερεὸν ἦθος, τὰς δὲ ἐπὶ τὸ κόσμιον πίονί τε καὶ μαλακῷ καὶ κατὰ τὴν εἰκόνα κροκώδει διανήματι[f] προσχρωμένας, ἐναντία δὲ τεινούσας ἀλλήλαις, πειρᾶται τοιόνδε τινὰ τρόπον ξυνδεῖν καὶ ξυμπλέκειν.

ΝΕ. ΣΩ. Ποῖον δή;

ΞΕ. Πρῶτον μὲν κατὰ τὸ ξυγγενὲς τὸ ἀειγενὲς ὂν τῆς ψυχῆς αὐτῶν μέρος θείῳ ξυναρμοσαμένη δεσμῷ, μετὰ δὲ τὸ θεῖον τὸ ζῳογενὲς αὐτῶν αὖθις ἀνθρωπίνοις.

§. 47. ΝΕ. ΣΩ. Πῶς τοῦτ' εἶπες αὖ;

ΞΕ. Τὴν τῶν καλῶν καὶ δικαίων[g] πέρι καὶ ἀγαθῶν καὶ τῶν τούτοις ἐναντίων ὄντως οὖσαν ἀληθῆ δόξαν μετὰ βεβαιώσεως, ὁπόταν ἐν ταῖς[h] ψυχαῖς ἐγγίγνηται, θείαν φημὶ[i] ἐν δαιμονίῳ γίγνεσθαι γένει. II. ii. 361.

ΝΕ. ΣΩ. Πρέπει γοῦν οὕτως.

ΞΕ. Τὸν δὴ πολιτικὸν καὶ τὸν ἀγαθὸν νομοθέτην ἆρ' ἴσμεν ὅτι προσήκει μόνον δυνατὸν εἶναι τῇ τῆς βασιλικῆς μούσῃ τοῦτο αὐτὸ ἐμποιεῖν[j] τοῖς ὀρθῶς[k] μεταλαβοῦσι παιδείας, οὓς ἐλέγομεν νῦν δή;

ΝΕ. ΣΩ. Τὸ γοῦν εἰκός.

ΞΕ. Ὃς δ' ἂν δρᾶν γε,[l] ὦ Σώκρατες, ἀδυνατῇ[m] τὸ τοιοῦτον, μηδέποτε τοῖς νῦν ζητουμένοις ὀνόμασιν αὐτὸν[n] προσαγορεύωμεν.[o]

ΝΕ. ΣΩ. Ὀρθότατα.

μίσας s.—[f] διανθήματι mei omnes.—[g] οἰκείων ΣΥ.—[h] ταῖς om ℨΔΠ.—[i] φημὶ om Δ.—[j] ἐμποιεῖ (ν supra) E, ἐμποιεῖ ΛΣΥ.—[k] ὀρθοῖς Γ.—[l] τε ΓΛBCEFH.—[m] ἀδυνατοῖ Ξ.—

διανήματι] Ald. Bas. 1. 2. διανθήματι· quod jam Cornarius mutandum in διανήματι esse, præclare monuerat. Neque sane aliter Ficinus legit: sed male interpretatus est, *subteminis crocei coloris*. Nam primo διάνημα idem est quod νῆμα· νῆμα autem est *stamen*, non *subtemen*. Pollux vii. 30. Πλάτων δὲ—καλεῖ—τὸν δὲ στήμονα, νῆμα. Deinde *stamen* vocatur κροκῶδες διάνημα, quia subtemina ei inseruntur: nam κρόκη est *subtemen*, *trama*. Fisch.

ἐναντία] Steph. 'Suspicor deesse εἰς ante ἐναντία.' Nam Ficini versio habet, *ea denique, quæ in contrarium diversumque natura tendunt*. Non assentior: intercedit dativus ἀλλήλαις. Fisch.

ΞΕ. Τί οὖν; ἀνδρεία ψυχὴ λαμβανομένη τῆς τοιαύτης ἀληθείας ἆρ' οὐχ ἡμεροῦται καὶ τῶν δικαίων μάλιστα οὕτω κοινωνεῖν ἂν ἐθελήσειε, μὴ μεταλαβοῦσα δὲ ἀποκλίνει[p] μᾶλλον πρὸς[q] θηριώδη τινὰ φύσιν;

ΝΕ. ΣΩ. Πῶς δ' οὔ;

ΞΕ. Τί δέ; τὸ τῆς κοσμίας φύσεως ἆρ' οὐ τούτων μὲν μεταλαβὸν τῶν δοξῶν ὄντως σῶφρον καὶ φρόνιμον,[r] ὥς γε ἐν πολιτείᾳ, γίγνεται, μὴ κοινωνῆσαν δὲ ὧν λέγομεν ἐπονείδιστόν τινα εὐηθείας δικαιότατα λαμβάνει φήμην;

ΝΕ. ΣΩ. Πάνυ μὲν οὖν.

II. ii. 362. ΞΕ. Οὐκοῦν ξυμπλοκὴν καὶ δεσμὸν[s] τοῦτον[t] τοῖς μὲν κακοῖς πρὸς σφᾶς[u] αὐτοὺς[v] καὶ τοῖς ἀγαθοῖς πρὸς τοὺς κακοὺς μηδέποτε[w] μόνιμον φῶμεν γίγνεσθαι,[x] μηδέ τινα ἐπιστήμην αὐτῷ σπουδῇ[y] πρὸς τοὺς τοιούτους ἂν χρῆσθαί ποτε;

ΝΕ. ΣΩ. Πῶς γάρ;

II. 310. ΞΕ. Τοῖς δ' εὐγενέσι[z] γενομένοις[a] τε ἐξ ἀρχῆς ἤθεσι θρεφθεῖσί τε κατὰ φύσιν μόνοις διὰ νόμων ἐμφύεσθαι, καὶ ἐπὶ τούτοις[b] δὴ τοῦτ' εἶναι[c] τέχνῃ φάρμακον, καὶ[d] καθάπερ εἴπομεν τοῦτον[e] θειότερον[f] εἶναι τὸν ξύνδεσμον ἀρετῆς μερῶν φύσεως ἀνομοίων καὶ ἐπὶ τἀναντία φερομένων.

ΝΕ. ΣΩ. Ἀληθέστατα.

ΞΕ. Τοὺς μὴν[g] λοιπούς, ὄντας ἀνθρωπίνους δεσμούς,

[n] αὐτῶν C.—[o] προσαγορεύομεν H.—[p] ἀποκρίνει H.—[q] εἰς F, εἰς (πρὸς) ΣΥ.—[r] φρόνιμον 𝔄ΔΠ : κόσμιον *ς.—[s] δεσμὸν 𝔄ΔΠ : ξύνδεσμον *ς.—[t] τούτου F.—[u] φᾶς ΛΗ.—[v] αὐτοῖς ΓΛΣΥCEH.—[w] μήποτε Ξ.—[x] μόνιμον φῶμεν γίγνεσθαι 𝔄ΔΠ : φῶμεν γίγνεσθαι μόνιμον *ς.—[y] αὐτῷ δὴ σπουδῇ Eς.—[z] εὖ γενέσει ς.—[a] γενομένοις γε (vel γ') ἐξ ἀρχῆς 𝔄ΔΠ : γε ἐξ ἀρχῆς γενομένοις *ς.—[b] τούτους ΔΠ.—[c] εἶναι 𝔄ΓΔΛΞΠ BCH : οὖν *ς.—[d] καὶ om 𝔄ΔΠ.—[e] τούτου F.—[f] θειότατον ΔΞΠΣΥ.—[g] μὴν 𝔄ΓΔΛ

§. 47. ἐμφύεσθαι] Videtur ἐμφύεσθαι pendere a præcedente verbo φῶμεν. Magis tamen conveniret ἐμφύεται cum iis quæ proxime sequuntur. Verum et καὶ non satis aptum hic locum habere puto: nisi præcedat aliqua particula, cujusmodi fuerit ὥστε. Steph.

Viderat scilicet, in versione Ficini esse, *inditur*. Mox particulam καὶ arbitrabatur non satis aptum hic locum habere, nisi præcederet aliqua particula, cujusmodi esset ὥστε. At sequens particula δὴ hanc ipsam vim habet. Fisch.

τοῦτ' οὖν] Bas. 2. τοῦτ' εἶναι. Fisch.

θειότερον] Pro θειότερον legitur etiam θειότατον [Bas. 2. teste Fischero]: item dativus φύσει pro genitivo φύσεως: qui certe procul ablegandus esse videtur. Steph.

Scilicet Ficinus vertit, *illa ipsa, quam supra diximus, partium virtutis natura contrariarum — conciliatio — fit.* Hinc igitur sumsit Stephanus illam lectionem. Fisch.

ὑπάρχοντος[h] τούτου τοῦ θείου σχεδὸν οὐδὲν[i] χαλεπὸν οὔτε ἐννοεῖν[j] οὔτε ἐννοήσαντα ἀποτελεῖν.

ΝΕ. ΣΩ. Πῶς δή, καὶ τίνας;

ΞΕ. Τοὺς τῶν ἐπιγαμιῶν[k] καὶ παίδων κοινωνήσεων καὶ τῶν περὶ τὰς ἰδίας[l] ἐκδόσεις καὶ γάμους. οἱ γὰρ πολλοὶ τὰ περὶ ταῦτα οὐκ ὀρθῶς ξυνδοῦνται πρὸς τὴν τῶν παίδων γέννησιν.[m]

ΝΕ. ΣΩ. Τί δή;

ΞΕ. Τὰ μὲν[n] πλούτου καὶ δυνάμεων ἐν τοῖς τοιούτοις II. ii. 363.
διώγματα[o] τί[p] καί τις ἂν ὡς ἄξια λόγου σπουδάζοι μεμφόμενος;

ΝΕ. ΣΩ. Οὐδέν.

§. 48. ΞΕ. Μᾶλλον δέ γε δίκαιον τῶν περὶ τὰ γένη ποιουμένων ἐπιμέλειαν, τούτων πέρι λέγειν, εἴ τι[q] μὴ κατὰ τρόπον πράττουσιν.

ΝΕ. ΣΩ. Εἰκὸς γὰρ οὖν.[r]

ΞΕ. Πράττουσι μὲν δὴ[s] οὐδὲ ἐξ ἑνὸς ὀρθοῦ λόγου, τὴν ἐν τῷ παραχρῆμα διώκοντες ῥᾳστώνην καὶ τῷ τοὺς μὲν προσομοίους αὐτοῖς ἀσπάζεσθαι, τοὺς δ' ἀνομοίους μὴ στέργειν πλεῖστον τῇ δυσχερείᾳ μέρος ἀπονέμοντες.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Οἱ μέν που κόσμιοι τὸ σφέτερον αὐτῶν ἦθος ζητοῦσι, καὶ κατὰ δύναμιν γαμοῦσί τε[t] παρὰ τούτων καὶ τὰς ἐκδιδομένας παρ' αὐτῶν εἰς τούτους[u] ἐκπέμπουσι[v] πάλιν· ὡς δ' αὔτως τὸ περὶ τὴν ἀνδρίαν γένος δρᾷ,[w] τὴν αὐτοῦ μεταδιῶκον φύσιν, δέον ποιεῖν ἀμφότερα τὰ γένη τούτων τοὐναντίον ἅπαν.

ΝΕ. ΣΩ. Πῶς, καὶ διὰ τί;

ΞΕ. Διότι πέφυκεν ἀνδρία τε[x] ἐν πολλαῖς γενέσεσιν[y]

ΠΒC : μὲν *ς.—[h] ὑπάρχοντας Δ.—[i] οὐ Υ.—[j] οὔτε ἐννοεῖν om 𝔄Δ et pr Π.—[k] ἐπιγαμίων ΣΥΕF.—[l] περὶ ἰδέας F.—[m] γένεσιν Ε.—[n] μετὰ F.—[o] δίωγμά ΣΥ. δόγματα ΓΛΗ et mg BC.—[p] τίνα Γ, om Ξ.—[q] ὅτι ΣΥ.—[r] οὖν om pr Π.—[s] μὲν δὴ 𝔄ΔΠ : μὴν *ς.—[t] τε καὶ 𝔄ΔΠ.—[u] τούτους 𝔄Δ et pr Π : τοιούτους *ς.—[v] ἐκπίπτουσι Η.—[w] δρᾶν ΣΥ.—[x] τὸ Η.—[y] πολλαῖς γενέσεσι 𝔄ΓΔΛΞΠΣΥΒCΗ : πολλοῖς γένεσιν

παρὰ] Abreschius Auctar. Thucyd. p. 265. quum docuisset, περὶ sæpe a librariis scriptum esse pro παρὰ, eam in rem laudat hunc locum Platonis, ibique legendum esse monet παρὰ τούτων. Nos vero in omnibus nostris libris hanc scripturam invenimus. Sed fortassis in exemplo Læmariano, quo usus est vir doctissimus, operæ dederunt περὶ τούτων. Fisch.

ἄμικτος γεννωμένη[z] σώφρονι φύσει κατὰ μὲν ἀρχὰς ἀκμάζειν ῥώμῃ,[a] τελευτῶσα δὲ ἐξανθεῖν παντάπασι μανίαις.

ΝΕ. ΣΩ. Εἰκός.[b]

II. ii. 364. ΞΕ. Ἡ δὲ αἰδοῦς γε[c] αὖ λίαν πλήρης ψυχὴ καὶ ἀκέραστος τόλμης ἀνδρείας, ἐπὶ γενεὰς[d] πολλὰς οὕτω γεννηθεῖσα, νωθεστέρα[e] φύεσθαι τοῦ καιροῦ καὶ ἀποτελευτῶσα δὴ[f] παντάπασιν ἀναπηροῦσθαι.[g]

ΝΕ. ΣΩ. Καὶ τοῦτ'[h] εἰκὸς οὕτω ξυμβαίνειν.

ΞΕ. Τούτους δὴ τοὺς δεσμοὺς ἔλεγον ὅτι χαλεπὸν οὐδὲν ξυνδεῖν ὑπάρξαντος[i] τοῦ περὶ τὰ καλὰ καὶ ἀγαθὰ μίαν ἔχειν ἀμφότερα τὰ γένη δόξαν. τοῦτο γὰρ ἓν καὶ ὅλον ἐστὶ βασιλικῆς ξυνυφάνσεως[j] ἔργον, μηδέποτε ἐᾶν ἀφίστασθαι σώφρονα ἀπὸ τῶν ἀνδρείων ἤθη, ξυγκερκίζοντα δὲ ὁμοδοξίαις καὶ τιμαῖς[k] καὶ ἀτιμίαις καὶ δόξαις καὶ ὁμηρειῶν[l] ἐκδόσεσιν εἰς ἀλλήλους, λεῖον καὶ τὸ λεγόμενον
II. 311. εὐήτριον[m] ὕφασμα ξυνάγοντα ἐξ αὐτῶν, τὰς ἐν ταῖς πόλεσιν ἀρχὰς ἀεὶ κοινῇ τούτοις ἐπιτρέπειν.

ΝΕ. ΣΩ. Πῶς;

ΞΕ. Οὗ μὲν ἂν ἑνὸς ἄρχοντος χρεία ξυμβαίνῃ,[n] τὸν ταῦτα ἀμφότερα ἔχοντα αἱρούμενον ἐπιστάτην· οὗ δ' ἂν πλειόνων, τούτων μέρος ἑκατέρων[o] ξυμμιγνύντα. τὰ μὲν

*ς.—[z] γενομένη ΞΠ.—[a] ῥώμην Σ.—[b] ἐοικός Δς.—[c] τε 𝔄ΔΠ.—[d] ἐπὶ γενεὰς Λ: ceteri ἐπὶ δὲ γενεὰς.—[e] νωθεστέρα ΛΞΥBCEFH, νωθέστέρα Σ: νωθέστερα ς.—[f] δὴ om Δ.—[g] ἀναπληροῦσθαι ΔΣΗ.—[h] τοῦτ' Γ.—[i] ξυνδεῖν ὑπάρξαντος corr Π, ξυνιδεῖν ὑπάρξοντος Γ, ξυνυπάρξαντος 𝔄Δ et pr Π: ξυνδεῖν ὑπάρξοντος *ς.—[j] ξυνφύσεως 𝔄Δ.—[k] καὶ ἀτιμίαις om 𝔄ΔΣΥ et pr Π.—[l] ὁμηρείων ΓΔΛBCH et pr Π, ὁμηρίων ΣΥEF.—[m] εὐητήριον EF.—[n] ξ. ΓΛΞΣΥBEFH.—[o] ἑκάτερον Ξ.—[p] καὶ ἱταμότητος Γ.—

ἐν πολλοῖς γένεσιν] Steph. 'Legitur etiam *ἐν πολλαῖς γενέσεσιν*.' Scilicet in Bas. 2. Ipse Ficinus ita legit: nam vertit, *per multas successiones*. Fisch.

εἰκὸς] Ita rescripsimus ex Ald. Bas. 1. 2. pro *ἐοικὸς*, quod est in exemplo Stephaniano. Fisch.

ἀκέραστος] Ald. *ἀκέρασας*. Bas. 1. *ἀκεράσας*· sed in Bas. 2. recte legitur *ἀκέραστος*. Cornarius quoque ita legendum censuerat, et Ficinus vertit, *undique carens*. Fisch.

ἐπὶ γενεὰς] Ald. *ἐπὶ δέ γε νέας*. Bas. 1. 2. *ἐπὶ δὲ γενεάς*. recte. Fisch.

βασιλ. ξυνυφάνσ.] Pollux vii. 33. *καὶ ὕφανσιν δ' ἂν εἴποις βιαζόμενος, ἐπεὶ Πλάτων εἴρηκε, βασιλικῇ ξυνυφάνσει*. Quum Pollux respexerit ad hunc Politici locum, Jungermanus reponendum censebat *βασιλικῆς ξυνυφάνσεως*. Fisch.

εὐήτριον] Ald. Bas. 1. *εὐήτθιον*· sed jam in Bas. 2. est *εὐήτριον*. Sic emendandum censuerat Cornarius: sic Ficinus legit: vertit enim, *optimeque cohærentem* (*telam*): sic legit Pollux vii. 3. ubi v. Jungermanus: sic legit etiam scholiastes Augustanus, qui ad *εὐήτριον* notavit hæc, *ἱμάτιον ἀηθὲς, ἔνδυμα ὑμενῶδες*. recte: sed pro *ἀηθὲς* reponendum videtur *εὐϋφές*. Suidas: *Εὐήτριον· ἔνδυμα εὐϋφές*· et Pollux d. l. *εὐϋφὲς* et *εὐήτριον* verba idem declarantia esse ostendit. Herodianus a Piersono ad calcem Mœridis p. 463. *εὐήτριος χιτὼν, ὁ λεπτὸς καὶ εὐϋφής*. Conf. Casaubonus ad Athen. iii. 18. p. 188. Fisch.

γὰρ σωφρόνων ἀρχόντων ἤθη σφόδρα μὲν εὐλαβῆ καὶ δίκαια καὶ σωτήρια, δριμύτητος δὲ καί τινος ἰταμότητος[p] ὀξείας καὶ πρακτικῆς ἐνδεῖται.

ΝΕ. ΣΩ. Δοκεῖ γοῦν δὴ[q] καὶ τάδε.

ΞΕ. Τὰ δ'[r] ἀνδρεῖά[s] γε αὖ πρὸς μὲν τὸ[t] δίκαιον καὶ εὐλαβὲς ἐκείνων ἐπιδεέστερα,[u] τὸ δ' ἐν ταῖς[v] πράξεσι τὸ μὲν διαφερόντως ἴσχει.[w] πάντα δὲ καλῶς γίγνεσθαι τὰ περὶ τὰς πόλεις ἰδίᾳ καὶ δημοσίᾳ τούτοιν μὴ[x] παραγενομένοιν ἀμφοῖν ἀδύνατον. II. ii. 365.

ΝΕ. ΣΩ. Πῶς γὰρ οὔ;

ΞΕ. Τοῦτο δὴ τέλος ὑφάσματος εὐθυπλοκίᾳ ξυμπλακὲν[y] γίγνεσθαι φῶμεν[z] πολιτικῆς πράξεως, τὸ τῶν ἀνδρείων καὶ σωφρόνων ἀνθρώπων ἦθος, ὁπόταν ὁμονοίᾳ καὶ φιλίᾳ κοινὸν ξυναγαγοῦσα[a] αὐτῶν[b] τὸν βίον ἡ βασιλικὴ τέχνη, πάντων μεγαλοπρεπέστατον ὑφασμάτων καὶ ἄριστον ἀποτελέσασα, ὥστ' εἶναι κοινόν, τούς τ' ἄλλους ἐν ταῖς πόλεσι πάντας δούλους καὶ ἐλευθέρους ἀμπίσχουσα,[c] συνέχῃ τούτῳ τῷ πλέγματι, καὶ καθ' ὅσον εὐδαίμονι προσήκει γίγνεσθαι πόλει, τούτου μηδαμῇ μηδὲν ἐλλείπουσα ἄρχῃ[d] τε καὶ ἐπιστατῇ.

ΝΕ. ΣΩ. Κάλλιστα αὖ[e] τὸν βασιλικὸν ἀπετέλεσας ἄνδρα ἡμῖν, ὦ ξένε, καὶ τὸν πολιτικόν.

[q] δὴ 𝔄ΓΔΛΠBCFH, μὴ ΣΥ, om E : μοι ϛ.—[r] τὰ δ' add 𝔄ΔΠ.—[s] ανδρεια 𝔄, ἀνδρεία Δ, ἀνδρεῖα Π : ἀνδρία ϛ.—[t] τὸν H.—[u] ἐπιδεέστερα ΔΠ : ἐπιδεεστέρα *ϛ.—[v] τὰ ϛ. —[w] ἔσχει H.—[x] μὴ καὶ ϛ.—[y] ξυμπλεκὲν Γ, συμπλέκειν 𝔄ΔΠ.—[z] φαμὲν 𝔄ΔΠ.—[a] ξυνόνουσα Σ, ξαινονοῦσα Υ.—[b] αὐτὸν Π.—[c] ἀμφίσχουσα ΔΠ, ἀμφισκοῦσα 𝔄, ἀπίσχουσα Γ.—[d] ἄρχει...ἐπιστατεῖ Υ.—[e] ἂν Γ.

γοῦν μοι καὶ τάδε] Bas. 2. *γοῦν μοι δὴ καὶ τάδε*. bene. Confirmant libri Stobæi, cujus in Eclogis Eth. c. 44. p. 319. leguntur verba *τὰ μὲν γὰρ σωφρόνων—δοκεῖ γοῦν·* sed post *γοῦν* additum est simpliciter *δὴ*, omissis verbis *μοι καὶ τάδε*. Fisch.

ξυμπλακὲν] Sic legunt Ald. Bas. 1. 2. neque aliter Ficinus legit, qui vertit, *Finem igitur civilis actionis recta publicatione contextum tunc exture dicam.* Sed Steph. 'Invenitur etiam *ξυμπλακέντος*. Aptius autem dici videtur *ὑφάσματος ξυμπλακέντος*, quam *τέλος ξυμπλακέν*. Vide initium p. 306.' Recte. Sed dissimulat Steph. eam esse Cornarii emendationem. Fisch.

ἐλλείπουσα] Bas. 2. *ἐλλειποῦσα*. Fisch.

FINIS VOL. IV.